# 0380-0444 - Cirillus Alexandrinus - Thesaurus de sancta et consubstantiali trinitate [1]

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '4090 109 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

Thesaurus de sancta consubstantiali trinitate

[00001] ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ Η ΒΙΒΛΟΣ ΤΩΝ ΘΗΣΑΥΡΩΝ ΠΕΡΙ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΟΜΟΟΥΣΙΟΥ ΤΡΙΑΔΟΣ.

[00002] ΠΡΟΛΟΓΟΣ ἤτοι ΠΡΟΘΕΩΡΙΑ.

75.9

[00003] Οὐκ ἐπὶ μικροὺς ἡμᾶς ἀγῶνας ἐπείγεσθαι δεῖν ὁ σὸς ἀναπείθει λόγος, ὦ φιλοπονώτατε ἀδελφὲ Νεμεσῖνε.

[00004] Τί γὰρ ἂν οὕτω γένοιτο δυσέφικτόν τε καὶ χαλεπὸν εἰς κατάληψιν, καὶ οὐ σφόδρα τρανὲς εἰς ἐξήγησιν, ὡς ἡ περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος ἀπλανὴς θεωρία, καὶ ἡ τὸ ὑπό του διαλοιδορεῖσθαι μηδαμόθεν ἔχουσα διάλεξις;

[00005] Λεπτὴ μὲν γάρ πως, μᾶλλον δὲ ἀσθενεστάτη λίαν ἐστὶν ἡ ἀνθρώπου διάνοια·

[00006] ἀδρανὴς δὲ ἡ γλῶττα, καὶ μόλις τὰ ἐν χερσὶν ἑρμηνεύειν ἰσχύουσα·

[00007] δυσεύρετον δὲ τῆς ἀληθείας τὸ κάλλος·

[00008] καὶ οὐ τοῖς πολλοῖς ἐκκαλύπτεσθαι πεφυκός·

[00009] ἀλλὰ μόνοις τοῖς ἐκ διανοίας ἀγαθῆς καὶ ἀκαπηλεύτου γνώμης ἀνιχνεύουσιν αὐτὸ, καὶ ἀνορύττουσιν ὥσπερ τινὰ θησαυρὸν οὐράνιον·

[00010] ἵνα δὴ καὶ τυχόντες εἰκότως ἀκούσειαν·

[00011] Ὑμῶν δὲ μακάριοι [75.12] οἱ ὀφθαλμοὶ, ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούουσιν.

[00012] Οὐκ ὀκνητέον δ' οὖν ὅμως πρὸς τὴν ἐγχείρησιν·

[00013] ἀλλ' ἐπ' αὐτῷ τὴν ἐλπίδα τιθέμενοι τῷ Χριστῷ, καὶ τῶν ὑπὲρ δύναμιν ἁψόμεθα πόνων, ὅτι συμπαρέσται καὶ χειραγωγήσει ταῖς τοῦ πνεύματος δᾳδουχίαις ἐπὶ τὴν τῆς ἀληθείας εὕρεσιν ἀνενδοιάστως πιστεύοντες.

[00014] Σκοπὸς γὰρ εἰπεῖν ὅτι Κύριος Ἰησοῦς.

[00015] Ἐροῦμεν δὲ πάντως ὅτι ἐν ἁγίῳ Πνεύματι·

[00016] οὕτω γὰρ ὁ Παῦλός φησιν·

[00017] Οὐδεὶς δύναται εἰπεῖν ὅτι Κύριος Ἰησοῦς, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ.

[00018] Ἐπειδὴ γάρ τινες ἐν Βεελζεβοὺλ οὐκ αἰσχύνονται λέγειν ἀνάθεμα Ἰησοῦν, τὰς μὲν θείας, πρὸς ὅπερ ἂν αὐτοῖς δόξειε, παρατρέποντες Γραφὰς, τῶν δὲ τοῦ Πνεύματος λογίων, τὸ ἐξ οἰκείων θελημάτων προτάττοντες κίνημα, καὶ τὸν ἀγοράσαντα αὐτοὺς Δεσπότην ἀρνούμενοι, καθὰ γέγραπται·

[00019] ἀναγκαῖον ὁμοῦ χρήσιμόν τε καὶ πρέπον ἐλογισάμεθα κατὰ τὴν σὴν ὑπόμνησίν τε καὶ προτροπὴν, ἀδελφὲ, τοῖς τῆς Ἐκκλησίας τέκνοις, τῆς εἰς τὸ μέλλον ὠφελείας ὑπόθεσιν ἐξυφῆναι τὸν λόγον·

[00020] καὶ εἰς ἕκαστα τῶν παρ' ἐκείνοις ζητουμένων τε καὶ κεκινημένων κεφαλαιωδῶς ἐξειπεῖν, ἅπερ οἶμαι πρὸς λυσιτελείας ἔσεσθαι τοῖς ἐντευξομένοις οὐ μικρᾶς.

[00021] Πολυσχιδὴς μὲν γὰρ καὶ πολυπρόσωπος, ἵν' οὕτως εἴπωμεν, ἡ τῶν Ἀρείου καὶ Εὐνομίου δογμάτων ἐστὶ πλάνη, καὶ ποικίλως τὸ τῆς ἀληθείας πλάττεται σχῆμα.

[00022] Ὥσπερ γὰρ τὰ ἐν τοῖς γυναίοις ἑταιριζόμενα, τὸ ἐκ τοῦ πράγματος αἶσχος ταῖς ἐξ ἐπινοίας ἀφανίζειν οἰόμενα τέχναις, ὡραΐζεταί τε καὶ χρισιάζεται, καὶ ταῖς ἄλλαις τοῦ κόσμου προσθήκαις εὐπρεπεστάτην τοῖς ὁρῶσιν ἐπιδεικνύει τὴν ἀπώλειαν·

[00023] τὸν αὐτὸν οἶμαι τρόπον καὶ τὰς ὀλεθρίους τῶν ἑτεροδοξούντων φωνὰς τὸ τῆς εὐσεβείας σχηματίζεσθαι κάλλος, καὶ τοῖς τῆς ἀληθείας πειρᾶσθαι περιανθίζεσθαι λόγοις·

[00024] οὐδαμοῦ μὲν ὠδῖνον τὴν ἀλήθειαν, ἔσωθεν δὲ κεκρυμμένην ἔχον τὴν ἀπὸ τοῦ ψεύδους θεοστυγεστάτην ἀσέβειαν.

[00025] Ἀλλ' οἱ νήψει τῇ κατ' ἐντρέχειαν λογικὴν τὸν οἰκεῖον ἀνατειχίζοντες νοῦν, τοῖς μὲν παρ' ἐκείνων οὐχ ἁλίσκονται λόγοις, τῆς δὲ ὄντως ὑγιοῦς ἀπρὶξ ἐχόμενοι πίστεως, ἐφ' ἑαυτοῖς ἀναμέλπουσι λέγοντες·

[00026] Εὐλογητὸς Κύριος ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν.

[00027] Ἔδοξε τοίνυν ἡμῖν τὰ ἐκ φιλομαθείας συνενεγκεῖν εὑρήματα, καὶ συγκεχυμένον μὲν οὐδαμῶς συνθεῖναι τὸν λόγον, εὐκρινεστέραν δὲ μᾶλλον εἰς ἕκαστον τῶν κεφαλαίων τὴν βάσανον ἔχοντα διεξαγαγεῖν·

[00028] οὕτω γὰρ ἂν εὐσύνοπτός τε καὶ εἰλικρινεστέρα τοῖς φιλακροάμοσιν ἡ τῶν ἐγκειμένων γένοιτο γνῶσις.

[00029] Θησαυρὸς δὲ τῷ βιβλίῳ ὄνομα, πολλὴν ἔχοντι τῶν θείων θεωρημάτων τεθησαυρισμένην ἐν ἑαυτῷ τὴν πληθύν·

[00030] εἰ καὶ μέτριοί τινες ἐς λόγους ἡμεῖς, καὶ πρὸς τὸ δύνασθαί τι νοεῖν οὐ σφόδρα γοργοί.

[00031] Ἀνακείσθω δὲ χάρις τῷ πάντα πᾶσι πλουσίως χορηγοῦντι Χριστῷ.

[00032] Εἰδέναι δὲ χρὴ τοὺς ἐντευξομένους, ὅτι συντέθειται μὲν, κατὰ τὴν ὑποτεταγμένην προγραφὴν, τὰ ἐν τῷ βιβλίῳ κεφάλαια.

[00033] Περιέχεται δὲ ἑκάστῳ πολλὰ πρὸς τὸν αὐτὸν συντείνοντα τῶν θεωρημάτων σκοπὸν, καὶ διὰ κύκλου καὶ περιδρομῆς [75.13] εἰς τὸν τοῦ περιέχοντος ἀναβαίνοντα νοῦν.

[00034] Παραπέπηγε δὲ μόνοις τοῖς τῶν κεφαλαίων περιεκτικοῖς, τῶν ἀριθμῶν ἡ τάξις·

[00035] τὰ δὲ παρεπόμενα τούτοις, στοιχηδὸν μὲν ἐντέτακται ταῖς ὑπογραφαῖς, ἀριθμοὺς δὲ οὐκ ἔχει, ὡς τῇ τῶν περιεκτικῶν διανοίᾳ χρεωστούμενα, καὶ εἰς τὸν ἐκείνων τρέχοντα σκοπόν.

[00036] ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩΔΕ ΤΩ ΒΙΒΛΙΩ.

[00037] ΛΟΓΟΣ Αʹ.

[00038] Περὶ ἀγενήτου καὶ γενητοῦ, ἐν ᾧ, ὅτι κρεῖττόν ἐστι καὶ ἀξιολογώτερον Πατέρα καλεῖσθαι τὸν Θεὸν, ἢ ἀγένητον.

[00039] ΛΟΓ.

[00040] Βʹ.

[00041] Ὅτι τὸ ἀγένητον οὐκ οὐσία, ἀλλ' οὐσίας σημαντικόν.

[00042] ΛΟΓ.

[00043] Γʹ.

[00044] Ὅτι μὴ τὸ ἀγένητον οὐσία, μόνον δὲ τοῦ μὴ γεγονέναι τὸν Θεὸν σημαντικόν.

[00045] ΛΟΓ.

[00046] Δʹ.

[00047] Πρὸς τοὺς τολμῶντας λέγειν, ὅτι Ἦν ποτε, ὅτε οὐκ ἦν ὁ Υἱός.

[00048] Ἐκλογαὶ συλλογισμῶν καὶ νοημάτων κατασκευαὶ σὺν μαρτυρίαις·

[00049] τὸ δὲ συναγόμενον ἐκ πάντων, ὅτι ἀΐδιος ὁ τοῦ Θεοῦ Λόγος.

[00050] Εἰς τὸ αὐτὸ κατασκευὴ πιθανὴ, ὅτι τὸ ῥητὸν τὸ λέγον·

[00051] Τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα καθορᾶται·

[00052] ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, τὸν Υἱὸν σημαίνει.

[00053] Ἕτεραι μαρτυρίαι, ὅτι ἀΐδιος ὁ Υἱός.

[00054] Ἀποδείξεις διὰ μαρτυριῶν, ὅτι αἱ θεῖαι Γραφαὶ, τὸ ἦν, καὶ τὸ ὁ ὢν, καὶ τὸ ὑπάρχων, καὶ τὸ ἤμην, καὶ τὸ εἰμὶ, καὶ τὸ ἔστιν, ἐπὶ τοῦ Λόγου τιθέασι μόνου, ἐπὶ δὲ τῶν γενητῶν οὐκέτι, ἀλλὰ μᾶλλον τὸ ποτὲ, καὶ τὸ πρὶν, καὶ τὸ πρὸ τοῦ, καὶ τὸ γέγονε·

[00055] καὶ ὅσα τούτοις ὅμοια.

[00056] Ἔτι περὶ τοῦ ἀΐδιον εἶναι τὸν Υἱὸν, ὡς ἐξ ἀντιθέσεως, κατασκευή.

[00057] Ἔτι περὶ ἀϊδιότητος συλλογισμὸς, μετά τινος ἐπαπορήσεως πεπλεγμένος, καὶ συνάγων εἰς ὁμολογίαν τοῦ δεῖν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, οὐκ ἔξωθεν ἐπιγεγονότα τὸν Υἱὸν ὑπολαμβάνειν·

[00058] εἰ δὲ τοῦτο, δῆλον ὅτι καὶ τῷ Πατρὶ συναΐδιον.

[00059] Ἔτι, περὶ ἀϊδιότητος Υἱοῦ.

[00060] [75.16] Ἐρώτησις Ἀρειανῶν ἀτοπίας μεστή·

[00061] πρὸς ἣν ἀντεπερώτησις ἀτοπωτέρα, ὅτι χρὴ μὴ ἀπαιδεύτως ἐρωτᾷν ἐκδιδάσκουσα.

[00062] Πρὸς τοὺς ἐρωτῶντας, Εἰ εἶχες Υἱὸν πρὶν τέκης;

[00063] καὶ λέγοντας, Οὕτω καὶ ὁ Θεὸς οὐκ εἶχεν Υἱὸν πρὶν γεννήσει.

[00064] ΛΟΓ.

[00065] Ε′.

[00066] Ὅτι οὐ προϋπάρχει τοῦ Υἱοῦ ὁ Πατὴρ, κἂν ἀγέννητος ᾖ·

[00067] ἀλλ' ἦν αὐτῷ συναΐδιος ὁ Υἱὸς γεννητός.

[00068] ΛΟΓ.

*[00069]* ϛ

[00070] ′.

[00071] Ὅτι ὁ Πατὴρ ἀμερίστως καὶ ἀρεύστως ἐγέννησεν ἐξ αὐτοῦ τὸν Υἱόν.

[00072] ΛΟΓ.

[00073] Ζ′.

[00074] Πρὸς τοὺς προτείνοντας τὸ, Ἀβουλήτως ἢ κατὰ βούλησιν ἐγέννησε τὸν Υἱὸν ὁ Πατήρ;

[00075] ΛΟΓ.

[00076] Η′.

[00077] Πρὸς τοὺς λέγοντας ὅτι οὐ τῷ Πατρὶ, ἀλλὰ τῇ βουλήσει αὐτοῦ, ὅμοιός ἐστιν ὁ Υἱός.

[00078] ΛΟΓ.

[00079] Θ′.

[00080] Ὅτι ὁμοούσιος τῷ Πατρὶ ὁ Υἱὸς, παρατεθέντων καὶ τῶν ῥητῶν, Τί με λέγεις ἀγαθόν;

[00081] Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός·

[00082] καὶ τοῦ, Πορεύομαι πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν·

[00083] καὶ ὁμοίως, Ὁ Πατὴρ μείζων μού ἐστιν.

[00084] ΛΟΓ.

[00085] Ι′.

[00086] Ὅτι ὁμοούσιος τῷ Πατρὶ ὁ Υἱός·

[00087] ἐν ᾧ ἀπολογία πιθανὴ πρὸς τὸν ἐρωτήσαντα, Τί με λέγεις ἀγαθόν;

[00088] καὶ ἐξήγησις τοῦ ῥητοῦ.

[00089] ΛΟΓ.

[00090] ΙΑ′.

[00091] Ὅτι ὁμοούσιος ὁ Υἱὸς τῷ Πατρὶ, προκειμένου ῥητοῦ, Ὁ Πατήρ μου μείζων μού ἐστιν.

[00092] Ἄλλο, διδάσκον ὅτι προκειμένου τοῦ μείζονος καὶ τοῦ ἐλάττονος, ἀπαιδεύτως τὸ ἀνόμοιον εἰσφέρεται, ἑτερογενὲς ὂν κατὰ τὴν Ἀριστοτέλους τέχνην.

[00093] Ἄλλο ἀπόδειξιν ἔχον, ὅτι διὰ τοῦ λέγεσθαι μείζονα τὸν Πατέρα, συνεισφέρεται μὲν πάντως ὁ Υἱός.

[00094] Ἔστι δὲ οὐκ ἐλάττων αὐτοῦ.

[00095] Ἄλλο, ὅτι ἴσος ὁ Υἱὸς τῷ Πατρὶ, προκειμένου ῥητοῦ, Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ, καὶ τὰ ἑξῆς.

[00096] ΛΟΓ.

[00097] ΙΒʹ.

[00098] Εἰς τὸ, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί·

[00099] καὶ, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν·

[00100] ἐν ᾧ ἀπόδειξις ἐφεξῆς, ὅτι ὁ Θεὸς ἦν ὁ ῥυόμενος ἐκ πάντων κακῶν τὸν πατριάρχην Ἰακώβ.

[00101] Ἄλλο ἀποδεικτικὸν, ὅτι ὁ Λόγος τοῦ Θεοῦ, τὸ εἶδος αὐτοῦ ἐστιν.

[00102] Ἄλλο, σημαῖνον ὅτι εἶδος Θεοῦ καλεῖται ὁ Λόγος.

[00103] Ἄλλο μετὰ γοργῆς ἀποδείξεως διδάσκον, ὅτι τὰ ἐξομοιούμενά τισιν, οὐ πάντως καὶ κατὰ φύσιν οἷς ἔνεστιν ἐξομοιοῦται·

[00104] ἀλλ' ὥσπερ τινὲς εἰκόνες τὰ φύσει προσόντα τισὶ γίνονται τῶν κατὰ προαίρεσιν ἡμῶν κινημάτων.

[00105] [75.17] Ἄλλο δεικνύον, ὅτι τὸ ἐν τῷ Θεῷ γίνεσθαί τι, οὐ φύσεως σημαίνει μεταβολὴν, ἀλλ' ὅτι δι' αὐτοῦ, ἢ παρ' αὐτοῦ.

[00106] Ἄλλο, δι' οὗ μανθάνομεν ὅπως προσήκει νοεῖν τὸ ῥητὸν, τουτέστιν, Ἵνα ὥσπερ ἐγὼ καὶ σὺ ἕν ἐσμεν, οὕτω καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν·

[00107] ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί·

[00108] ἵνα ὦσι τετελειωμένοι εἰς ἕν.

[00109] Ἄλλο δεικνύον ἀκριβῶς, ὅτιπερ οὐ τὴν ἑαυτῶν ἀφέντες φύσιν πρὸς τὴν θείαν μεταποιούμεθα, ὅταν ἓν γίνεσθαι πρὸς Θεὸν λεγώμεθα, ἀλλ' ὅτι μέτοχοι γεγονότες αὐτοῦ τοῦτο καλούμεθα.

[00110] ΛΟΓ.

[00111] ΙΓʹ.

[00112] Περὶ ὁμοιότητος τῆς Υἱοῦ πρὸς τὸν Πατέρα, καὶ ὅτι οὐκ ἔστι τρεπτῆς φύσεως ὁ Υἱὸς, ἢ ἔξωθεν ὑποστάς·

[00113] ἀλλ' ἐκ τῆς οὐσίας αὐτοῦ προελθὼν ὡς Υἱός.

[00114] Ἄλλο ὅτι οὐκ ἐξ ἀλλοιώσεως τῆς ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ ἄμεινον ὅμοιός ἐστιν ὁ Υἱὸς τῷ Πατρὶ, ἀλλὰ φυσικῶς.

[00115] Ἄλλο, σημαῖνον ὅτι ἐκ τῆς οὐσίας τοῦ Πατρός ἐστιν ὁ Υἱὸς, καὶ οὐκ ἔξωθεν, καθάπερ οἱ Χριστομάχοι φασίν·

[00116] ἐπειδὴ δὲ οὐκ ἔξωθεν, ὅμοιος ἄρα.

[00117] Ἀπόδειξις ἀπὸ τῆς θείας Γραφῆς, ὅτιπερ ἐκ μετοχῆς τῆς πρὸς τὸ Θεῖον κατ' εἰκόνα τὴν πρὸς αὐτὸ μορφούμεθα.

[00118] Οὐ γὰρ ἐξήρκεσε τῇ τοῦ ἀνθρώπου κατασκευῇ πρὸς τὸ φαίνεσθαι καὶ εἶναι εἰκόνα τοῦ πεποιηκότος, τὸ ἐν μόναις ἐννοίαις τὸν περὶ αὐτοῦ κεῖσθαι λόγον τοιοῦτον.

[00119] ΛΟΓ.

[00120] ΙΔʹ.

[00121] Ἔτι, περὶ ὁμοιότητος, προκειμένου ῥητοῦ, Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ·

[00122] τὸ δὲ συναγόμενον ἐκ τῶν συλλογισμῶν, ὅτι ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, ὥσπερ καὶ ὁ Πατήρ.

[00123] ΛΟΓ.

[00124] ΙΕʹ.

[00125] Εἰς τὸ ἐν ταῖς Παροιμίαις, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ·

[00126] ὅτι τὸ, ἔκτισεν, οὐ κατὰ τῆς οὐσίας τοῦ Λόγου κεῖται, οὐδὲ κτίσμα ἢ ποίημα ὁ Υἱός.

[00127] Ἀπόδειξις ἐξ ἐπιτηρήσεων Γραφικῶν, ὅτι ὡς Θεὸς οὐδὲν προσκυνεῖται τῶν κτισμάτων·

[00128] οὔτε μὴν προσκυνούμενα ἀνέχεται προσκυνεῖσθαι ἢ δοξολογεῖσθαι.

[00129] Ἀντίθεσις ἀπὸ τῶν Ἀρείου δογμάτων, αἰτίαν ἔχουσα τοῦ πεποιῆσθαι τὸν Υἱὸν, ὡς αὐτοὶ νομίζουσιν, ἀληθῆ, καὶ λύσις ἐφεξῆς μετὰ πιθανότητος συλλογισμῶν.

[00130] Ἔτι εἰς τὸ, Κύριος ἔκτισέ με.

[00131] Ὅτι οὐ κτίσμα ὁ Υἱός.

[00132] Ἄλλο τῶν ὀρθοδόξων λεγόντων, Εἰ κτίσμα ἐστὶν ὁ Υἱὸς, πῶς ἔχει κατὰ φύσιν τὸ εἶναι δημιουργός;

[00133] Οὐ γὰρ ἴδιον τῶν κτισμάτων τοῦτό γε.

[00134] Ἀνθυπήνεγκαν οἱ αἱρετικοὶ τὰ ὑποτεταγμένα, ὧν αἱ λύσεις εἰσὶν ἐφεξῆς.

[00135] Ἐπιτήρησις ὁμοίως, ἐξ ἧς μανθάνομεν ὅτι καὶ ἀγγέλοις καὶ ἁγίοις προφήταις ἔθος ἐστὶν ἐπι [75.20] ταττομένοις παρὰ Θεοῦ, καὶ ἐρωτήσεις προσάγειν ἀγνοοῦσιν ἔσθ' ὅτε τὸ ἐπιταττόμενον.

[00136] Ὁ δὲ τοῦ Θεοῦ Λόγος οὐχ οὕτως ἐδείχθη ποιῶν.

[00137] Ἄλλο εἰς τὸ, Ἡνίκα ἡτοίμαζε τὸν οὐρανὸν, συμπαρήμην αὐτῷ.

[00138] ΛΟΓ.

[00139] Ι

*[00140]* ϛ

[00141] ʹ.

[00142] Περὶ ἀϊδιότητος Υἱοῦ, καὶ ὅτι ἀμερίστως προῆλθεν ἐκ τῆς οὐσίας τοῦ Πατρός.

[00143] ΛΟΓ.

[00144] ΙΖʹ.

[00145] Ὅτι τῶν τῇ κτίσει προσόντων οὐδὲν τῷ Υἱῷ πρόσεστι·

[00146] διόπερ οὐ κτίσμα ὁ Υἱός.

[00147] ΛΟΓ.

[00148] ΙΗʹ.

[00149] Ὅτι μὴ ταυτὸν κτίσμα καὶ γέννημα, μηδὲ τὸ κτίζειν καὶ τὸ γεννᾷν ἐπὶ Θεοῦ.

[00150] ΛΟΓ.

[00151] ΙΘʹ.

[00152] Πρὸς τοὺς λέγοντας, ὅτι ὁ Υἱὸς οὐκ ἔστιν ἀληθινὸς Λόγος τοῦ Πατρὸς, ἀλλ' ἕτερός τις παρ' αὐτὸν τῇ φύσει καὶ ξένος.

[00153] Τὸ δὲ ἐντεῦθεν συναγόμενον, ὅτι καὶ ὁμοούσιος τῷ Πατρὶ, καὶ οὐκ ἔξωθεν, ἀλλ' ἐκ τῆς οὐσίας ἐστὶν αὐτοῦ.

[00154] ΛΟΓ.

[00155] Κʹ.

[00156] Εἰς τὸ, Ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας·

[00157] διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα·

[00158] ἐν ᾧ σχόλια περὶ σαρκώσεως, τὸν αὐτὸν ἔχοντα νοῦν.

[00159] Εἰς τὸ, Ἐχαρίσατο αὐτῷ, καὶ Ὑπερύψωσεν αὐτὸν, καὶ ὅσα τοιαῦτα λέγεται περὶ Χριστοῦ.

[00160] Εἰς τὸ ἀποστολικὸν ῥητὸν τὸ λέγον, Ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων.

[00161] Παράθεσις ῥητῶν σημαίνουσα, ὅτι τὸ, κρείττων, ἡ θεία Γραφὴ ἐπὶ τῶν πολὺ διεστηκότων ἢ κατὰ τὸν τῆς φύσεως λόγον, ἢ κατὰ τὴν ἀξίαν τίθησιν, ἢ κατὰ τὸ μέτρον τῆς χάριτος.

[00162] Ἄλλο διηγηματικὸν, ὅτι τὸ, Κρείττων γενόμενος τῶν ἀγγέλων, οὐκ οὐσιῶν εἰσφέρει σύγκρισιν, ἀλλὰ μᾶλλον διακονιῶν.

[00163] Εἴρηται δὲ καὶ ἄλλως.

[00164] Παράθεσις ῥητῶν περὶ ἀνθρωπότητος Χριστοῦ, καὶ λύσις ἐφεξῆς.

[00165] Ἄλλο ἐκ τῶν αὐτῶν, ὅτι καλὴ καὶ χρησιμωτάτη τῶν διακονιῶν ἡ σύγκρισις, τῆς τε τῶν ἀγγέλων καὶ τοῦ Υἱοῦ, τοῦ κρείττονος τὴν δύναμιν ἑρμηνεύουσα·

[00166] πῶς γὰρ κρείττων ἀγγέλων ἐστὶ, καὶ πόσον, ἐξ αὐτῶν γνωσόμεθα.

[00167] ΛΟΓ.

[00168] ΚΑʹ.

[00169] Εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου, Κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν.

[00170] Τὸ δὲ συναγόμενον, ὅτι οὐ ποίημα οὐδὲ κτίσμα ὁ Υἱός.

[00171] ΛΟΓ.

[00172] ΚΒʹ.

[00173] Εἰς τὸ, Περὶ δὲ τῆς ἡμέρας καὶ τῆς ὥρας ἐκείνης οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, οὐδὲ ὁ Υἱὸς, εἰ μὴ ὁ Πατὴρ μόνος.

[00174] ΛΟΓ.

[00175] ΚΓʹ.

[00176] Εἰς τὸ, Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν, καὶ πάντα [75.21] δέδωκε ἐν τῇ χειρὶ αὐτοῦ·

[00177] καὶ εἰς τὸ, Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου·

[00178] καὶ εἰς τὸ, Οὐ δύναμαι ἐγὼ ἀπ' ἐμαυτοῦ ποιεῖν οὐδὲν, ἀλλὰ καθὼς ἀκούω, κρίνω·

[00179] καὶ ὅσα τούτοις ὅμοιά ἐστι ῥητά.

[00180] ΛΟΓ.

[00181] ΚΔʹ.

[00182] Εἰς τὰ λεγόμενα περὶ τοῦ Σωτῆρος ἀνθρωπίνως παρὰ τοῖς εὐαγγελισταῖς, εἰς τὸ, Ἔκλαυσε, καὶ εἰς τὸ, Νῦν ἡ ψυχή μου τετάρακται, καὶ εἰς τὸ, Εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, καὶ εἰς τὸ, Περίλυπός ἐστιν ἡ ψυχή μου, καὶ ὅσα τούτοις ὅμοια ῥητά.

[00183] Παραθέσεις ἀποδεικτικαὶ ἀπὸ τῆς θείας Γραφῆς, καὶ Χριστομάχων ἀποτρέπουσαι τὴν κακόνοιαν.

[00184] ΛΟΓ.

[00185] ΚΕʹ.

[00186] Εἰς τὸ, Πρωτότοκος πάσης κτίσεως·

[00187] ὅτι οὐ κτίσμα ὁ Υἱός.

[00188] ΛΟΓ.

[00189] Κ

*[00190]* ϛ

[00191] ʹ.

[00192] Εἰς τὸ εἰρημένον ἐπὶ τοῖς υἱοῖς Ζεβεδαίου, Τὸ καθίσαι ἐκ δεξιῶν μου, ἢ ἐξ εὐωνύμων, οὐκ ἔστιν ἐμὸν δοῦναι.

[00193] ΛΟΓ.

[00194] ΚΖʹ.

[00195] Εἰς τὸ, Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

[00196] ΛΟΓ.

[00197] ΚΗʹ.

[00198] Εἰς τὸ παρὰ τῷ Λουκᾷ κείμενον·

[00199] Ἰησοῦς δὲ προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

[00200] ΛΟΓ.

[00201] ΚΘʹ.

[00202] Εἰς τὸ, Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται [τῷ] ὑποτάξαντι αὐτῷ τὰ πάντα.

[00203] ΛΟΓ.

[00204] Λʹ.

[00205] Εἰς τὸ, Πάτερ, δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί.

[00206] ΛΟΓ.

[00207] ΛΑʹ.

[00208] Πρὸς τοὺς λέγοντας, ὅτι ὁ Θεὸς περὶ τῆς ἑαυτοῦ οὐσίας οὐδὲν ἡμῶν πλέον ἐπίσταται, ἀλλ' ὅπερ ἂν αὐτὸς εἰδείη περὶ ἑαυτοῦ, τοῦτο καὶ ἡμεῖς ἀπαραλλάκτως.

[00209] ΛΟΓ.

[00210] ΛΒʹ.

[00211] Ἐκλογαὶ ῥητῶν μετὰ συλλογισμῶν ἐκ τῆς Καινῆς Διαθήκης, ὅτι Θεὸς κατὰ φύσιν ὁ Υἱός.

[00212] Εἰ δὲ τοῦτο, οὐ ποίημα οὐδὲ κτίσμα.

[00213] ΛΟΓ.

[00214] ΛΓʹ.

[00215] Ὅτι Θεὸς κατὰ φύσιν τὸ Πνεῦμα, καὶ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, δι' Υἱοῦ δὲ τῇ κτίσει χορηγούμενον.

[00216] ΛΟΓ.

[00217] ΛΔʹ.

[00218] Παραθέσεις ῥητῶν ἐφεξῆς, ἐν οἷς ἔστι τὸν ἐπιτηροῦντα θεωρεῖν, ὅτι Θεὸς, τὸ Πνεῦμα, καὶ τὴν αὐτὴν ἐνέργειαν ἔχον τῷ Υἱῷ πανταχοῦ, καὶ οὐκ ἀπεξενωμένον τῆς οὐσίας αὐτοῦ.

[00219] Ὁμοῦ δὲ διδάσκουσιν, ὅτι Θεοῦ λεγομένου κατοικεῖν ἐν ἡμῖν, τὸ Πνεῦμά ἐστι τὸ ἐνοικοῦν.

[00220] ΛΟΓ.

[00221] ΛΕʹ.

[00222] Μαρτυρίαι ἀπὸ τῆς θείας Γραφῆς, δι' ὧν ἔστιν ἰδεῖν, ὅτι γενητὸς ἐκ Πατρός ἐστιν ὁ Υἱὸς, καὶ οὐχὶ πεποιημένος.

[00223] [75.24] Η ΒΙΒΛΟΣ ΤΩΝ ΘΗΣΑΥΡΩΝ ΠΕΡΙ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΟΜΟΟΥΣΙΟΥ ΤΡΙΑΔΟΣ.

[00224] ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

[00225] Περὶ γενητοῦ καὶ ἀγενήτου.

[00226] Εἰ διερωτᾷν ἡμᾶς ἐπιχειροῖεν Ἀρειανοὶ, ἓν τὸ ἀγένητον ἢ δύο, ἵνα δῆθεν ἓν εἰπόντες αὐτὸ, καὶ εἰς τὸν Πατέρα φέροντες, ἐν τοῖς γενητοῖς καταριθμήσωμεν τὸν Υἱὸν, ἀποκρίνασθαι χρὴ τοιῶσδε·

[00227] πρῶτον μὲν οὖν ἀμαθὴς καὶ ἀπαίδευτος ἡ ἐρώτησις·

[00228] κατὰ πολλὰ γὰρ σημαινόμενα τὸ ἀγένητον ἐκλαμβάνεται.

[00229] Ἀγένητόν ἐστι τὸ μήπω μὲν γενόμενον, ἐνδεχόμενον δὲ γενέσθαι, ὡς ἀπὸ ξύλου σκάφος, ἢ ἐκ χαλκοῦ ἀνδριάς.

[00230] Καὶ πάλιν ἀγένητον λέγεται τὸ μήτε γενόμενον πώποτε, μήτε μὴν γενέσθαι δυνάμενον·

[00231] φέρε εἰπεῖν, τὸ τρίγωνον σχῆμα οὐ γέγονέ ποτε τετράγωνον, οὔτ' ἂν γένοιτό ποτε·

[00232] ἅμα γὰρ ἀφανίζεται τοῦ τριγώνου τὸ σχῆμα, ἕτερόν τι παρ' ὅπερ ἦν γίνεται.

[00233] Λέγεται πάλιν ἀγένητον, τὸ ὑπάρχον μὲν καὶ ὑφεστηκὸς, μὴ μὴν γεγενημένον ὑπό τινος.

[00234] Κατὰ πολλοὺς τοιγαροῦν νοουμένου τρόπους τοῦ ἀγενήτου, τί ἄρα σημαίνειν ἐπὶ Θεοῦ βούλονται τὸ, ἀγένητον;

[00235] Ἀλλ' ἴσως τὸ μὴ γεγενῆσθαι φήσουσιν, ὁμολογήσαντες πρότερον ἀπαιδεύτως πεποιῆσθαι τὴν ἐπερώτησιν.

[00236] Λεγέσθω τοίνυν καὶ παρ' ἡμῶν ὅτι ἓν τὸ ἀγένητον.

[00237] Εἰ δὲ πρὸς τοῦτο φαῖεν, Οὐκοῦν ἀνάγκη πᾶσα συνομολογεῖν γεγενῆσθαι τὸν Υἱὸν, ἐπειδὴ τὸ ἀγένητον ἓν, ὅπερ ἐστὶν ὁ Πατὴρ, ἀντακούσονται πάλιν·

[00238] Εἰ σοφία καὶ δύναμις, καὶ λόγος τοῦ Πατρός ἐστιν ὁ Υἱός·

[00239] ἦν δὲ ἀεὶ ἐν Πατρὶ λόγος, καὶ σοφία, καὶ δύναμις, οὐκ ἐπιγέγονεν οὖν ὁ Υἱὸς, ὃς ταῦτά ἐστι καὶ καλεῖται.

[00240] Ἀλλ' ὥσπερ ἐκ Θεοῦ Θεὸς, καὶ ἐκ φωτὸς ἐξέλαμψε φῶς, οὕτω καὶ ἐξ ἀγενήτου ἀγένητος.

[00241] Δεῖ γὰρ εἶναι τοιοῦτον τὸν Λόγον, ὁποῖός ἐστι καὶ ὁ γεννήσας αὐτόν.

[00242] Οὕτω γὰρ ἂν τὸ τῆς τοῦ Πατρὸς οὐσίας γνήσιον ἐπαληθεύοιτο τῷ ἐξ αὐτοῦ γεννωμένῳ.

[00243] Κωλύει τοίνυν οὐδὲν ἑνὸς ὄντος τοῦ ἀγενήτου Πατρὸς, ἀγένητον εἶναι καὶ τὸν ἐξ αὐτοῦ Λόγον, ὡς ἕν τι μετὰ Πατρὸς καὶ ἐν Πατρὶ νοούμενον διὰ τὸ τῆς φύσεως ἀπαράλλακτον·

[00244] ὃ δὴ καὶ αὐτὸς περὶ ἑαυτοῦ φησιν·

[00245] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, διὰ μὲν τοῦ, ἓν, τὴν ταυτότητα τῆς οὐσίας σημαίνων·

[00246] διὰ δὲ τοῦ, ἐσμὲν, [75.25] εις δυάδα τέμνων τὸ νοούμενον, καὶ πάλιν εἰς μίαν περισφίγγων Θεότητα.

[00247] ΑΛΛΟ.

[00248] Εἰ τοῦ Πατρὸς εἰκὼν ἀπαράλλακτός ἐστιν ὁ Υἱὸς, ὡς ἐκεῖνον ἐν αὐτῷ φαίνεσθαι, κατὰ τὸ, Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε καὶ τὸν Πατέρα, ἀνάγκη λέγειν, ἀγένητον εἶναι τὸν ἐξ ἀγενήτου προελθόντα Πατρός·

[00249] ἐπεὶ πῶς ἂν ἐν τῷ γενητῷ ὀφθείη ποτὲ τὸ ἀγένητον;

[00250] Εἰ γὰρ τὸ ἀρχέτυπον ἐν τῷ μιμήματι φαίνοιτο, ἔσται πάντως κατὰ τοῦτο κἀκεῖνο.

[00251] Ὥρα λέγειν οὖν γενητὸν εἶναι καὶ τὸν Πατέρα, καθ' ὃν ἡ εἰκὼν ἐμορφώθη.

[00252] Εἰ δὲ τοῦτο ἄτοπον, ἔσται πάντως ἀγενήτου τὸ ἀγένητον εἰκών.

[00253] ΑΛΛΟ.

[00254] Ὁ μακάριος Μωσῆς τὴν τοῦ ἀνθρώπου κατασκευὴν ἐξηγούμενος, εἰσφέρει λέγοντα Θεόν·

[00255] Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν·

[00256] ἐν δὲ τῷ λέγειν, ἡμετέραν, πάλιν ἡ δυὰς σημαίνεται·

[00257] συνόντος δηλονότι καὶ συνθεολογουμένου τοῦ ἁγίου Πνεύματος.

[00258] Εἰ δὲ ἐν ἑνὶ τῷ ἀνθρώπῳ ἡ αὐτὴ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ φαίνεται εἰκὼν, κατ' οὐδὲν ἄρα τῆς πρὸς ἀλλήλους διαλλάττουσιν ὁμοιότητος.

[00259] Ἀνόμοιον δὲ γενητῷ τὸ ἀγένητον·

[00260] οὐκ ἄρα γενητὸς ὁ Υἱὸς, ἵνα μὴ ἀνόμοιος φαίνηται.

[00261] ΑΛΛΟ.

[00262] Λέγεται παρὰ ταῖς θείαις Γραφαῖς παντοκράτωρ καὶ Κύριος ὁ Πατήρ·

[00263] ἀλλ' οὐχ ὡς ἕν τι τῶν κρατουμένων ἢ κυριευομένων νοεῖται καὶ ὁ Υἱὸς, διὰ τὸ πάντων κρατεῖν τε καὶ κυριεύειν ἐκεῖνον·

[00264] κρατεῖ γὰρ πάντων καὶ κυριεύει μετὰ Πατρὸς, παντοκράτωρ καὶ αὐτὸς ὑπάρχων καὶ Κύριος.

[00265] Ὥσπερ οὖν ἐν τούτοις οὐχ ὡς ἓν τῶν πάντων ἐστὶν ὁ Υἱὸς, ἀλλ' ἐπὶ τὴν τῶν γενητῶν φύσιν ἡ τῶν λέξεων δύναμις φέρεται, οὕτω καὶ ἐπὶ ἀγενήτου, οὐ πρὸς τὸν Υἱὸν, ἀλλὰ πρὸς τὴν κτίσιν ἡ σύγκρισις, κἂν ἓν εἶναι λέγηται τὸ ἀγένητον·

[00266] διὰ τὸ πάντα γεγονέναι παρὲξ Θεοῦ.

[00267] Ὅτι κρεῖττόν ἐστι καὶ ἀξιολογώτερον Πατέρα καλεῖσθαι τὸν Θεὸν, ἢ ἀγένητον.

[00268] Τὸ πατὴρ ὄνομα, τὴν περὶ υἱοῦ πάντως ἔννοιαν ἐν ἑαυτῷ συνεισφέρει·

[00269] τὰ γὰρ τοιαῦτα δι' ἀλλήλων σημαίνεται.

[00270] Τὸ δὲ ἀγένητος ὄνομα, τῷ μὴ γεγενῆσθαι Θεὸν, τὴν τῶν γενητῶν ἀντιπαρατίθησι μνήμην.

[00271] Ἀναγκαία δὲ τοῖς πιστεύειν ἐθέλουσιν ὀρθῶς, τῆς ἁγίας Τριάδος ἡ γνῶσις.

[00272] Εἰ τοίνυν ὁ μὲν Πατέρα λέγων ὁρᾷ τὸν Υἱὸν δι' ὅν ἐστι Πατήρ·

[00273] ὁ δὲ ἀγένητον ὀνομάζων αὐτὸν, ὁρᾷ τὰ γενόμενα, οἷς εὐλόγως ὁ μὴ γεγονὼς ἀντιδιαστέλλεται·

[00274] πολὺ δὴ κρεῖττον, ἀφ' ὧν ἡ περὶ τοῦ Υἱοῦ τίκτεται γνῶσις, σημαίνεσθαι τὸν Θεὸν, ἢ ἐξ ὧν ἡ τῶν ποιημάτων ἀναφαίνεται μνήμη, συντελοῦσα πρὸς τὴν γνῶσιν τῆς ἁγίας Τριάδος οὐδέν.

[00275] Καὶ ὁ μὲν Πατέρα λέγων, ἀφ' ὧν ἔστι σημαίνει Θεόν·

[00276] ὁ δὲ ἀγένητον εἰπὼν, ἀφ' ὧν οὐκ ἔστιν·

[00277] ἔστι μὲν γὰρ Υἱοῦ Πατὴρ, γενητὸς δὲ οὐκ ἔστι.

[00278] Ὅτι δὲ μᾶλλον ἐξ ὧν ἔστιν, ἢ ἐξ ὧν οὐκ ἔστιν, οἰκειότερον σημαίνεται Θεὸς, ἐκ τοῦδε γένοιτ' ἂν παντί τῳ σαφές.

[00279] [75.28] Εἴ τις γὰρ ἐκείνην τὴν ἄφραστον καὶ ἀκατάληπτον φύσιν καλοίη Θεὸν, ἀφ' ὧν ἔστιν ὀνομάζει καλῶς, καὶ Θεὸν εἰπὼν, πάντως ἐκείνην ἐσήμηνεν·

[00280] εἰ δέ τις ἀφ' ὧν οὐκ ἔστιν ἐπιχειροίη σημαίνειν αὐτὴν, ἄκακον καὶ ἀπόνηρον λέγων διὰ τὸ μὴ κακίαν ἢ πονηρίαν ἐν αὐτῇ εἶναι, ἀληθεύσει μὲν, ἀλλ' οὐ πάντως μηνύει τὸν Θεόν·

[00281] εἰσὶ γὰρ καὶ ἐν ἀνθρώποις ἄκακοι καὶ ἀπόνηροι.

[00282] Τοιούτους δὲ εἶναι πιστεύομεν καὶ τοὺς ἁγίους ἀγγέλους.

[00283] Οὐκοῦν ἀφ' ὧν ἔστιν, ἢ ἀφ' ὧν οὐκ ἔστιν, ἀληθέστερον καὶ οἰκειότερον σημανθήσεται.

[00284] ΑΛΛΟ.

[00285] Ὁ μακάριος Δαβὶδ ψάλλει, καί φησι πρὸς τὸν Υἱόν.

[00286] Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

[00287] Εἰ τοίνυν ἕτερόν τί ἐστι τὸ μετέχον παρὰ τὸ μετεχόμενον·

[00288] ἄλλο γὰρ ἐν ἄλλῳ νοεῖσθαι χρή·

[00289] μετέχει δὲ ἡ κτίσις τοῦ Υἱοῦ, ἕτερος ἂν εἴη παρὰ τὴν μετέχουσαν αὐτοῦ κτίσιν·

[00290] οὐκοῦν οὐδὲ γενητός.

[00291] Εἰ δὲ οὐκ ἔστιν ἕτερος παρ' ἐκείνην ὁ Υἱὸς, καὶ κατὰ φύσιν αὐτῆς διῃρημένος, τίς ἡ χρεία τῆς μετοχῆς;

[00292] ἢ πῶς ἄν τις μετάσχοι τοῦ ὅπερ ἐστὶν αὐτός;

[00293] ΛΟΓΟΣ Β′.

[00294] Ὅτι τὸ ἀγένητον οὐκ οὐσία, ἀλλ' οὐσίας σημαντικόν.

[00295] Τὸ ἀγένητον ὡς ἀρχὴ καὶ αἴτιον νοεῖταί τε καὶ ἔστιν.

[00296] Οὐδεμία δὲ ἀρχὴ, καθὸ ἀρχή ἐστιν, ὅμοιόν τι ἑαυτῇ ἢ ἀνόμοιον σημαίνει.

[00297] Ἡ δὲ ἀγένητος φωνὴ σημαίνει τὸ γενητὸν ἀνόμοιον ὑπάρχον αὐτῷ·

[00298] τοῦτο γὰρ τὸ ἀντικείμενον.

[00299] Οὐκ ἄρα τὸ ἀγένητον οὐσία, ἀλλὰ τοῦ μὴ τοιῶσδε εἶναι τὴν οὐσίαν, καθ' ἧς ἂν τάττοιτο τὸ σημαντικόν.

[00300] ΑΛΛΟ.

[00301] Ὅτι μὲν οὐκ οὐσία τὸ ἀγένητον, ἤδη δέδεικται.

[00302] Ἀλλ' ἐρεῖ τις τυχὸν, οὐσίαν μὲν οὐκ εἶναι, διαφορὰν δέ·

[00303] ἀμαθῶς δὲ καὶ τοῦτο λέγων ἐλεγχθήσεται.

[00304] Εἰ γὰρ πᾶσα διαφορὰ περὶ τὰς οὐσίας γίνεται, ζητεῖν ἀνάγκης ἂν εἴη τὴν οὐσίαν, ἧς ἔσται διαφορὰ τὸ ἀγένητον.

[00305] Οἷον φέρε εἰπεῖν, ὁρίζεται ζῶον τῷ τοιῷδε λόγῳ·

[00306] Οὐσία ἔμψυχος αἰσθητική.

[00307] Περὶ ταύτην τὴν οὐσίαν ἡ διαφορὰ γίνεται.

[00308] Τὸ μὲν γάρ ἐστι ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, οἷον ὁ ἄνθρωπος·

[00309] τὸ δὲ ζῶον ἄλογον, οἷον ἵππος.

[00310] Οὐκοῦν, προϋποκειμένης τῆς οὐσίας, αἱ διαφοραὶ προσεπινοοῦνται.

[00311] Εἰ τοίνυν διαφορὰ τὸ ἀγένητον, ζητείσθω καὶ ἡ οὐσία.

[00312] τίνος ἔσται διαφορά·

[00313] ἀμήχανον γὰρ οὐσίας φορέσαι λόγον τὴν διαφοράν.

[00314] ΑΛΛΟ.

[00315] Εἰ τὸ ἀγένητον οὐσία, καὶ οὐ τοῦ μὴ γενηθῆναι σημαντικόν ἐστι, κατὰ τίνα τρόπον ὁ Υἱὸς ἀνόμοιος ἔσται τῷ Πατρὶ, γεννητῶς ὑπάρχων ἐξ αὐτοῦ;

[00316] Εἰ γὰρ μή τινα διαφορεῖ τὰ ὀνόματα πρὸς ἄλληλα τὴν ἀντι [75.29] διαστολὴν, μηδὲ ἀλλήλοις μάχεται κατὰ τὸ ἐξ ἀμφοῖν σημαινόμενον, οὐδὲν κωλύσει κατ' οὐσίαν ὅμοιον εἶναι τῷ Πατρὶ τὸν Υἱόν·

[00317] καὶ τοῦ ἀγενήτου εἰς οὐσίαν λαμβανομένου, ὁμοίως δὲ καὶ τοῦ γενητοῦ.

[00318] Οὐσία γὰρ ὡς πρὸς οὐσίαν, οὐκ ἔσται ἐναντία, καθὸ οὐσίαι ἀμφότεραι.

[00319] ΑΛΛΟ.

[00320] Εἰ πᾶν ἀγένητον παντὶ γενητῷ ἀνόμοιον, ἀληθεύσει τις λέγων, ὅτι καὶ πᾶν γενητὸν παντὶ γεννητῷ ὅμοιον.

[00321] Γεννητὸς δὲ ὑπάρχων ὁ Υἱὸς, οὐδεμίαν ἔχει τὴν ὁμοιότητα πρὸς τὰ ὄντα γεννητῶς·

[00322] ἔστι γὰρ ὑπὲρ πᾶσαν τὴν κτίσιν.

[00323] Οὐκ ἄρα διὰ τὸ ἀγένητον εἶναι τὸν Πατέρα, ἀνόμοιος ἔσται κατὰ φύσιν αὐτῷ, γεννητῶς ὑπάρχων ἐξ αὐτοῦ Υἱός.

[00324] Ὥσπερ γὰρ τὴν πρὸς τὰ γενητὰ γεννητὸς ὑπάρχων ἀναβέβηκεν ὁμοίωσιν·

[00325] οὕτω τῆς πρὸς τὸ ἀγένητον ἐμφερείας οὐ καταβήσεται, κἂν ὑπάρχῃ γεννητός.

[00326] Ἀνθυποφορὰ ὡς ἐκ τῶν αἱρετικῶν.

[00327] Τὸ ἀγένητον, φασὶν, ἐπὶ Θεοῦ, οὐσίαν εἶναί φαμεν·

[00328] καὶ ἔσται τὸ ὄνομα ὁρικὸν, ὥσπερ ἂν εἴ τις ὁρίσαιτο καὶ τὴν οὐσίαν τοῦ ἀνθρώπου λέγων·

[00329] Ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν.

[00330] Πρὸς τοῦτο λύσις.

[00331] Ἀμαθῶς καὶ τοῦτο προτείνοντες ἐλεγχθήσονται·

[00332] εἰ γὰρ ὁρικὸν εἶναι βούλεσθε τὸ ἀγένητος ὄνομα, ἐκ γένους ἔστω καὶ διαφορᾶς, ἤτοι διαφορῶν·

[00333] χωρὶς γὰρ τούτων ὅρος οὐκ ἂν γένοιτό ποτε.

[00334] Τὸ δὲ τοιοῦτον ἀγένητον, εἰς οὐδὲν οὐσίας ὑπάρχον γένος, ὅρος οὐκ ἂν εἶναι δύναιτο·

[00335] πρὸς δέ γε τούτῳ, τὰ γένη φιλοσόφως ὁριζόμενα παρ' ἐκείνων ὁρῶμεν, οὐκ ἐν μιᾷ λέξει καὶ μόνῃ, ἀλλ' ἐν πλείοσιν·

[00336] ὡς τὸ οὐσία ἔμψυχος αἰσθητικὴ, ἢ ζῶον λογικὸν θνητόν.

[00337] Καὶ εἰ ἑνὸς ὀνόματος ἀπόφασις οὐκ ἐξαρκέσει πρὸς οὐσίας δήλωσιν, οὐκ ἄρα ὁρικὸν τὸ ἀγέννητος.

[00338] ΑΛΛΟ.

[00339] Εἰ πᾶς ὅρος τὸ τί ἐστι κατὰ φύσιν τῶν σημαινομένων ἕκαστον εἰσφέρει, καὶ οὐχὶ τί οὐκ ἔστιν·

[00340] ἡ δὲ ἀγέννητος φωνὴ, οὐ τί ἐστιν ὁ Θεὸς, ἀλλὰ τί οὐκ ἔστι δηλοῖ (ὅτι γὰρ οὐκ ἐγενήθη, διὰ τοῦτο ἀγένητος)·

[00341] οὐκ ἂν εἴη ὅρος τὸ ἀγένητος ὄνομα.

[00342] ΑΛΛΟ.

[00343] Τῶν οὐσιῶν τοὺς ὅρους ἢ φέρε εἰπεῖν τῶν συμβεβηκότων, οἱ περὶ ταῦτα σοφοὶ, οὐκ ἐκ τῶν ἀντικειμένων γίνεσθαι βούλονται, ἀλλ' ἐξ ὧν εἰσιν ὁμολογουμένως·

[00344] οἷον ὥσπερ εἴ τις εἰπεῖν ἀπαιτούμενος τί ἐστι λευκὸν, ἀποκρίναιτο τὸ μὴ μέλαν.

[00345] Τοῦτο γὰρ οὐ τί ἐστι τὸ ὁριζόμενον, ἀλλὰ τί οὐκ ἔστι δηλοῖ.

[00346] Εἰ τοίνυν ἡ ἀγένητος φωνὴ τὸ μὴ γεγενῆσθαι σημαίνει, ἐκ τῶν ἀντικειμένων ἔχει τὴν δήλωσιν, ὑγιὴς δὲ ὅρος οὐκ ἂν γένοιτο διὰ τῶν τοιούτων.

[00347] Οὐκ ἄρα ὅρος τὸ ἀγέννητον.

[00348] ΑΛΛΟ.

[00349] Ἡ ἀγένητος φωνὴ τῶν πολλαχῶς λεγομένων νοοῖτο κυρίως, καὶ ἐν τοῖς ὁμωνύμοις εὐλόγως ἂν [75.32] κατατάττοιτο.

[00350] Εἰ τοίνυν οἱ τῶν οὐσιῶν ὅροι οὐκ ἐκ τῶν ὁμωνύμων, οὐδ' ἐκ τῶν πολλαχῶς νοουμένων λαμβάνονται (οὐδὲ γὰρ ἔσται σαφὲς τὸ ὁριζόμενον, εἰ ἐκ τούτων λαμβάνοιτο), ἡ δὲ ἀγένητος φωνὴ, καθάπερ ἤδη προείπομεν, τῶν ὁμωνύμων ἐστὶν, οὐκ ἂν εἴη ὅρος τὸ ἀγένητον.

[00351] ΑΛΛΟ.

[00352] Εἰ ὅρος ἐστὶ τὸ ἀγέννητος ὄνομα ἤτοι φωνὴ, δέξεται δηλονότι κατὰ τὸ τῶν ὅρων σχῆμα τὴν ἀντιστροφήν·

[00353] ὥσπερ εἴ τις τὸν ἄνθρωπον ὁρίζων, ὡς εἴη ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ἀντιστρέφων πάλιν αὐτὸ λέγοι·

[00354] Εἴ τις ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, τοῦτο πάντως καὶ ἄνθρωπος.

[00355] Εἰ τοίνυν τὸ ἀγένητον, καθάπερ ἤδη προείπομεν, ὅρος ἐστὶ, μὴ παραιτείσθω τὴν ἀντιστροφήν·

[00356] εἰ γὰρ τὸ ἀγένητον οὐσία, καὶ ἡ οὐσία ἀγένητον·

[00357] ἀλλ' οὐκ ἀντιστρέφει.

[00358] Οὐ γὰρ πᾶσα οὐσία πάντως ἐστὶ καὶ ἀγένητος·

[00359] μόνῳ δὲ Θεῷ κατ' ἐξαίρετον τοῦτό ἐστιν.

[00360] Ὅρος οὖν οὐκ ἂν εἴη τὸ ἀγένητον·

[00361] ἀλλ' ὅτι μὴ γεγένηται μόνον σημαίνει.

[00362] ΛΟΓΟΣ Γʹ.

[00363] Ἀπολογία αὐτολεξεὶ, ὅτι μὴ τὸ ἀγένητον οὐσία, μόνον δὲ τοῦ μὴ γεγονέναι τὸν Θεὸν, σημαντι κόν.

[00364] Εἰ τὸ ἀγένητον οὐσία, τῇ δὲ οὐσίᾳ οὐδὲν ἐναντίον, οὐδὲν ἄρα ἔσται τῷ ἀγενήτῳ ἐναντίον.

[00365] Εἰ δέ ἐστιν ἐναντίον τῷ ἀγενήτῳ τὸ γενητὸν, τῇ δὲ οὐσίᾳ οὐδὲν ἐναντίον, τὸ ἀγένητον οὐκ ἔσται οὐσία.

[00366] ΑΛΛΟ.

[00367] Εἰ τὸ ἀγένητον οὐσία, ἐξ ἀνάγκης ἔσται καὶ τὸ γενητὸν οὐσία·

[00368] εἰ δὲ οὐσία ἑκάτερα, οὐκ ἔσται ἐναντίον τῷ ἀγενήτῳ τὸ γενητὸν, ἀλλὰ ταυτόν.

[00369] Οὐ γὰρ ἐναντίον οὐσία πρὸς οὐσίαν.

[00370] ΑΛΛΟ.

[00371] Εἰ τὸ ἀγένητον οὐσίαν Θεοῦ σημαίνει, ἀλλ' οὐ τὸ μὴ γενέσθαι τὴν οὐσίαν, καὶ τὸ γενητὸν εἰκότως οὐσίαν, ἀλλ' οὐ τὸ γενέσθαι.

[00372] Οὐσίαν δὲ σημαινόντων ἑκατέρων, πόθεν γνῷ τις τὴν μὲν ποιοῦσαν, τὴν δὲ γινομένην, ἅπαξ τῶν ὀνομάτων οὐδὲν δηλούντων, ἀλλ' ἢ μόνον οὐσίαν;

[00373] ΑΛΛΟ.

[00374] Εἰ τὸ ἀγένητον οὐσία·

[00375] ἡ δὲ οὐσία ἐπὶ πάντων συνωνύμως λέγεται·

[00376] τὸ ἀγένητον ἐπὶ πασῶν τῶν οὐσιῶν λεχθήσεται, ἢ ἐπὶ πάντων τῶν ὑπ' αὐταῖς.

[00377] Εἰ δὲ τὸ ἀγένητον ἐπὶ πάντων οὐ κατηγορεῖται, ἡ δὲ οὐσία ἐπὶ πάντων, πῶς ταυτὸν οὐσία καὶ ἀγένητον·

[00378] ΑΛΛΟ.

[00379] Εἰ τὸ ἀγένητον οὐσία, οὐσία δὲ οὐσίας οὐκ ἔστι μᾶλλον καὶ ἧττον, οὐκ ἔσται κατὰ τοῦτο μᾶλλον τὸ ἀγένητον, ἀλλ' οὐδὲ ἧττόν τι αὐτοῦ.

[00380] Εἰ δὲ πάντων μὲν ὑπερέχει τὸ ἀγένητον, οὐκέτι δὲ καὶ ἡ οὐσία·

[00381] [75.33] εἰ δὲ μὴ, πάντα πάντων ὑπερέξει·

[00382] οὐκ ἄρα ἔσται τὸ ἀγένητον οὐσία.

[00383] ΑΛΛΟ.

[00384] Εἰ τὸ ἀγένητον οὐσίαν Θεοῦ σημαίνει, ἀλλ' οὐ τὸ μὴ γενέσθαι, ὀνομάτων αὐτῷ ἑτέρων χρεία τῶν δυναμένων δεῖξαι, τὸ μὴ ἔκ τινος αἰτίου γενέσθαι τὸν Θεόν.

[00385] Ἅπαξ γὰρ τὸ ἀγένητον τοῦ Θεοῦ οὐδὲν σημαίνει, ἀλλ' ἢ μόνον οὐσίαν Θεοῦ.

[00386] ΑΛΛΟ.

[00387] Εἰ ἡ οὐσία τοῦ Θεοῦ ἕν τί ἐστιν, ἀλλ' οὐ πολλὰ τῷ ἀριθμῷ, τὸ δὲ ἀγένητον, καὶ ἀβασίλευτον, καὶ τὰ λοιπὰ, πολλὰ, ἀλλ' οὐχ ἓν τῷ ἀριθμῷ·

[00388] οὐκ ἔσται ἄρα ταυτὸν ἡ οὐσία τῷ ἀγενήτῳ καὶ ἀβασιλεύτῳ, ὡς οὐδὲ τὸ ἓν τοῖς πολλοῖς.

[00389] ΑΛΛΟ.

[00390] Εἰ τὸ ἀγένητον, καὶ τὸ γενητὸν, καὶ τὰ λοιπὰ, οὐσία Θεοῦ, ἕτερα δέ εἰσι ταῦτα ταῖς φωναῖς, ἀνάγκη τὴν οὐσίαν ἐκείνην οὕτω συγκεῖσθαι κατὰ τὰς διαφόρους φωνάς·

[00391] ἵν' οἰκείως αἱ φωναὶ κατ' αὐτῆς λέγωνται·

[00392] ἢ μὴ συγκειμένης αὐτῆς, ἀκόλουθον εἶναι ταῦτα τῶν προσόντων τῇ οὐσίᾳ σημαντικὰ, ἀλλ' οὐ καθ' αὑτὰ οὐσίας.

[00393] ΑΛΛΟ.

[00394] Εἰ ἡ οὐσία τοῦ Θεοῦ οὐ διά τι λέγεται (ἔστι γὰρ δι' οὐδὲν), ἡ δὲ ἀγένητος φωνὴ, διὰ τὸ πάντων αὐτὸν εἶναι κρείττω καὶ ὑπερέχειν·

[00395] οὐκ ἔσται ἄρα ταυτὸν ἡ μὴ διά τι λεγομένη τῷ δι' αἰτίαν λεγομένῳ.

[00396] ΑΛΛΟ.

[00397] Εἰ τὸ ἀγένητον πρὸς τὴν ἀγενησίαν ἔχει τὴν ἀναφορὰν, ἡ δὲ οὐσία τοῦ Θεοῦ πρὸς οὐδὲν ἔχει τὴν σχέσιν, πῶς ταυτὸν ἔσται τὸ πρός τί πως ἔχον τῇ πρὸς μηδὲν ἐχούσῃ οὐσίᾳ;

[00398] ΑΛΛΟ.

[00399] Εἰ τῇ τοῦ Θεοῦ οὐσίᾳ οὐδὲν ἀντιδιαστέλλεται, τῷ δὲ ἀγενήτῳ ἀντιδιαστέλλεται τὸ γενητὸν, πῶς οἷόν τε εἶναι ταυτὸν οὐσίαν καὶ ἀγένητον;

[00400] ΑΛΛΟ.

[00401] Εἰ πᾶσα οὐσία ῥηθεῖσα θατέρα πρὸς θατέραν, οὐ δηλοῖ τὴν ἑαυτῆς ὑπεροχὴν, μὴ συμπαραληφθέντος τοῦ τῆς ὑπεροχῆς ὀνόματος, ῥηθὲν δὲ τὸ ἀγένητον εὐθὺς ἐμφαίνει διαφορὰν, πῶς οὐχὶ οἱ λέγοντες, Ταυτὸν οὐσία καὶ ἀγένητον, ἀφρονέστατοι;

[00402] ΑΛΛΟ.

[00403] Εἰ τὸ ἀγένητον οὐσία, ἔσται πᾶσα οὐσία ἀγένητον, ὅπερ ἀσεβές.

[00404] ΑΛΛΟ.

[00405] Εἰ τὸ ἀγένητον οὐσία, ἴδιον δὲ οὐσίας τἀναντία δέχεσθαι, τῶν ἐναντίων ἐπιδεκτικὸν ἔσται τὸ ἀγένητον.

[00406] Εἰ δὲ ἴδιον μὲν τοῦτο οὐσίας (τῷ γὰρ μὴ δημιουργεῖν τὸ δημιουργεῖν ἀντίκειται, οὐκέτι δὲ καὶ τῷ [75.36] ἀγενήτῳ·

[00407] οὐ γὰρ συνέβη αὐτῷ τὸ γεγονέναι)·

[00408] οὐκ ἄρα ἔσται οὐσία τὸ ἀγένητον.

[00409] ΑΛΛΟ.

[00410] Εἰ οὐσίαν λέγοντες ἐπὶ Θεοῦ, τῇ τῶν φιλοσόφων ἕπονται δόξῃ, ἴδιον ἔσται Θεοῦ, τἀναντία δέχεσθαι.

[00411] Εἰ δὲ εἶναι τὸν Θεὸν σημᾶναι βουλόμενοι, τῷ τῆς οὐσίας, καθὰ καὶ ἡμεῖς, χρῶνται ὀνόματι·

[00412] ἔστι δὲ ταυτὸν τῇ οὐσίᾳ τὸ ἀγένητον·

[00413] ὄνομα ἔσται τὸ ἀγένητον τοῦ εἶναι τὸν Θεὸν σημαντικὸν, ἀλλ' οὐκ αὐτὸ οὐσία.

[00414] ΑΛΛΟ.

[00415] Εἰ πᾶν τὸ ὑπὸ γένος καὶ εἶδος χωρὶς τῶν συμβεβηκότων, τοῦτο οὐσία κυρίως, ὑπ' οὐδὲν δὲ τούτων ἐστὶ Θεὸς, οὐκ ἄρα οὐσία κυρίως λέγεται Θεός.

[00416] Εἰ δὲ τὸ ἀγένητον κυρίως λέγεται ἐπ' αὐτοῦ (οὐ γὰρ γέγονεν), οὐκέτι δὲ καὶ ἡ οὐσία, πῶς ταυτὸν ἂν εἴη τῷ καταχρηστικῷ τὸ κύριον;

[00417] ΑΛΛΟ.

[00418] Εἰ τὸ κυριώτατον καὶ πρῶτον οὐσία λέλεκται, διὰ τὸ πᾶσι τοῖς συμβεβηκόσιν αὐτὸ ὑποκεῖσθαι·

[00419] οὐκ ἔστι δὲ συμβεβηκὸς, ᾧ καθυποκεῖται Θεός·

[00420] οὐδὲ οὐσία ἄρα κυρίως λέγεται ἐπὶ Θεοῦ.

[00421] Ἔστι γὰρ ὑπερούσιος.

[00422] Εἰ δὲ τὸ ἀγένητον κυρίως λέγεται ἐπ' αὐτοῦ (ἔστι γὰρ μὴ γενόμενος), οὐκέτι δὲ καὶ ἡ οὐσία·

[00423] οὐ ταυτὸν οὐσία καὶ ἀγένητον.

[00424] ΑΛΛΟ.

[00425] Εἰ τὸ ἀγένητον, καὶ ἀβασίλευτον, καὶ τὰ λοιπὰ, ἐκ παραλλήλου οὐσίας σημαίνουσιν, οὐκ εἰσὶ δὲ ταυτὰ τοῖς σημαίνουσι τὰ σημαινόμενα·

[00426] οὐκ ἔσται ἄρα ταυτὸν οὐσία καὶ ἀγένητον·

[00427] ὡς οὐδὲ τῷ σημαίνοντι τὸ σημαινόμενον.

[00428] ΑΛΛΟ.

[00429] Εἰ τὸ ἀγένητον οὐ διὰ τὸ μὴ γεγονέναι, ἀλλὰ διὰ τὸ εἶναι οὐσίαν τοῦ Θεοῦ, λέλεκται, καὶ τῶν οὐσιῶν ἑκάστη ἂν εἴη ἀγένητον.

[00430] Εἰ δὲ εἰσὶ μὲν οὐσίαι πολλαὶ, οὐκέτι δὲ καὶ ἀγένητοι·

[00431] οὐκ οὐσίαν ἄρα ἐμφαίνει τὸ ἀγένητον, ἀλλὰ τῆς οὐσίας τὴν ὑπεροχήν.

[00432] ΑΛΛΟ.

[00433] Εἰ ἐπὶ Θεοῦ μόνον τὸ ἀγένητον, ὥς φασιν, οὐσία ἐστὶν, εἴη ἂν αὐτῆς καὶ ὅρος, ἧς μόνον ἴδιον τὸ ἀγένητον.

[00434] Εἰ δὲ μηδείς ἐστιν ὅρος ᾧ ὑποβάλλεται οὐσία Θεοῦ, οὐδ' ὄνομα ἄρα κύριόν ἐστιν ἐπὶ Θεοῦ τὸ ἀγένητον, ὡς μηδὲν ἄλλο αὐτὸ ἐμφαίνειν, ἀλλ' ἢ μόνον οὐσίαν Θεοῦ.

[00435] ΛΟΓΟΣ Δʹ.

[00436] Πρὸς τοὺς τολμῶντας λέγειν, ὅτι Ἦν ποτε, ὅτε οὐκ ἦν ὁ Υἱός.

[00437] Ἐκλογαὶ συλλογισμῶν, καὶ νοημάτων κατασκευαὶ, σὺν μαρτυρίαις·

[00438] τὸ δὲ συναγόμενον ἐκ πάντων, ὅτι ἀΐδιος ὁ τοῦ Θεοῦ Λόγος.

[00439] Ἀνοήτως λέγουσιν οἱ θεομάχοι περὶ τοῦ Υἱοῦ, ὅτι [75.37] Ἦν ὅτε οὐκ ἦν.

[00440] Εἰ μὲν γὰρ ἐπ' αὐτοῦ φέροιτο, φασὶ, τοῦ Λόγου, τὸ Ἦν, οὐδένα τόπον ἕξει τὸ Οὐκ ἦν.

[00441] Εἰ δέ τις ἐπὶ χρόνου λαμβάνοι τὸ Ἦν, ἵνα λέγῃ σαφῶς, ὅτι ἦν χρόνος ὅτε οὐκ ἦν ὁ Υἱὸς, ἀμαθὴς ὢν καὶ ἀνόητος ἐλεγχθήσεται, χρόνον εἶναι λέγων πρὸ τῆς ὑπάρξεως τοῦ Υἱοῦ, δι' οὗ πεποιῆσθαι τοὺς αἰῶνας Παῦλός φησιν.

[00442] Ὅτι ἀΐδιος ὁ τοῦ Θεοῦ Λόγος, μαρτυρίαι.

[00443] Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος.

[00444] Ἐν τῇ Ἀποκαλύψειτῇ Ἰωάννου τάδε λέγει, Ὁ ὢν, ὁ ἦν, ὁ ἐρχόμενος, ὅτι ὁ ἐρχόμενος, ὁ Λόγος ἐστὶ, καθ' οὗ τὸ Ὁ ὢν, καὶ Ὁ ἦν τέτακται.

[00445] Ἰδοὺ γὰρ, φησὶν, ἐγὼ ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει Κύριος.

[00446] Σαφῶς δὲ καὶ ὁ Ἰωάννης ἐπὶ τοῦ Λόγου τίθησι τὸ Ἦν·

[00447] Ἦνγὰρ, φησὶν, ὁ Λόγος πρὸς τὸν Θεόν.

[00448] Προσεῖναι δὲ πάντως δεῖ τὸ ἀΐδιον τῷ καθ' οὗ τὸ Ὢν καὶ τὸ Ἦν τέτακται.

[00449] Μαρτυρίαι.

[00450] Ὁ Παῦλος περὶ Ἰουδαίων·

[00451] Ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας.

[00452] Ἀμήν.

[00453] Ὁ αὐτὸςπερὶ τοῦ Λόγου·

[00454] Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται·

[00455] ἥ τε ἀΐδιος αὐτοῦ δύναμις, καὶ θειότης.

[00456] Εἰ δὲ ἐπὶ τοῦ Πατρὸς ἐνεχθείη τὸ ῥητὸν, ἑτέρως εἰς τὸν Υἱὸν περιτραπήσεται.

[00457] Τίς γὰρ ἡ τοῦ Θεοῦ δύναμις, ὁ Παῦλος βοᾷ·

[00458] Ὁ Χριστὸς, Θεοῦ δύναμις καὶ Θεοῦ σοφία.

[00459] Ὁ Ψαλμῳδὸς τὸ αὐτό·

[00460] Ἔντειλαι, ὁ Θεὸς, τῇ δυνάμει σου.

[00461] Δυνάμωσον, ὁ Θεὸς, τοῦτο ὃ κατειργάσω ἐν ἡμῖν.

[00462] Τίς δὲ ὁ δυναμώσας τοῦτο τὸ καταρτισθὲν ἡμῖν, εἰ μὴ ὁ ἐκ τῆς φθορᾶς ἡμᾶς λυτρωσάμενος τοῦ Θεοῦ Λόγος, καὶ ἀναστήσας εἰς ἀφθαρσίαν;

[00463] ΑΛΛΟ.

[00464] Εἰς τὸ αὐτὸ κατασκευὴ πιθανὴ, ὅτι τὸ ῥητὸν τὸ λέγον, Τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κό σμου, τοῖς ποιήμασι νοούμενα καθορᾶται·

[00465] ἥ τε ἀΐδιος αὐτοῦ δύναμις, καὶ θειότης, τὸν Υἱὸν σημαίνει.

[00466] Ὁ δὲ λόγος τῆς κατασκευῆς οὗτος·

[00467] Γέγραπται·

[00468] Οὐδεὶς γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἂν ὁ Υἱὸς ἀποκαλύψῃ.

[00469] Εἰ δὲ μόνῳ τῷ Υἱῷ ὁ Πατὴρ γινώσκεται, καὶ δι' αὐτοῦ μόνου τοῖς ἄλλοις ἀποκαλύπτεται, οὐ διὰ κτίσεως ἄρα, οὐδὲ τοῖς ποιήμασι νοούμενος ὁ Πατὴρ καθορᾶται.

[00470] Ἀλλ' ἡ μὲν κτίσις τὸν ἑαυτῆς δημιουργὸν τὸν Θεὸν Λόγον·

[00471] ὁ δὲ Λόγος ἐν ἑαυτῷ δεικνύει τὸν Πατέρα.

[00472] Καὶ γοῦν τῷ Φιλίππῳ λέγοντι, Δεῖξον ἡμῖν τὸν Πατέρα, οὐκ ἐκ τῆς τῶν ποιημάτων καλλονῆς ἀναλόγως αὐτὸν θεωρεῖν ἐπιτάττει, ἀλλ' ἑαυτὸν δεικνύει, λέγων·

[00473] Ὁ ἑωρακὼς, ἐμὲ, ἑώρακε καὶ τὸν Πατέρα.

[00474] Ἕτεραι μαρτυρίαι, ὅτι ἀΐδιος ὁ Υἱός.

[00475] Ὁ Ψαλμῳδὸς αὐτὸν καλεῖ, Ὁ ὑπάρχων πρὸ τῶν [75.40] αἰώνων, οὐχ ὁ γενόμενος·

[00476] ὁ Ἡσαΐας, Θεὸς αἰώνιος, Θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς.

[00477] Εἰ δὲ ὁ Λόγος ἐστὶν ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς, κεῖται δὲ ἐπ' αὐτοῦ τὸ, αἰώνιος, ἦν ἀεὶ δηλονότι, καὶ οὐκ ἐγένετο.

[00478] ΑΛΛΟ.

[00479] Γράφει Παῦλος περὶ τοῦ Λόγου·

[00480] Ὅς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ.

[00481] Ψάλλει καὶ Δαβίδ·

[00482] Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμῶν.

[00483] Καὶ πάλιν·

[00484] Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

[00485] Πότε οὖν ἦν ὁ Πατὴρ χωρὶς τοῦ ἰδίου ἀπαυγάσματος;

[00486] πότε δὲ οὐκ ἦν ἐν Θεῷ ἡ λαμπρότης αὐτοῦ;

[00487] Καὶ πάλιν·

[00488] Εἰ φῶς ἐστιν ἐκ φωτὸς τοῦ Πατρὸς ὁ Υἱὸς, πότε οὐκ ἦν ἐν Πατρὶ τὸ φῶς αὐτοῦ;

[00489] Ὡς γὰρ ἀχώριστον τοῦ πυρὸς τὸ φωτίζειν, οὕτω καὶ τοῦ Πατρὸς τὸ ἐξ αὐτοῦ γεννώμενον φῶς.

[00490] ΑΛΛΟ.

[00491] Ψάλλει Δαβίδ·

[00492] Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων.

[00493] Εἰ δὲ ὁ πᾶς χρόνος ἐν τοῖς αἰῶσι μετρεῖται, βασιλεύει δὲ ἐν αὐτοῖς ὁ Λόγος, οὐκ ἦν ἄρα χρόνος ὅτε οὐκ ἦν ὁ Υἱός.

[00494] ΑΛΛΟ.

[00495] Ἀπόδειξις διὰ μαρτυριῶν, ὅτι αἱ θεῖαι Γραφαὶ, τὸ ἦν, καὶ τὸ ὁ ὢν, καὶ τὸ ὑπάρχων, καὶ τὸ ἤμην, καὶ τὸ εἰμὶ, καὶ τὸ ἔστιν, ἐπὶ τοῦ Λόγου τιθέασι μόνου, ἐπὶ δὲ τῶν γενητῶν οὐκέτι, ἀλλὰ μᾶλλον τὸ ποτὲ, καὶ τὸ πρὶν, καὶ τὸ πρὸ τοῦ, καὶ τὸ γέγονε, καὶ ὅσα τούτοις ὅμοια.

[00496] Ὁ Σωτὴρ τὸ ἀΐδιον τῆς ἰδίας ὑποστάσεως σημαίνων ἔλεγεν·

[00497] Ἐγώ εἰμι ἡ ἀλήθεια·

[00498] ἐγώ εἰμι τὸ φῶς·

[00499] ἐγώ εἰμι ὁ ποιμήν.

[00500] Καὶ πάλιν πρὸς τοὺς μαθητάς·

[00501] Ὑμεῖς καλεῖτέ με, ὁ Κύριος καὶ ὁ Διδάσκαλος, καὶ καλῶς λέγετε·

[00502] εἰμὶ γάρ·

[00503] καὶ ὁ Ψαλμωδὸς περὶ αὐτοῦ·

[00504] Πρὸ τοῦ ὄρη ἑδρασθῆναι, καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην·

[00505] καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ.

[00506] Αὐτὸς περὶ ἑαυτοῦ·

[00507] Ἐγώ εἰμι ἡ ὁδός·

[00508] καὶ ἐγώ εἰμι ἡ θύρα.

[00509] Ὁ Πατὴρ δὲ περὶ αὐτοῦ·

[00510] Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητός·

[00511] καὶ πάλιν, Κύριος εἶπε πρός με·

[00512] Υἱός μου εἶ σύ.

[00513] Πανταχοῦ τὸ εἶ, καὶ τὸ ἦν, ἐν τούτοις φέρεται·

[00514] οὐδαμοῦ δὲ τὸ γέγονεν.

[00515] Ἐπὶ δὲ τῶν γενητῶν·

[00516] Πνεῦμα θεῖον τὸ ποιῆσάν με·

[00517] ὁ Μωσῆς τὰ περὶ γενέσεως κόσμου διηγούμενος·

[00518] Καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι·

[00519] οὐ γὰρ ἔβρεξεν ὁ Θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν.

[00520] Ὅτι τὸ, ὅτε, χρόνον ἀεὶ σημαίνει.

[00521] Ἐν τῷ Δευτερονομίῳ, Ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη.

[00522] [75.41] Ὅτι τὸ, πρὸ τοῦ, ἐπὶ τῶν γενητῶν.

[00523] Ἐν τῷ Σολομῶνι ἡ Σοφία περὶ ἑαυτῆς·

[00524] Πρὸ τοῦ τὴν γῆν ποιῆσαι·

[00525] πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι·

[00526] πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων·

[00527] πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.

[00528] Ὁ Σωτήρ·

[00529] Ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι.

[00530] Πρὸς Ἱερεμίαν ὁ Θεός·

[00531] Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε·

[00532] καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε.

[00533] Ἐν τῷ Δανιὴλ ἡ Σωσάννα·

[00534] Ὁ Θεὸς ὁ μέγας καὶ ὁ αἰώνιος, ὁ τῶν κρυπτῶν γνώστης·

[00535] ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν.

[00536] Ἔτι περὶ τοῦ ἀΐδιον εἶναι τὸν Υἱὸν, ὡς ἐξ ἀντιθέσεως κατασκευή.

[00537] Ἀντίθεσις ἑτεροδόξων.

[00538] Εἰ μὴ ἦν ποτε, ὅτε οὐκ ἦν, φησὶν, ἀλλ' ἀΐδιός ἐστιν ὁ Υἱὸς, καὶ συνυπάρχει τῷ Πατρὶ, οὐκέτι Υἱὸν, ἀλλ' ἀδελφὸν εἶναι λέγετε τοῦτον.

[00539] Πρὸς τοῦτο λύσις.

[00540] Συναΐδιον εἶναι λέγοντες, καὶ Υἱὸν εἶναί φαμεν.

[00541] Εἰ μὲν οὖν ἦν ἁπλῶς συναΐδιος καὶ οὐχ Υἱὸς, χώραν εἶχεν ὑμῶν ἡ ὑπόνοια·

[00542] ἐπεὶ δὲ πρὸς τῷ ἀϊδίῳ καὶ Υἱὸν ὁμολογοῦμεν, πῶς ὁ Υἱὸς ἀδελφός ἐστι τοῦ γεννήσαντος;

[00543] ΑΛΛΟ.

[00544] Εἰ ἡ πίστις ἡμῶν εἰς Πατέρα καὶ Υἱόν ἐστι, καὶ οὕτω βαπτιζόμεθα, ποία ἀδελφότης ἐν τούτῳ φαίνεται;

[00545] ἢ πῶς ὁ Λόγος ἀδελφὸς εἶναι δύναται οὗ ἐστι Λόγος;

[00546] ΑΛΛΟ.

[00547] Οὐκ ἔκ τινος ἀρχῆς προϋπαρχούσης ἐγεννήθησαν ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ἵνα καὶ ἀδελφοὶ νομισθῶσιν.

[00548] Ἀλλ' ὁ Πατὴρ ἀρχὴ τοῦ Υἱοῦ, καὶ τίκτει τὸν Υἱὸν, καὶ μένει Πατὴρ, καὶ οὐχ Υἱός τινος λέγεται·

[00549] καὶ ὁ Υἱὸς Υἱός ἐστι, καὶ ὅπερ ἐστὶ μένει·

[00550] καὶ οὐκ ἀδελφός τινος κατὰ φύσιν λέγεται.

[00551] Ποῖον οὖν ἕξει τόπον ἀδελφότης ἐν τούτοις;

[00552] Ἔτι περὶ ἀϊδιότητος.

[00553] Εἰ τέλειος ὁ Πατὴρ, τέλειον ἔσται καὶ τὸ ἐξ αὐτοῦ.

[00554] Καὶ εἰ πρὸς τούτῳ τὸ ἀΐδιον ἔχει, ἀΐδιον ἔσται καὶ τὸ ἐξ ἀϊδίου Πατρὸς οὐκ ἐπισυμβεβηκὸς τῇ τοῦ Γεννήσαντος οὐσίᾳ, ἀλλ' ἀεὶ συνυπάρχον αὐτῇ·

[00555] καὶ οὐκ ἀτελὲς διὰ τὸ ἐν χρόνῳ γενέσθαι, κατά τινας·

[00556] ἀλλὰ τέλειον, διὰ τὸ πρὸ παντὸς εἶναι χρόνου.

[00557] ΑΛΛΟ.

[00558] Ἐπαπόρησις ἑτέρα διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς, οὕτως.

[00559] Εἰ οὐκ ἔστιν Υἱὸς ὁ τοῦ Θεοῦ Λόγος, ἀλλ' ἐξ οὐκ ὄντων ὡς ποίημα γέγονε, δεικνύτω πρότερον ὁ βουλόμενος.

[00560] Εἶθ' οὕτω φερέτω λοιπὸν κατὰ ποιήματος, τὸ Ἦν ὅτε οὐκ ἦν.

[00561] Εἰ δὲ Υἱὸν αὐτὸν αἱ θεῖαι καλοῦσι Γραφαὶ, καὶ οὕτως ὁ Πατὴρ ὀνομάζει, τὸ Υἱὸς ὄνομα τὴν ἐκ Πατρὸς γέννησιν σημαίνει·

[00562] οὐκ ἄρα ποίημα καὶ κτίσμα ἐστίν·

[00563] οὐ γὰρ ταυτὸν τῷ γεννω [75.44] μένῳ τὸ κτιζόμενον.

[00564] Εἰ δὲ τοῦτο ἀληθὲς, οὐχ ἕξει τόπον τὸ, Οὐκ ἦν, ἐφ' Υἱοῦ, κατὰ μόνων κτισμάτων κυρίως τιθέμενον.

[00565] ΑΛΛΟ.

[00566] Εἰ ἐγεννήθη ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς, τὸ δὲ ἐκ τοῦ Πατρὸς γεννηθὲν ὁ Λόγος ἐστὶν αὐτοῦ, καὶ ἡ σοφία, καὶ τὸ ἀπαύγασμα, οἱ λέγοντες·

[00567] Ἦν ὅτε οὐκ ἦν ὁ Υἱὸς, ἄντικρυς λέγουσιν, Ἦν ὅτε ἄλογος ἦν καὶ ἄσοφος, καὶ χωρὶς τοῦ ἰδίου ἀπαυγάσματος ὁ Πατήρ.

[00568] Εἰ δὲ τοῦτο ἄτοπον, ἀργήσει πάντως ἐπὶ τοῦ Υἱοῦ τὸ, Οὐκ ἦν.

[00569] Ἔσται οὖν τῷ Πατρὶ συναΐδιος.

[00570] ΑΛΛΟ.

[00571] Ἀντίθεσις οὐκ ἀληθὴς, ἀνατρέπειν δοκοῦσα τοῦ Υἱοῦ τὸ ἀΐδιον.

[00572] Εἰ τομὴν, φησὶν, ἡ θεία φύσις οὐκ ἐπιδέχεται, διὰ τὸ μὴ εἶναι πάθους δεκτικὴν (οἷς γὰρ τὸ πάσχειν κατὰ φύσιν ὑπάρχει, τούτοις ἐστὶν οἰκεῖον καὶ τὸ τέμνεσθαι), οὐ χρὴ λέγειν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν, ἵνα μή τι πάθος καὶ διαίρεσις περὶ τὴν ἁπλῆν φαίνηται φύσιν.

[00573] Εἰ γὰρ τὸ ἔκ τινος προελθὸν, ἕτερόν τι πάντως τῷ ἀριθμῷ παρ' ἐκεῖνο, ἐξ οὗ καὶ προῆλθε, μερισμός τις καὶ διακοπὴ περὶ τὴν θείαν ὁρᾶται φύσιν, εἰ μὴ ἔξωθεν, ἀλλ' ὄντως ἐξ αὐτῆς δοίημεν προελθεῖν τὸν Υἱόν.

[00574] Εἰ δὲ ἔξωθέν ἐστιν, ἐπισυμβέβηκεν ἄρα, καὶ οὐκ ἔστι τῷ Πατρὶ συναΐδιος.

[00575] Πρὸς τοῦτο λύσις.

[00576] Κακῶς καὶ ἀπαιδεύτως τὰ σωμάτων ἴδια τῇ ἀσωμάτῳ τινὲς προσάπτουσιν οὐσίᾳ.

[00577] Ἐπὶ σωμάτων μὲν γὰρ ἁρμόσει λέγειν, πάθος γίνεσθαι καὶ τομὴν καὶ διαίρεσιν·

[00578] ἐπὶ δὲ τῆς ἀσωμάτου φύσεως οὐδέν ἐστι τῶν τοιούτων.

[00579] Εἰ δὲ ἀσώματος ὁ Θεὸς, τίκτει μὴ μεριζόμενος, γεννᾷ μὴ τεμνόμενος.

[00580] Ἐπειδὴ καὶ τὸ πῦρ ἐξ ἑαυτοῦ τίκτει τὸ φῶς, οὐδεμίαν ὑπομένον διαίρεσιν, κἂν τῇ ἐπινοίᾳ χωρίζεσθαι δοκῇ πως αὐτοῦ τὸ ἐξ αὐτοῦ προελθόν.

[00581] Εἰ δέ τις ταῖς σωματικαῖς ἀνάγκαις ὑποβάλλοι τὸ ἀσώματον, αἰτιάσθω τοῦ οἰκείου νοῦ τὴν ἀσθένειαν, οὐ δυναμένου νοεῖν τὰ τῇ ἀσωμάτῳ πρέποντα φύσει.

[00582] Καὶ πάλιν·

[00583] εἰ ἀσθενοῦσί τινες περὶ τὸ νοῆσαι τὴν ἐξ ἀϊδίου Πατρὸς ἀΐδιον τοῦ Υἱοῦ γέννησιν, διά τε τοῦτο ταῖς σωματικαῖς ἀκολουθίαις ὑποβάλλουσι τὸ ἀσώματον, ἐπειδὴ καὶ τί ἐστιν, ἢ ποδαπὸς ὁ Πατὴρ κατὰ τὴν φύσιν οὐχ εὑρίσκουσιν, ἀρνείσθωσαν καὶ αὐτόν.

[00584] Εἰ δὲ πίστει τὰ ὑπὲρ ἡμᾶς παραλαμβάνεται, ὑπὲρ ἡμᾶς δὲ καὶ ἡ τοῦ Υἱοῦ γέννησις·

[00585] οὐδεὶς γὰρ αὐτοῦ τὴν γενεὰν διηγήσεται, καθά φησιν ὁ προφήτης, πίστει δεχέσθω καὶ τοῦτο, καὶ ἀργείτω τὸ, Οὐκ ἦν, ἐξ ἀνθρωπίνων λογισμῶν ἀσθενῶς εἰσφερόμενον.

[00586] ΑΛΛΟ.

[00587] Περὶ ἀϊδιότητος.

[00588] Συλλογισμὸς μετά τινος ἐπαπορήσεως πεπλε γμένος, καὶ συνάγων εἰς ὁμολογίαν τοῦ δεῖν Ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, οὐκ ἔξωθεν ἐπι γεγονότα τὸν Υἱὸν ὑπολαμβάνειν·

[00589] εἰ δὲ τοῦτο, δῆλον ὅτι καὶ τῷ Πατρὶ συναΐδιον.

[00590] [75.45] Εἰ κατὰ τὴν ὑμετέραν ὑπόνοιαν, ὦ θεομάχοι, ἐξ οὐκ ὄντων ἐστὶν ὁ Υἱὸς, καὶ οὐκ ἦν πρὶν γεννηθῇ, κατὰ τὸ μετέχειν τοῦ Θεοῦ, δηλονότι καθάπερ τὰ ἄλλα λογικὰ, καὶ αὐτὸς ἐκλήθη Θεὸς, καὶ Υἱὸς, καὶ Σοφία.

[00591] Τοῦτο γὰρ ὑπάρχει τοῖς λογικοῖς κτίσμασιν, οἷς οὐ φύσει τὸ τῆς θεότητος ἐπαληθεύεται κάλλος, ἀλλ' ἡ τοῦ διδόντος χάρις προξενεῖ·

[00592] ὡς ὅταν λέγῃ·

[00593] Ἐγὼ εἶπον·

[00594] Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες.

[00595] Σχέσει γὰρ τῇ πρὸς Θεὸν υἱοποιηθέντες παρ' αὐτοῦ θεοποιούμεθα.

[00596] Εἰ τοίνυν Θεοῦ μετασχόντες κατὰ χάριν, υἱοὶ Θεοῦ κεκλήμεθα, τίνος ἂν δοίημεν μετέχειν τὸν Λόγον, ἵνα γένηται Υἱὸς ἢ Θεός;

[00597] Ἡμεῖς μὲν γὰρ, τοῦ ἁγίου Πνεύματος·

[00598] ἐπὶ δὲ τοῦ Λόγου τοῦτο νομίζειν, ἀμαθές.

[00599] Αὐτὸς γάρ φησι περὶ τοῦ Πνεύματος·

[00600] Ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει·

[00601] Τίνος οὖν ἄρα μετέχει;

[00602] Λείπεται λέγειν, τοῦ Πατρός.

[00603] Καὶ τίς ἐστιν ὁ τῆς μετουσίας τρόπος;

[00604] ἢ τί τὸ ἐκ τοῦ Πατρὸς ἐξιὸν καὶ ἐν τῷ λόγῳ γινόμενον, ἵνα καὶ μετέχηται.

[00605] Φέρε εἰπεῖν, ὡς ἀπὸ πυρὸς θερμότης ἐν σώματι, ἢ ἔκ τινος ἄνθους εὐωδία·

[00606] μᾶλλον δὲ ὥσπερ εἰς ἡμῶν τὸ Πνεῦμα, περὶ οὗ φησιν ἡ Γραφή·

[00607] Ὅτι ἐκ τοῦ Πατρὸς ἐκπορεύεται.

[00608] Τί οὖν ἐστι τὸ ἐκ τοῦ Πατρὸς ἐξιὸν καὶ ἐν τῷ Λόγῳ γινόμενον;

[00609] Ἆρ' ἐκ τῆς τοῦ Πατρὸς οὐσίας, ἢ ἔξωθέν ποθεν καὶ τοῦτο τὸ ληφθέν;

[00610] Εἰ μὲν οὖν ἔξωθέν ἐστιν, οὐδὲ τοῦ Πατρὸς μέτοχός ἐστιν ὁ Υἱὸς, ἀλλ' ἑτέρου τινὸς μετέχων ἁγιάζεται, ὅπερ ἐστὶ καὶ μόνον ἐννοῆσαι δυσσεβές.

[00611] Εἰ δὲ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς συγχωρεῖτε νοεῖσθαι τὸ τῷ Λόγῳ πρὸς μετοχὴν παρ' αὐτοῦ χορηγούμενον, ἢ τομήν τινα καὶ μερισμὸν καὶ πάθος δύνασθαι συμβαίνειν περὶ τὴν τοῦ Θεοῦ φύσιν δεδώκατε, ἢ λέγοντες ἀπαθῶς καὶ ἀμερίστως ἐν τῷ Θεῷ τὰ τοιαῦτα γίνεσθαι, μάτην ἀνατρέπετε τὴν τοῦ Υἱοῦ γέννησιν, μερισμὸν καὶ πάθος περὶ αὐτὴν εἰσάγοντες.

[00612] Εἰ δὲ ἀμερίστως τίκτει Θεὸς, γεννᾷ τε ἀπαθῶς ἐξ ἑαυτοῦ, οὐδὲν κωλύει τὸ γεννηθὲν ὁμολογεῖσθαι τὸν ζῶντα τοῦ Πατρὸς Λόγον.

[00613] Ὁ δὲ ἐξ ἀϊδίου Πατρὸς προελθὼν, ἔσται πάντως καὶ ἀΐδιος·

[00614] οὕτω γὰρ ἂν καὶ τὴν πατρῴαν εὐγένειαν ἔχων καὶ διασώζων ἐν ἑαυτῷ, ἀληθεύει λέγων·

[00615] Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα.

[00616] Οὐ γὰρ ἐν τῷ γενητῷ τὸ ἀΐδιον φαίνεται ΑΛΛΟ.

[00617] Εἰ ὁ μετέχων τοῦ Υἱοῦ θείας γίνεται κοινωνὸς φύσεως, κατὰ τὴν τοῦ Πέτρου φωνὴν, καὶ εἰ ναοὶ Θεοῦ χρηματίζουσιν οἷς ὁ Λόγος ἐνοικεῖ, ἀνάγκη λέγειν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ τὸν Υἱόν.

[00618] Καὶ εἰ οὐδὲν ἐπιγενητὸν ἐν Θεῷ (τέλειος γὰρ καὶ ἀπροσδεὴς), οὐκ ἐπιγέγονεν ὁ Υἱός;

[00619] ἀλλ' ἦν τῷ Πατρὶ συναΐδιος.

[00620] Ἔτι, περὶ ἀϊδιότητος τοῦ Υἱοῦ.

[00621] Πατέρα λέγομεν τὸν Θεὸν, Υἱὸν δὲ τὸν Λόγον καὶ Θεὸν, οὐχ ἵνα τὸν μὲν προϋπάρχοντα, τὸν δὲ μετ' αὐτὸν γεγονότα νοῶμεν, κατὰ τὴν ἐν ἀνθρώποις [75.48] τάξιν·

[00622] ἄνω γὰρ παντὸς χρόνου Θεὸς, ἀλλ' ἵνα τὸν μὲν ὡς Γεννήσαντα, ὅπερ ἐστὶ πατρὸς ἴδιον·

[00623] τὸν δὲ ὡς γνήσιον Υἱὸν ἄῤῥητον ἐκ τῆς οὐσίας τοῦ Πατρὸς ἐσχηκότα τὴν γέννησιν προσκυνῶμεν.

[00624] Πατὴρ οὖν ὅτι γεγέννηκεν·

[00625] Υἱὸς δὲ, ὅτι ἐγενήθη·

[00626] καὶ πρὸς μόνον τῶν ὀνομάτων ἡ χρεία καὶ τὸ διὰ τῆς πρὸς ἡμῶν ὁμοιώσεως σημαινόμενον.

[00627] Εἰ τοίνυν ἐπὶ Θεοῦ τὸ Πατὴρ ὄνομα μόνου τοῦ γεννᾷν ἐστι σημαντικὸν, οὐδεὶς ἀναγκάσει λόγος προϋπάρχειν τοῦ ἰδίου γεννήματος τὸν ἀχρόνως γεννῶντα Θεόν.

[00628] Καὶ εἰ χρόνος ἦν οὐδεὶς μεταξὺ τοῦ γεννήσαντος καὶ γενηθέντος, οὐκ ἐπιγέγονεν, ἀλλ' ἦν ἀεὶ τῷ Πατρὶ συναΐδιος ὁ Υἱός.

[00629] ΑΛΛΟ.

[00630] Εἰ ποιητής ἐστι κατὰ φύσιν ὁ Θεὸς, καὶ οὐκ ἐπιγέγονεν αὐτῷ τὸ δύνασθαι παράγειν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ ὄντα·

[00631] πάντα δὲ δι' Υἱοῦ ποιεῖ καὶ κατεργάζεται, πῶς οὐκ ἀσεβὲς τὸ λέγειν·

[00632] Ἦν ὅτε οὐκ ἦν;

[00633] ἴσον γάρ ἐστιν εἰπεῖν·

[00634] Ἦν ὅτε οὐκ ἦν ὁ Θεὸς, ὕστερον ἐπιγενομένου τοῦ πάντων δημιουργοῦ Λόγου·

[00635] Χωρὶς γὰρ αὐτοῦ ἐγένετο οὐδὲ ἓν, κατὰ τὴν Ἰωάννου φωνήν.

[00636] Εἰ δὲ ἀεὶ καὶ κατὰ φύσιν ποιητὴς ὁ Θεὸς καὶ Πατὴρ, ἦν ἄρα σὺν αὐτῷ δι' οὗ ποιητὴς ἐφαίνετο, τουτέστιν ὁ Λόγος αὐτοῦ.

[00637] Ὥσπερ γὰρ ἀχώριστον ἀνθρώπου πᾶν τὸ φύσει προσὸν αὐτῷ·

[00638] οὕτω καὶ Θεοῦ πᾶν τὸ ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ.

[00639] Ἐν Πατρὶ δὲ καὶ ἐκ Πατρὸς ὁ Λόγος·

[00640] ἀχώριστος ἄρα καὶ συναΐδιος.

[00641] ΑΛΛΟ, διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς.

[00642] Εἰ οὐκ ἔστιν ὁ Υἱὸς τῷ Πατρὶ συναΐδιος, ἀλλ' Ἦν ὅτε οὐκ ἦν, καθ' ὑμᾶς, ἀνάγκη συνομολογεῖν ἀτελῆ ποτε ὑπάρχειν τὴν ἁγίαν Τριάδα.

[00643] Ἦν γὰρ μονὰς, ὡς εἰκὸς, πρὸ Υἱοῦ.

[00644] Γέγονε δὲ ὕστερον Τριὰς, ἐπιγενομένου τοῦ λείποντος.

[00645] Ἐπειδὴ δὲ πᾶν ὅπερ ἂν συμβῇ, καὶ ἀποσυμβῆναι δύναται, δέος μὴ καί τις ἡμᾶς ἀναγκάσῃ λόγος ὁμολογεῖν δύνασθαι τὴν ἁγίαν Τριάδα πρὸς ἑνάδα παλινδρομεῖν.

[00646] Εἰ δὲ τοῦτο φρονεῖν ἢ λέγειν ἁπάσης ἐστὶ δυσσεβείας ἐπέκεινα, ἦν ἀεὶ μετὰ Πατρὸς τῆς ἁγίας Τριάδος τὸ πλήρωμα.

[00647] ΑΛΛΟ, τούτῳ ὅμοιον.

[00648] Εἰ οὐκ ἔστιν ὁ Υἱὸς ἴδιον γέννημα τῆς οὐσίας τοῦ Πατρὸς, ἀλλ' ἐξ οὐκ ὄντων ἐγένετο, ἀνόμοιος ἔσται πρὸς ἑαυτὴν ἡ ἁγία Τριὰς ἐξ οὐκ ὄντων ἔχουσα τὴν σύστασιν.

[00649] Καὶ λοιπὸν τὸ κτίσμα τῷ Κτίστῃ συναριθμεῖται, καὶ τὸ ποίημα τῷ ποιητῇ συνδοξάζεται.

[00650] Εἰ δὲ τοῦτο ἀσεβὲς, μία γὰρ θεότης τῆς ἁγίας Τριάδος, μία δοξολογία, κυριότης ἡ αὐτὴ, οὐκ εὐλόγως εἰς διαφόρους οὐσίας σχίζεται.

[00651] Πῶς δὲ οὐκ ἄτοπον τοῦ Πατρὸς ὄντος ἀϊδίου, τὸν συγκαθήμενον αὐτῷ καὶ συμβασιλεύοντα Λόγον τολμῆσαι λέγειν οὐκ εἶναι μέν ποτε·

[00652] ἐπιγεγονέναι δὲ ὕστερον, καὶ πρόσφατον ἡμῖν εἰσφέρεσθαι Θεόν;

[00653] [75.49] ΑΛΛΟ.

[00654] Πηγὴ σοφίας καὶ ζωῆς καλεῖται καὶ ἔστιν ὁ Θεός.

[00655] Διὰ μὲν γὰρ Ἱερεμίου φησίν·

[00656] Ἐμὲ ἐγκατέλιπονπηγὴν ὕδατος ζῶντος.

[00657] Καὶ πάλιν·

[00658] Θρόνος δόξης ὑψωμένος, ἁγίασμα ἡμῶν, ὑπομονὴ Ἰσραὴλ, Κύριος.

[00659] Πάντες οἱ καταλιπόντες σε καταισχυνθήτωσαν, ἀφεστηκότες ἐπὶ τῆς γῆς.

[00660] Γραφήτωσαν ὅτι ἐγκατέλιπον πηγὴν ζωῆς τὸν Κύριον.

[00661] Διὰ δὲ τοῦ Βαρούχ·

[00662] Ἐγκατελίπετε τὴν πηγὴν τῆς σοφίας.

[00663] Οὕτω τοίνυν ὄντος τε καὶ καλουμένου τοῦ Θεοῦ, ἀκόλουθόν ἐστι τῇ πηγῇ τῆς σοφίας συνυπάρχειν τὰ ἐξ αὐτῆς·

[00664] ἐπεὶ οὐκ ἂν εἴη πηγὴ μηδὲν ἀναβλύζουσα.

[00665] Οὐκοῦν ἐν τῷ λέγειν·

[00666] Ἦν ὅτε οὐκ ἦν Υἱὸς, ὁ λέγων·

[00667] Ἐγώ εἰμι ἡ ζωὴ, καὶ ἐγὼ ἡ σοφία, κατεσκήνωσα βουλὴν, συνομολογεῖν ἔστι σαφῶς ξηράν ποτε καὶ ἄγονον εἶναι τὴν πηγήν.

[00668] Εἰ δὲ τοῦτο ἀσεβὲς, ἀεὶ γὰρ καρπογόνος ἡ θεία φύσις, καὶ οὐδὲν ἐν αὐτῇ τὸ καινὸν, ἦν ἄρα τῷ Γεννήσαντι συναΐδιος ὁ ἐξ αὐτοῦ γνήσιος Λόγος, ὥσπερ ἀπό τινος πηγῆς τῆς πατρῴας ἀναβλύζων οὐσίας.

[00669] ΑΛΛΟ.

[00670] Εἰς τὸ αὐτὸ πιθανόν.

[00671] Ἐπαγγέλλεται ποιήσειν ὁ Θεὸς τοὺς δουλεύοντας αὐτῷ, ὡς πηγὴν ἣν μὴ ἐξέλιπεν ὕδωρ.

[00672] Οὕτω τε διὰ τοῦ προφήτου φησὶν Ἡσαΐου·

[00673] Καὶ ἐμπλησθήσῃ καθάπερ ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ τὰ ὀστᾶ σου πιανθήσεται·

[00674] καὶ ἔσται ὡς κῆπος μεθύων, καὶ ὡς πηγὴ ἧς μὴ ἐξέλιπεν ὕδωρ.

[00675] Ταῦτα τοῦ Θεοῦ ποιήσειν ἐπ' ἀνθρώπων ὑπισχνουμένου, πῶς οὐ πάσης ἂν εἶεν ἀσεβείας ὑπεύθυνοι, οἱ τὴν θείαν ἐκείνην καὶ ἀκήρατον πηγὴν ξηράν ποτε γεγενῆσθαι λέγοντες·

[00676] ἵνα καὶ ἀνθρώπων δεύτερος φαίνηται Θεός;

[00677] Εἰ δὲ τοῦτο ἄτοπον, ἦν ἄρα ἐν τῇ πηγῇ τὸ ὕδωρ τῆς ζωῆς καὶ ἡ ἐξ αὐτῆς σοφία, τουτέστιν ὁ Υἱός.

[00678] ΑΛΛΟ, διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς.

[00679] Γέγραπται·

[00680] Εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν·

[00681] καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ, ἀλλ' εἴ τις τὸν δι' οὗ τὰ πάντα γέγονεν, ἕνα τῶν πάντων εἶναι λέγοι, τὸ κωλύον οὐδὲν, καὶ τὸν ἐξ οὗ τὰ πάντα τοῖς αὐτοῖς ὑποβάλλειν συλλογισμοῖς.

[00682] Εἰ δὲ τοῦτο ἀσεβὲς, οὐδὲ ὁ Υἱὸς ἓν ἔσται τῶν πάντων, δι' οὗ τὰ πάντα γέγονεν, ἀΐδιος οὖν.

[00683] Ὁ γὰρ ὅλως τὸ εἶναι κτίσμα καὶ ποίημα διαπεφευγὼς, οὐκ ἐν τοῖς πᾶσιν ὢν, ἀλλ' ὑπὲρ πάντα καὶ ἐπὶ πάντων Θεὸς νοηθήσεται.

[00684] ΑΛΛΑ ἁπλᾶ καὶ ἀπόλυτα.

[00685] Εἰ φῶς ἐστιν ὁ Θεὸς καὶ Πατὴρ, ἦν ἀεὶ ἐν αὐτῷ τὸ ἀπαύγασμα αὐτοῦ.

[00686] Εἰ χαρακτήρ ἐστιν ὁ Υἱὸς τῆς τοῦ Πατρὸς ὑποστάσεως, κατὰ τὴν τοῦ Παύλου φωνὴν, λεγέτωσαν οἱ ἐπ' αὐτοῦ τὸ, Οὐκ ἦν, τολμῶντες φέρειν, πότε χαρακτῆρος χωρὶς ἦν ἡ ὑπόστασις τοῦ Πατρός;

[00687] Ὁμοῦ γὰρ τῇ ὑποστάσει καὶ ὁ ταύτης χαρακτὴρ συνεισάγεται.

[00688] Εἰ ἀλήθεια καὶ σοφία ἐστὶν ὁ [75.52] Υἱὸς, πότε οὐκ ἦν ἐν τῷ Πατρί;

[00689] Ἀεὶ γὰρ ἀλήθεια καὶ σοφία ἐν Θεῷ καὶ Πατρί.

[00690] ΑΛΛΟ.

[00691] Εἰ ἐν Υἱῷ θεωρεῖται ὁ Πατὴρ, καὶ εἰκών ἐστιν ἀπαράλλακτος τῆς τοῦ Γεννήσαντος οὐσίας, κατὰ τὸ λεγόμενον παρ' αὐτοῦ·

[00692] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε καὶ τὸν Πατέρα, προσεῖναι πάντως αὐτῷ ἀναγκαῖον κατὰ φύσιν ὅσα καὶ τῷ Πατρί.

[00693] Ἔσται γὰρ οὕτως ἀκριβὴς ὁ χαρακτήρ.

[00694] Ἀΐδιος δὲ ὁ Πατὴρ, ἀθάνατος, βασιλεὺς, κτίστης, παντοκράτωρ, Θεὸς, ποιητής·

[00695] ταῦτα καὶ ὁ Υἱός.

[00696] Ἢ πῶς ἐν τῷ γενητῷ τὸ ἀΐδιον φαίνεται;

[00697] ἢ ἐν τῷ ποτε μὴ ὄντι τὸ τέλειον, ἢ ἐν τῷ ποιήματι ὁ ποιητής;

[00698] Αἱ γὰρ εἰκόνες ἀεὶ πρὸς τὰ ἀρχέτυπα τὴν ἐμφέρειαν ἔχουσιν.

[00699] Ἐρώτησις αἱρετικῶν ὡς πρὸς ἀνοήτους γυναῖκας αὕτη.

[00700] Εἰ εἶχες, φασὶν, υἱὸν πρὶν τέκης;

[00701] Ὥσπερ δὲ οὐκ εἶχες, οὕτω καὶ ὁ Θεός.

[00702] Οὐκοῦν ἦν ποτε ὅτε οὐκ ἦν ὁ Υἱός.

[00703] Τί οὖν πρὸς τοῦτο;

[00704] Εἰ ἐπ' ἀναιρέσει τῆς ἀϊδιότητος τοῦ Υἱοῦ τὰ τῆς ἀνθρωπότητος ἴδια τῇ θείᾳ φύσει περιτιθέντες οὐκ αἰσχύνονται, ἐρωτάτωσαν καὶ τῶν ἀρχιτεκτόνων τινὰς, εἰ δύνανται χωρὶς ὕλης οἰκοδομεῖν.

[00705] Εἰ δὲ ἀνανεύοιεν, ὁμολογοῦντες τὸ ἀληθὲς, ὡς οὐ δύνανται, λεγέτωσαν ὕλης δεδεῆσθαι καὶ Θεὸν εἰς τὴν τῶν ὅλων κατασκευὴν ὡς ἄνθρωπον·

[00706] ἵνα μηκέτι νοῆται Ποιητὴς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ ὄντα παράγων, ἀλλ' ἔκ τινος ὑποκειμένης ἀρχῆς τε καὶ ὕλης, ὡς ἄνθρωπος, μετασκευαστὴς μᾶλλον ἢ ποιητὴς εὑρισκόμενος.

[00707] Εἰ δὲ τοῦτο ἄτοπον εἶναί φασι, κἀκεῖνο φευγέτωσαν·

[00708] ἢ λεγέτωσαν τὴν αἰτίαν, δι' ἣν ἐπὶ μὲν τοῦ γεννᾷν οὐδὲν ἀνθρώπου πλέον ἔχειν βούλονται τὸν Θεὸν, ἐπὶ δὲ τοῦ κτίζειν οὐκέτι τὰ ἀνθρώπου προσάπτουσιν αὐτῷ.

[00709] Εἰ δὲ ποιητής ἐστιν, ὡς πρέπει Θεῷ ἔσται καὶ γεννήτωρ κατὰ τὸν ἴσον τρόπον.

[00710] Ἐρώτησις Ἀρειανῶν ἀτοπίας μεστὴ, πρὸς ἣν ἀντεπερώτησις ἀτοπωτέρα, ὅτι χρὴ μὴ ἀπαιδεύτως ἐρωτᾷν ἐκδιδάσκουσα.

[00711] Ὁ ὢν, φασὶν, Θεὸς ὄντα τὸν Υἱὸν ἐποίησεν, ἢ μὴ ὄντα;

[00712] Πρὸς τοῦτο λύσις ἤτοι ἀνθυποφορά.

[00713] Ὁ ὢν Θεὸς, ὢν γέγονεν, ἢ καὶ πρὶν γένηταί ἐστιν ὤν.

[00714] Καὶ, ἑαυτὸν ἐποίησεν, ἢ ἐξ οὐδενὸς ἔστι;

[00715] Καὶ μηδενὸς ὄντος πρότερον, ἐξαίφνης αὐτὸς ἐφάνη;

[00716] Ἐν τούτοις πᾶσα ἀπόκρισις τὸ δύσφημον ἔχει·

[00717] χρὴ τοίνυν τοῖς οὕτως ἐρωτῶσι μὴ ἀποκρίνεσθαι πρὸς τὴν προταθεῖσαν πεῦσιν, ἀλλὰ μᾶλλον εὐσεβῶς λέγωμεν ὡς ἔστιν ἀΐδιος ὁ Πατήρ.

[00718] Ὄντος οὖν ἀϊδίου τοῦ Πατρὸς, ὢν ἐστιν ἀΐδιος καὶ ὁ Υἱός.

[00719] Ὡς γὰρ οὐκ ἄν ποτε φῶς ὀφθείη τοῦ ἰδίου ἀπαυγάσματος ἔρημον, οὕτως οὐκ ἂν εἴη Πατὴρ μὴ ὄντος Υἱοῦ, δι' οὗ καὶ Πατὴρ φαίνεται.

[00720] Ἦν δὲ ἀεὶ Πατὴρ ὁ Θεὸς, ἦν ἄρα πάντως οὗ καὶ ἔστι Πατήρ.

[00721] [75.53] ΑΛΛΟ.

[00722] Εἰ, καθάπερ λέγειν τολμῶσιν Ἀρειανοὶ, ὄργανον ἑαυτῷ ὁ Πατὴρ τὸν Υἱὸν κατεσκεύασε, χρησιμεῦσαι δυνάμενον εἰς τὴν τῶν ὄντων δημιουργίαν, διά τε

ταύτην τὴν αἰτίαν ἐκ τοῦ μὴ ὄντος αὐτὸν εἰς τὸ εἶναι παρήγαγε, λεγέτωσαν ἡμῖν εἰ ὁ ὢν τοῦ μὴ ὄντος ἔχρηζε;

[00723] Τί οὖν ἄρα ἔσται μεῖζον;

[00724] τὸ ἐν χρείᾳ τινὸς καθεστηκὸς, ἢ τὸ τὴν χρείαν ἀναπληρῶσαι δυνάμενον;

[00725] Ἀλλὰ πρόδηλον ὅτι τὸ ἐνδεὲς ἐν ἑκάστῳ δι' ἀμφοτέρων πληροῦται, καὶ ἑκάτερον ἀτελές ἐστι καθ' ἑαυτό.

[00726] Εἰ δὲ ἐν χρείᾳ γέγονεν ὁ ἀΐδιος Πατὴρ τοῦ μικρὸν ὕστερον ἐπιγεγονότος Υἱοῦ, κατ' ἐκείνους, πλήρωμα τῆς ἀϊδιότητος τοῦ Πατρὸς ἡ γενητὴ τοῦ Υἱοῦ γέγονε φύσις·

[00727] καὶ λοιπὸν ἐμίχθη τὰ ἄμικτα.

[00728] Εἰ δὲ τοῦτο λέγειν ἢ φρονεῖν ἀσεβὲς, οὐκ ἐπιγέγονεν ἄρα τῷ Πατρὶ ὁ Υἱὸς, δι' οὗ τὰ πάντα ἐποίησεν, οὐδὲ ὡς ὄργανον κατεσκευάσθη πρὸς τοῦτο·

[00729] ἀλλ' ἦν αὐτῷ συναΐδιος, δύναμις αὐτοῦ καὶ σοφία ὑπάρχων.

[00730] Πρὸς τοὺς ἐρωτῶντας·

[00731] Εἰ εἶχες υἱὸν πρὶν τέκης;

[00732] καὶ λέγοντας·

[00733] Οὕτω καὶ ὁ Θεὸς οὐκ εἶχεν Υἱὸν πρὶν γεννήσῃ.

[00734] Οἱ γυναῖκας ἐρωτῶντες·

[00735] Εἰ εἶχες υἱὸν πρὶν τέκης;

[00736] ἀπό τε τῆς καθ' ἡμῶν συνηθείας τὰ θειότερα δοκιμάζοντες, ἐρωτάτωσαν ὁμοίως πατέρας ἢ μητέρας·

[00737] Ἂν τέκῃς υἱὸν, ὅμοιος ἄρα σοὶ κατὰ φύσιν γενήσεται;

[00738] ἢ τῆς αὐτῆς σοὶ καὶ αὐτὸς οὐσίας μεθέξει;

[00739] ἢ ἑτεροούσιος ἔσται καὶ ἀπεξενωμένος;

[00740] Μανθάνοντες δὲ τὸ ἀληθὲς, οὕτω φρονείτωσαν καὶ περὶ Θεοῦ.

[00741] Καὶ μὴ τὸν χρόνον μὲν εἰς τὴν ἑαυτῶν δυσσέβειαν ὡς χρήσιμον ἁρπαζέτωσαν·

[00742] τὸ δὲ ἐκ τῆς κατὰ φύσιν διαδοχῆς γνήσιον παροράτωσαν.

[00743] Καὶ πάλιν ὅταν μάθωσι παρὰ τῶν ἐρωτωμένων γονέων, ὅτι δὴ τὰ ἐξ αὐτῶν ἐσόμενα τέκνα πάντως ἔσται τοῖς τοκεῦσι παραπλήσια, καὶ κατ' οὐδὲν αὐτῶν διαλλάττοντα, κατά γε τὸν τῆς οὐσίας λόγον, διακείσθωσαν οὕτω καὶ περὶ τοῦ Θεοῦ Λόγου.

[00744] Καὶ λοιπὸν ὁμολογοῦντες ἐκ τῆς οὐσίας αὐτὸν γεγεννῆσθαι τοῦ Πατρὸς, περὶ μόνου τοῦ χρόνου ζητείτωσαν, καὶ λεγέτωσαν ἡμῖν τί τὸ κωλύον ἀεὶ Πατέρα εἶναι τὸν Θεὸν, εἰ μή τις αὐτὸν ταῖς τῆς ἀνθρωπότητος ἀνάγκαις καὶ τοῖς τῆς φύσεως ἡμῶν ὅροις ὑποκεῖσθαι λέγοι·

[00745] ὅπερ ἐστὶν ἀσεβέστατον.

[00746] Περὶ τοῦ χρόνου τοίνυν σκεπτόμενοι, μὴ τὰ ἀνθρώπων ἴδια πολυπραγμονείτωσαν·

[00747] πολὺ γὰρ ταῦτα τῆς θείας ἀπῴκισται φύσεως.

[00748] Ἀλλ' ἐρωτάτωσαν, εἰ βούλονται, τὸν ἥλιον, εἰ τὸ ἐξ αὐτοῦ γεννώμενον φῶς ἦν ἀεὶ σὺν αὐτῷ.

[00749] Μανθανέτωσαν καὶ παρὰ τοῦ πυρὸς, εἰ προσῆν αὐτῷ τὸ θερμαίνειν ἀεί.

[00750] Εἰ δὲ ἐπὶ τούτων σύνδρομά τε καὶ ἀεὶ συνόντα τὰ ἐξ αὐτῶν φαίνεται, πόσῳ μᾶλλον ἐπὶ τοῦ ἀϊδίου Θεοῦ;

[00751] Εἰ τοίνυν κατὰ φύσιν ἐκ τοῦ Πατρός ἐστιν ὁ Υἱὸς, καὶ τὸ ἀναγκάζον οὐδὲν ἐν χρόνῳ τίκτειν τὸν Θεὸν, ἦν ἄρα τῷ Πατρὶ συναΐδιος ὁ ἐξ αὐτοῦ προελθὼν Λόγος, δι' οὗ τοῖς μὴ οὖσι γέγονεν ἡ εἰς τὸ εἶναι πάροδος.

[00752] ΑΛΛΟ.

[00753] Εἰδέναι χρὴ τοὺς νοεῖν ἐθέλοντας καλῶς, ὅτι οὔτε μεριστῶς ἢ ῥευστῶς ἐγέννησε Θεὸς, ἵνα τι καὶ πάθος περὶ αὐτὸν γενέσθαι νομίσωμεν·

[00754] τὸ μὲν γὰρ τέμνε [75.56] σθαι καὶ ῥεῖν τῆς σωματικῆς ἂν εἴη φύσεως ἴδιον·

[00755] ἐπὶ δὲ τῆς ἀσωμάτου καὶ θείας οὐσίας, οὐ πάθος, οὐ μερισμὸς τῶν τοιούτων οὐδὲν συμβήσεται.

[00756] Οὐκ ἔσται τοίνυν ὥσπερ τι μέρος τοῦ Πατρὸς ὁ Υἱὸς, ἀλλ' ἐξ αὐτοῦ, καὶ ἐν αὐτῷ.

[00757] Διὰ μὲν τοῦ καλεῖσθαι Υἱὸς τὸ ἐξ αὐτοῦ, διὰ δὲ τοῦ καλεῖσθαι σοφία καὶ Λόγος, τὸ ἐν αὐτῷ γνωρίζων.

[00758] Οὐκοῦν ἔσται τῷ τεκόντι συναΐδιος.

[00759] Οὐ γὰρ ἄν τις εἴποι τῶν εὖ φρονεῖν εἰωθότων ἄλογόν τε καὶ ἄσοφον γεγενῆσθαί ποτε τὸν Πατέρα.

[00760] ΑΛΛΟ.

[00761] Εἰ ὁ ἀνθρώπινος νοῦς ἀμερίστως ἐξ ἑαυτοῦ τὸν προφορικὸν ἀπογεννᾷ λόγον, καὶ πάθος οὐδὲν περὶ αὐτὸν ἐκ τούτου γίνεται, ἀλλ' ἔστιν ἰδεῖν ἐν μὲν τῷ νῷ τὸν λόγον, ἐν δὲ τῷ λόγῳ τὸν νοῦν, καὶ ἑκάτερον αὐτῶν ἑκατέρῳ ζωγραφούμενον, καὶ οὐκ ἄν τις εἴποι σωφρονῶν ἄλογόν ποτε γεγενῆσθαι τὸν νοῦν·

[00762] οὐκέτι γὰρ ἔσται νοῦς λόγον οὐκ ἔχων, λόγον δέ φαμεν οὐ πάντως τὸν διὰ γλώττης ἀποκτυπούμενον, ἀλλὰ καὶ τὸν ἐν τῷ νῷ νοηματικῶς κινούμενον·

[00763] οὕτως οὐκ ἄν τις εἴποι μὴ εἶναι πάντως ἐν Θεῷ τὸν ἴδιον αὐτοῦ Λόγον, ὅλην ἐξ ὅλου τοῦ Πατρὸς ἔχοντα τὴν εἰκόνα, καὶ ἐν Πατρὶ θεωρούμενον διὰ τὸ τῆς οὐσίας ἀπαράλλακτον.

[00764] ΑΛΛΟ.

[00765] Εἰ βουλοίμεθα δοξάζειν ὀρθῶς, ἀνάγκη λέγειν ὡς οὐκ ἐπιγέγονε τῷ Θεῷ τὸ εἶναι Πατέρα, ἀλλ' ἦν ἀεὶ τοῦτο·

[00766] ἢ γὰρ ἂν καὶ τρεπτῆς ὢν φαίνοιτο φύσεως ὕστερον γεγονὼς, ὅπερ οὐκ ἦν, κατὰ τὴν τῶν αἱρετικῶν μανίαν.

[00767] Εἰ γὰρ καλόν τι φαίνεται τὸ εἶναι αὐτὸν Πατέρα, τοῦτο δὲ ἦν οὐκ ἀεὶ, ἦν ἄρα χρόνος ὅτε τὸ καλὸν οὐκ ἦν ἐν Θεῷ.

[00768] Εἰ δὲ τοῦτο δύσφημον, ἦν ἄρα ἀεὶ Πατὴρ, Υἱοῦ δηλονότι συνυπάρχοντος·

[00769] οὐ γὰρ ἂν εἴη Πατὴρ οὐκ ὄντος Υἱοῦ.

[00770] Εἰ δέ τις ἀνθυποφέρει λέγων·

[00771] Ἆρ' οὖν ἐπειδὴ κατὰ φύσιν ἐστὶ καὶ ποιητὴς ὁ Θεὸς, ἦν ἀεὶ τὰ ποιήματα·

[00772] καὶ τοῦτο λέγειν ἡμᾶς ἀναγκαῖον, ἵνα μὴ ὕστερον ἐπιγεγονὸς τῷ Θεῷ φαίνηται τὸ εἶναι ποιητὴν, καὶ δόξειέ τις τροπὴ περὶ τὴν θείαν γίνεσθαι φύσιν·

[00773] τοῦτο γὰρ ἐλέγομεν ἐπὶ τοῦ Υἱοῦ.

[00774] Ἢ καὶ καθ' ἕτερον τρόπον·

[00775] ἐπειδὴ καλὸν τὸ κτίζειν καὶ ποιεῖν, ἦν ἀεὶ τὰ ποιήματα, ἵνα μὴ φαίνηταί ποτε μὴ ὂν ἐν Θεῷ τὸ καλόν.

[00776] Πρὸς ταῦτα χρὴ τοῦτον ὑπαντῆσαι τὸν τρόπον·

[00777] Υἱὸς καὶ ποίημα, πολὺ τῆς πρὸς ἄλληλα κοινωνίας ἀπῴκισται, καὶ οὐδὲν ἐν αὐτοῖς τὸ ἴσον·

[00778] ὁ μὲν γὰρ ἐκ τῆς οὐσίας προελθὼν, Πατέρα εὐθὺς ἔδειξε τὸν γεννήσαντα.

[00779] Ἔστω δὲ ὡς ἐπ' ἀνθρώπων ὁ λόγος·

[00780] τὸ δὲ ἔξωθεν τῆς οὐσίας ἐστὶν, τότε πάντως ποιητὴν ἀποφαῖνον τὸν ἐργαζόμενον, ὅτε καὶ γίνεται·

[00781] ἦν γὰρ ἐν αὐτῷ τοῦ ποιεῖν ἡ τέχνη, ἣν καὶ προεῖναι πάντως ἀνάγκη τῶν δι' αὐτῆς·

[00782] πρότερον γάρ τις ἔσται τεχνίτης, εἶθ' οὕτω δημιουργός.

[00783] Τοσαύτης τοίνυν μεταξὺ κειμένης διαφορᾶς, καὶ τοῦ μὲν Υἱοῦ ἅμα τῇ τοῦ Πατρὸς προσηγορίᾳ συνεπινοουμένου, καὶ συνεισβαίνοντος·

[00784] ἅμα τε γὰρ Πατὴρ, εὐθὺς καὶ ὁ Υἱὸς, ἅμα τε Υἱὸς, εὐθὺς καὶ Πατὴρ, καὶ οὐκ ἂν νοηθείη χωρὶς τοῦ ἑτέρου τὸ ἕτερον.

[00785] Τοῦ δὲ ποιήματος καὶ μετὰ τὴν ὕπαρξιν τοῦ ποιητοῦ δυναμένου φαίνεσθαι (οὐ γὰρ ἐκ τῆς φύσεώς [75.57] ἐστι τοῦ ποιοῦντος, ἀλλὰ τέχνης εὕρημα·

[00786] ἡ δὲ τέχνη φύσις οὐκ ἔστιν, ἀλλ' ἓν τῶν τῇ φύσει προσόντων), πῶς τινες ἐπὶ Θεοῦ ὡς ταυτὸν εἰσφέρουσι ποίημα καὶ γέννημα, Πατέρα δύνασθαι καλεῖν λέγοντες αὐτὸν, καὶ οὐκ ὄντος Υἱοῦ;

[00787] Ἐπειδὴ καὶ δημιουργὸς ὑπῆρχε πρὸ τῶν δημιουργημάτων.

[00788] Ὅμοιον γάρ ἐστιν ὡς εἴ τις καὶ τὸν ναυπηγικὴν ἔχοντα τέχνην, Πατέρα καλοίη καὶ μὴ ὄντος Υἱοῦ·

[00789] ἐπεὶ καὶ ναυπηγός ἐστιν ὅσον εἰς τὴν τέχνην, καὶ τὴν τοῦ δύνασθαι ποιεῖν ἐπιτηδειότητα ἔχει, καὶ εἰ μή πω τὸ σκάφος κατεσκεύασεν.

[00790] Ἀλλ' ὁ τοιοῦτος ναυπηγὸς μὲν ἔσται, καὶ πρὸ τοῦ σκάφους διὰ τὴν τέχνην.

[00791] Πατὴρ δὲ οὐκέτι μή πω γεγονότος τοῦ δι' ὃν ἔσται πατήρ.

[00792] Καὶ τὰ μὲν ποιήματα καὶ μὴ γεγονότα οὐκ ἀναιρεῖ τὸ δύνασθαί τινα εἶναι ποιητήν·

[00793] ὁ δὲ υἱὸς οὔπω γενόμενος, ἀναιρήσει πάντως τὸ εἶναι πατέρα τινά.

[00794] Ὥστε οὐκ ἂν ἴσον εἴη ποίημα καὶ Υἱός·

[00795] καὶ ποιητὴς μὲν ἔστιν, ὅσον εἰς τὴν οἰκείαν φύσιν, καὶ πρὸ τῶν ποιημάτων ὁ Θεὸς, Πατὴρ δὲ οὐδαμῶς οὐκ ὄντος Υἱοῦ.

[00796] ΛΟΓΟΣ Ε′.

[00797] Ὅτι οὐ προϋπάρχει τοῦ Υἱοῦ ὁ Πατὴρ, κἂν ἀγένητος ᾖ, ἀλλ' ἦν αὐτῷ συναΐδιος γεννητὸς ὁ Υἱός.

[00798] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[00799] Εἰ ἔστιν ἀνάρχως καὶ ἀγενήτως ἀεὶ ὁ Πατὴρ, ὥσπερ οὖν καὶ ἔστιν, ἐγεννήθη δὲ ὁ Υἱὸς, πῶς οὐκ ἀνάγκη πᾶσα τὸ γεννηθὲν ἀρχῇ περιγράφεσθαι;

[00800] Πρὸς τοῦτο λύσις.

[00801] Οὐδεὶς ἀναγκάσει λόγος ἀνύπαρκτον εἶναι πάντως πρὸ τῆς γενήσεως τὸ γενηθὲν, ἢ καὶ ἀρχῇ περιγράφεσθαι, κἂν ὁ γεννῶν ἀγένητος ἦν.

[00802] Οὐ γὰρ περί τινος τῶν καθ' ἡμᾶς ὁ λόγος ἡμῖν, ᾧ οὕτος, ἵνα δὴ καὶ ἐν χρόνῳ τὸ γεννώμενον φαίνοιτο καὶ καθάπερ ἐκ μὴ ὄντος εἰς τὸ εἶναι βαδίζον, ἀρχῇ περιγράφοιτο·

[00803] ἀλλὰ περὶ τῆς θείας τε καὶ ἀπερινοήτου φύσεως, ἀῤῥήτως πάντα ποιούσης καὶ θεοπρεπῶς.

[00804] Οὐκοῦν ὑπερβήσεται τὴν καθ' ἡμᾶς γνῶσιν καὶ ὁ τῆς θείας γεννήσεως τρόπος, καὶ οὐ τοῖς ἀνθρωπίνοις θεσμοῖς ὑπόκειται·

[00805] ἀλλ' ὅσον τῆς ἐν ἡμῖν σμικροπρεπείας ἡ θεία φύσις ἀπῴκισται, τοσοῦτον ἐν τοῖς καθ' ἑαυτὴν ὑπερέχει τὰ ἡμέτερα.

[00806] Παυέσθωσαν τοίνυν ἀνάγκῃ καὶ ἀρχῇ περιγράφοντες τὸν ἀνάγκης κρείττονα, καὶ ἀρχὴν μὲν τὴν ἐν χρόνῳ παραιτούμενον·

[00807] λέγοντα δὲ πρὸς Μωσέα τὸν σοφώτατον·

[00808] Ἐγώ εἰμι ὁ ὤν.

[00809] Τῷ δὲ ἀεὶ ὄντι (τοῦτο γὰρ σημαίνει τὸ ὤν), ποίαν τις δοίη τὴν τοῦ εἶναι κατὰ χρόνον ἀρχήν;

[00810] Ἄλλως τε οὐ πάντως ὅπερ ἂν τοῖς τοῦ γεννήσαντος ἰδιώμασιν ἐναντίον εἶναι δοκῇ, τοῦτο τῷ γεννηθέντι φαίνεται προσόν.

[00811] Ὡς γοῦν ἔστιν ὁ Θεός·

[00812] τὸ δὲ ἀντιπίπτον τούτῳ καὶ ἀντικείμενον οὐ Θεός.

[00813] Ἀλλ' ἔστι Θεὸς καὶ ὁ Υἱὸς, καίτοι τοῦ Πατρὸς ὄντος Θεοῦ, βασιλέως τε ὄντος ὁμοίως τοῦ Πατρὸς, βασιλεύς ἐστι καὶ ὁ Υἱός.

[00814] [75.60] Ὁ δὲ αὐτὸς σώζεται λόγος ἐπί τε τοῦ ἀφθάρτου καὶ ἀοράτου, καὶ ἀσωμάτου, καὶ ὅσα τοιαῦτα πρόσεστι τῇ θείᾳ φύσει.

[00815] Εἰ τοίνυν οὐ πάντως τὰ ἀντικείμενα τοῖς προσεῖναι λεγομένοις τῷ Πατρὶ, πρόσεστι τῷ Υἱῷ, οὐδὲν ἀδικήσει τοῦ Υἱοῦ τὴν οὐσίαν ἡ γέννησις, κἂν ἀγέννητος ὁ Πατὴρ τυγχάνῃ.

[00816] Ἔσται δὴ αὐτῷ συναΐδιος οὐ πάντως ἔχων τὰ ἐναντία τῶν φυσικῶν ἰδιωμάτων αὐτοῦ, καθὰ δέδεικται.

[00817] Ἀπόδειξις ἐφεξῆς, Ὅτι τὰ ἀντικείμενά πως πρὸς ἄλληλα κατὰ τὴν ὀνομασίαν, κοινὰ πολ λάκις ἔχει τινὰ τῶν φυσικῶν.

[00818] Οὐ πάντως ὅσα κατὰ τὴν πρόχειρον φωνὴν ἤτοι τὸ ἐν λέξει σημαινόμενον ἐναντίως ἔχει πρὸς ἄλληλα, ταῦτα καὶ κατ' οὐδένα τρόπον τῶν ὅσα ταῖς οὐσίαις πρόσεστιν ἀλλήλοις ἐπικοινωνοῦντα φαίνεται.

[00819] Καὶ γοῦν τὸ ζῶον ἀντίκειται τῷ μὴ ζώῳ·

[00820] ἀλλ' αὔξην ἐπιδέχεται τό τε ζῶον καὶ τὸ μὴ ζῶον, οἷον ὁ ἵππος καὶ τὸ φυτόν.

[00821] Εἰ δὲ τούτοις καίτοι τὴν διαφορὰν ὁμοίαν οὐκ ἔχουσι κοινωνία τις περί τι πρᾶγμα γέγονε, τίς ἀναγκάσει λόγος Θεῷ καὶ Πατρὶ μηδένα κοινότητος εἶναι τόπον πρὸς Υἱὸν καὶ Θεὸν, ἐπειδὴ ὁ μὲν ἔστιν ἀγενήτως, ὁ δὲ γεννητῶς, καὶ τοῖς ὀνόμασιν ἀντιδιαστέλλεσθαί πως δοκεῖ;

[00822] Οὐδὲ γὰρ τὸ εἶναι τοιῶσδε τὸν Υἱὸν, εἰ καὶ ὁ Πατὴρ μὴ οὕτως ἔχει, τὸ τῆς οὐσίας αὐτοῦ γνήσιον ἀναιρεῖ.

[00823] Σημαίνει δὲ μόνον ἡ γέννησις τὸ πῶς ἐστιν, οὐδὲν εἰς ἀϊδιότητα βλάπτουσα τὸν ἀεὶ ὄντα ἐν τῷ Πατρί.

[00824] ΑΛΛΟ.

[00825] Ἐκ τοῦ ἀντικειμένου δεικνύον ὅτι ἄναρχος ἐν χρόνῳ ὁ Υἱός.

[00826] Εἰ πᾶν ὅπερ ἂν ἐκ θνητοῦ καὶ φθαρτοῦ γεννηθείη, τοῦτο πάντως ἔσται τῷ φύσαντι προσεοικὸς, γενητὸν δηλαδὴ καὶ φθαρτὸν, ἀνάγκη πᾶσα καὶ τὸ ἐναντίον, ὅπερ ἂν ἐξ ἀγενήτου καὶ ἀφθάρτου γεγέννηται, τοῦτο πάντως ἄφθαρτον εἶναι καὶ ἀγένητον.

[00827] Ἕξει τοιγαροῦν οὕτω φύσεως ὁ Υἱὸς ὅπως ἂν ἔχοι καὶ ὁ γεννήσας αὐτόν.

[00828] Οὐ γέγονεν δὲ ὁ Πατήρ·

[00829] οὐ γέγονεν ἄρα οὐδὲ ὁ Υἱὸς, ὁ δὲ μὴ γεγονὼς, ποίαν ἔχει τοῦ εἶναι τὴν ἀρχήν;

[00830] Ἦν οὖν ἄρα τῷ Πατρὶ συναΐδιος, ΑΛΛΟ, διηγηματικῶς.

[00831] Οἱ ἀπό τινος ἀρχῆς ἄρχεσθαι τοῦ γεννᾷν οἰόμενοι τὸν Θεὸν, λίαν ἀσεβοῦσιν εἰς τὰς ἑαυτῶν ψυχὰς, οὐδὲν αὐτῷ διδόντες πλέον ἡμῶν.

[00832] Ἄνθρωπος μὲν γὰρ ἐπειδὴ τοῦ εἶναι ἤρξατο ἀναγκαίως καὶ τοῦ τίκτειν ἄρχεται, καὶ τὸ ἐξ ἑαυτοῦ γενητὸν ἔχει·

[00833] ὁ δὲ Θεὸς, ἀγένητος ὢν, οὐκ ἐν χρόνῳ γεννᾷ, οὐδὲ γενητὸν ἔχει τὸν ἐξ ἑαυτοῦ·

[00834] ἀλλ' ὥσπερ αὐτὸς ἄναρχός ἐστι καὶ ἀγένητος, οὕτω καὶ ὁ ἐκ τῆς οὐσίας αὐτοῦ προελθὼν Λόγος, ἄναρχος, ἄχρονος ἔσται καὶ ἀγένητος ὥσπερ ὁ ἀποκυήσας αὐτόν.

[00835] Ἐρώτησις ὡς ἐκ τῶν Εὐνομίου.

[00836] Λεγέτωσαν ἡμῖν, φασὶν, οἱ τῷ Πατρὶ τὸν Υἱὸν συναΐδιον εἶναι φάσκοντες, ἐπαύσατο τοῦ γεννᾷν ὁ Πατήρ;

[00837] Ἐπαύσατο δέ.

[00838] Ἀρχὴν οὖν ἔχει τοῦ εἶναι ὁ Υἱὸς, τὴν ἐν τῷ γεννᾷν κατάπαυσιν τοῦ Πατρός.

[00839] Πρὸς τοῦτο λύσις.

[00840] Εἰ παντὸς ἀνωτέρω χρόνου καὶ ἀρχῆς ἢ διαστή [75.61] ματος ἡ οὐσία τοῦ Θεοῦ, ἀνωτέρα τούτων ἔσται καὶ ἡ γέννησις, καὶ οὐ πάντως ἀποστερήσει τὴν θείαν φύσιν τοῦ δύνασθαι γεννᾷν, τὸ μὴ ἐν χρόνῳ τοῦτο ποιεῖν.

[00841] Ἕτερος γὰρ παρὰ τὸν ἀνθρώπινον ὁ τρόπος τῆς θείας γεννήσεως.

[00842] Ὁμοῦ γὰρ τῷ εἶναι τὸν Θεὸν καὶ τὸ γεννᾷν αὐτῷ συνεπινοεῖται, καὶ ἦν ἐν αὐτῷ γεννητῶς ὁ Υἱὸς, οὐ προτρέχουσαν ἔχων τὴν γέννησιν τῆς ὑπάρξεως, ἀλλ' ἅμα καὶ ὢν ἀεὶ γεννητῶς.

[00843] ΑΛΛΟ.

[00844] Ὁ τολμήσας εἰπεῖν·

[00845] Κατέπαυσεν ἄρα τοῦ γεννᾷν ὁ Πατὴρ, ἀφύκτῳ δυσφημίας ἐγκλήματι περιπεσεῖται δικαίως.

[00846] Τρεῖς γὰρ ἀλλοιώσεις εἰσφέρει περὶ τὴν θείαν φύσιν.

[00847] Ἀνάγκη γὰρ πᾶσα τῇ διαστηματικῇ γεννήσει τρεῖς δοῦναι χρόνους.

[00848] Ἕνα μὲν, τὸν πρὸ τῆς γεννήσεως·

[00849] δεύτερον δὲ, τὸν ἐν αὐτῷ τῷ γεννᾷν·

[00850] τρίτον δὲ, τὸν μετὰ τὴν γέννησιν.

[00851] Εἰ δὲ ἐν τούτοις γέγονε Θεὸς ἀρχόμενος τοῦ γεννᾷν, καὶ γεννήσας, καὶ καταπαύσας, πῶς οὐκ ἠλλοιώθη·

[00852] πῶς δὲ αὐτὸς ἔσται τῶν αἰώνων ποιητής;

[00853] ἢ πῶς ἀληθεύσει λέγων ὁ Παῦλος περὶ Χριστοῦ, ὅτι Δι' αὐτοῦ γέγονε τὰ πάντα, καιροῦ μεσολαβοῦντος καὶ ἀνωτέρω κειμένου τῆς γεννήσεως αὐτοῦ, κατὰ τὴν τῶν χριστομάχων μανίαν;

[00854] ΑΛΛΟ.

[00855] Ἐν χρόνῳ μὲν οὐ τίκτει Θεὸς, ὁ χρόνων ἀνωτέρω κειμένην ἔχων τὴν φύσιν·

[00856] οὐδὲ ἀνάγκαις ὑποκείσεταί τισιν, ὁ πάντα ὑπεραναβεβηκώς.

[00857] Οὐ πάντως δὲ τὸ τίκτειν πεφυκὸς, ἐκ τοῦ μὴ τίκτειν εἰς τοῦτο πρόεισιν, οὐδὲ ἐπειδὴ τίκτειν οἶδε, πάντως καὶ καταπαύει.

[00858] Καὶ γοῦν γεννᾷ μὲν ἐξ ἑαυτοῦ τὸ πῦρ τήν τε κατὰ φύσιν αὐτῷ προσοῦσαν θερμότητα καὶ τὸν φωτισμόν·

[00859] οὔτε δὲ ἐκ τοῦ μὴ εἶναι θερμὸν εἰς τοῦτο προῆλθεν, οὔτε πεπαύσεται γεννῶν τὸ κατὰ φύσιν αὐτῷ προσόν·

[00860] ἀλλ' ἅμα γέγονε πῦρ, καὶ ἦν αὐτῷ τὰ αὐτοῦ.

[00861] Εἰ τοίνυν καὶ ἐπὶ τῶν πεποιημένων παρὰ Θεοῦ τοιοῦτος φαίνεται γεννήσεως τρόπος, πῶς οὐκ ἀσεβὲς μὴ τὰ μείζω παραχωρεῖν αὐτῷ, κἂν μὴ φθάνῃ πρὸς κατάληψιν τῆς μεγάλης αὐτοῦ φύσεως ὁ ἀνθρώπινος νοῦς;

[00862] ΑΛΛΟ.

[00863] Τὸ γενητὸν πρὸς τὸ ἀγένητον, καὶ τὸ ποιηθὲν πρὸς τὸ μὴ πεποιημένον πολλὴν ἔχει τὴν διάστασιν·

[00864] ἐναντία γὰρ ἀλλήλοις τὰ τοιαῦτα φαίνεται.

[00865] Εἰ τοίνυν πᾶν ὅπερ ἂν ἐκ γενητοῦ γένηται, ἀκολουθεῖ πάντως τῇ οἰκείᾳ φύσει, καὶ ἔστι γενητὸν διὰ τὸ ἐκ τοιούτου τὴν ὕπαρξιν ἔχειν, ἀναγκαίως ἔσται καὶ τὸ ἐναντίον, καὶ πᾶν ὅπερ ἂν ἐξ ἀγενήτου γεννηθῇ, τουτό ἐστιν ἀγένητον.

[00866] Ἐγενήθη δὲ ὁ Υἱὸς ἐξ ἀγενήτου Πατρός·

[00867] ἀγένητος ἄρα καὶ αὐτὸς καὶ τῷ τεκόντι συναΐδιος, σώζων ἐν ἑαυτῷ τῆς πατρῴας φύσεως τὸ ἀξίωμα.

[00868] Ἀντίθεσις ὡς ἐκ τῶν αἱρετικῶν.

[00869] Κατὰ τοῦτό φαμεν καὶ αὐτοὶ συναΐδιον εἶναι τῷ Πατρὶ τὸν Υἱὸν, οὐ καθὸ ἦν ἀεὶ σὺν αὐτῷ, ἀλλ' ὅτι τὸ θέλειν ἀεὶ τὸν Υἱὸν εἶχεν ὁ Πατὴρ ἐν ἑαυτῷ.

[00870] [75.64] Πρὸς τοῦτο λύσις.

[00871] Ἀλλ' ἔστι τοῦτο φλυαρία πολλὴ, καὶ ἀνοίας ἀσυγκρίτου σαφὴς ἀπόδειξις.

[00872] Τίνι γὰρ οὐκ ἔστι δῆλον ὅτι δὴ καὶ περὶ ἑκάστου τῶν πεποιημένων ἦν ἐν τῷ Θεῷ τὸ θέλειν;

[00873] Θελήσας γὰρ τὰ πάντα πεποίηκεν ὁ δημιουργός·

[00874] καὶ οὐκ ἀθέλητά ἐστιν αὐτῷ τὰ παρ' αὐτοῦ πεποιημένα.

[00875] Τίς οὖν ἡ διαφορὰ Υἱοῦ καὶ ποιήματος, κτίσεως καὶ γενήματος, εἰ τὸ θέλειν ἐν Θεῷ κεῖται περὶ ἀμφοῖν;

[00876] Οὐκ ἄν τις εὐλόγως τῶν τοῦτο φρονούντων καταβοήσειεν, ὅτι τὰ τοσοῦτον ἀλλήλων διεστηκότα κατὰ τὸν τῆς φύσεως λόγον ἐν ἴσῳ μέτρῳ τιμᾷν ἐπιχειροῦσιν, ἐν μόνῃ προγνώσει τοῦ Θεοῦ κεῖσθαι διδόντες ἀμφότερα, καὶ πλέον οὐδὲν ἔχειν τῶν γενητῶν παραχωροῦντες τῷ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας προελθόντι Λόγῳ;

[00877] ΑΛΛΟ.

[00878] Εἰ μὴ συνῆν ὁ Υἱὸς ἀεὶ τῷ Πατρὶ ἐξ αὐτοῦ τε ὢν κατὰ φύσιν καὶ συναΐδιος, συμβέβηκε δὲ αὐτῶ τὸ εἶναι, συνέβη δηλονότι καὶ τῷ τεκόντι τὸ γενέσθαι Πατέρα.

[00879] Καὶ μεταβολή τις περὶ αὐτὸν καὶ ἀλλοίωσις γενομένη φαίνεται.

[00880] Ὃ γὰρ οὐκ ἦν πρότερον, καθ' ὑμᾶς, τοῦτο γέγονεν ὕστερον.

[00881] Τροπῆς δὲ ἁπάσης καὶ ἀλλοιώσεως ἀνεπίδεκτος ἡ θεία φύσις.

[00882] Οὐκ ἄρα συνέβη τῷ Θεῷ τὸ γενέσθαι Πατέρα·

[00883] ἀλλ' ἦν αὐτῷ συναΐδιος ὁ ἐξ αὐτοῦ προελθὼν Λόγος, καθάπερ ἡ θερμότης ἐν πυρὶ, γεννητῶς ἐξ αὐτοῦ προϊοῦσα καὶ ἀεὶ συνυπάρχουσα, καὶ ἐκ φωτὸς ὁ περὶ τὰ ἔξω φωτισμός.

[00884] ΑΛΛΟ, ὡς ἐξ ἀντιθέσεως τῶν αἱρετικῶν.

[00885] Εἰ τέλειος, φησὶν, ἔστιν ὁ Πατὴρ ἐν τῇ οἰκείᾳ μεγαλειότητι καὶ οὐδὲν ἐλλείπει πρὸς τοῦτο τῇ αὐτοῦ φύσει, περιττῶς ὡς πλήρωμα τῆς θεότητος αὐτοῦ ὁ Υἱὸς ἐπεισφέρεται.

[00886] Πρὸς τοῦτο λύσις.

[00887] Τέλειος μὲν ὁ Πατὴρ ἐν τῇ ἑαυτοῦ μεγαλειότητι·

[00888] καὶ οὐκ ἄν τις τοῦτο τῶν εὖ φρονούντων ἀρνήσεται τέλειος δὲ, οὐχ ὅτι μόνον ἐστὶ Θεὸς, ἀλλ' ὅτι καὶ Πατήρ.

[00889] Εἰ γὰρ ἀφέλοις τοῦ Θεοῦ τὸ εἶναι Πατέρα, ἀναιρήσεις τῆς θείας φύσεως τὸ καρπογόνον, ἵνα μηκέτι τὸ τέλειον ἔχοι, λείποντος αὐτῇ τοῦ γεννᾷν.

[00890] Γνώρισμα τοίνυν τῆς τελειότητος, ἡ καρπογονία, καὶ σφαγὶς τῷ Πατρὶ τοῦ εἶναι τέλειον, ὁ ἐξ αὐτοῦ προελθὼν ἀχρόνως Υἱός.

[00891] ΑΛΛΟ.

[00892] Εἰ μὴ κατὰ φύσιν πρόσεστι τῇ τοῦ Πατρὸς οὐσίᾳ τὸ καρπογόνον, τέλειος δέ ἐστι καὶ δίχα τοῦ δύνασθαι γεννᾷν, περιττὸν ἄρα καὶ ἐπείσακτον ἐγγέγονεν

αὐτῷ τοῦτο·

[00893] μᾶλλον δὲ ἐδεήθη τούτου.

[00894] Καὶ πῶς ἐστι τέλειος ὁ δεηθείς τινος;

[00895] πῶς δὲ οὐκ ἄτοπον τὸ ἐπεισάγεσθαί τι τῇ θείᾳ φύσει, ὡς οὐκ ἐχούσῃ τὸ τέλειον ἐξ ἑαυτῆς;

[00896] Φυσικὸν οὖν τῷ Πατρὶ τὸ καρπογόνον, καὶ διὰ τοῦτο τέλειος, ὅτι καὶ τέτοκεν οὐδενὸς τῶν ἀγαθῶν λειπόμενος.

[00897] [75.65] ΑΛΛΟ, διηγηματικώτερον.

[00898] Εἰ τέλειός ἐστιν ὁ Πατὴρ ἐν τῇ αὐτοῦ μεγαλειότητι κἂν μηδένα καρπὸν ἔχῃ καθ' ὑμᾶς, ἔξωθεν ἄρα καὶ οὐκ ἐκ τῆς οὐσίας αὐτοῦ γέγονεν ὁ Υἱὸς, ὥσπερ καὶ τὰ ποιήματα·

[00899] περιττὴ δὲ ἴσως καὶ οὐδὲ ὅλως ἀναγκαία ἡ εἰς τὸ εἶναι πάροδος αὐτοῦ, καθάπερ ἡ ἀνθρώπων τυχὸν καὶ ἡ τῶν ἄλλων ποιημάτων.

[00900] Καὶ γὰρ καὶ πρὶν ἡμῶν γενέσθαι, ἦν τοῦτο Θεὸς ὅπερ νῦν ἐστι, καὶ γενομένων ἡμῶν, ἐν ταυτότητι μένει.

[00901] Οὐδὲν γὰρ αὐτῷ προστίθεμεν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι καλούμενοι·

[00902] οὔτε μὴν ἀφαιρησόμεθά τι τὴν θείαν φύσιν αὐτοῦ, οὔπω τὸ εἶναι λαχόντες.

[00903] Ὥσπερ οὖν ἡμεῖς, ἐπειδὴ πεποιήμεθα, χάριν ἔχομεν τῷ Δημιουργῷ, ὁμολογείτω καὶ ὁ Υἱός·

[00904] καὶ ἔστω πάλιν ἡμῖν κἀν τούτῳ παραπλήσιος, ἔξωθεν καὶ αὐτὸς γεγονὼς, καθάπερ ἡμεῖς.

[00905] Ἀλλ' ἔστι τοῦτο βυθὸς δυσφημίας.

[00906] Φεύγειν οὖν ἀναγκαῖον αὐτὸ, καὶ τῷ γεννήματι σώζειν τὸ ἐκ τῆς τοῦ γεγεννηκότος οὐσίας ὑπάρχειν·

[00907] οὕτω γὰρ ἂν εἴη καὶ γέννημα.

[00908] Ἀγένητος δὲ ἡ οὐσία τοῦ Πατρός·

[00909] ἀγένητον ἄρα καὶ τὸ ἐξ αὐτῆς προελθὸν, τουτέστιν ὁ Υἱός.

[00910] ΑΛΛΟ, ὡς ἐξ ἀντιθέσεως τῶν αἱρετικῶν.

[00911] Οὐ πάντως, φησὶ, διὰ τὸ εἶναι καρπογόνον, τέλειός ἐστιν ὁ Θεός.

[00912] Ἀλλὰ Θεὸς ὢν, καὶ διὰ τοῦτο τέλειος, γέγονε καὶ Πατήρ.

[00913] Πρὸς τοῦτο λύσις.

[00914] Εἴπατε τοιγαροῦν ἡμῖν οἱ πρὸς τοσαύτην ἀσέβειαν ἐκβαίνειν οὐ παραιτούμενοι, εἰ ἐπισυνέβη τῷ Θεῷ τὸ γενέσθαι Πατέρα, τί ἦν ἄρα πρὶν γένηται Πατήρ;

[00915] Τὸ γὰρ ὅλως ὂν, ἔστι τι πάντως·

[00916] ἢ γὰρ λέγοντες οὐκ εἶναί ποτε Πατέρα τὸν Θεὸν, μαχόμενοι πάσαις εὑρεθήσεσθε ταῖς Γραφαῖς·

[00917] οὐ γὰρ ἴσασι τὸν Θεὸν οὐκ ὄντα Πατέρα·

[00918] ἢ καὶ αὐτοὶ συγχωροῦντες ἐνυπάρχειν ἀεὶ τῷ Θεῷ τὴν τοῦ Πατρὸς ἐπωνυμίαν, ἀναγκαίως αὐτῷ τὸ ἐξ αὐτοῦ συνεισοίσετε.

[00919] Οὐ γὰρ ἂν λέγοιτο Πατὴρ οὐκ ὄντος Υἱοῦ.

[00920] ΑΛΛΟ.

[00921] Εἰ μέγα τι χαρίζεσθαι νομίζουσιν οἱ χριστομάχοι τῷ Θεῷ, Πατέρα μὲν ἐξ ἀρχῆς οὐχ ὁμολογοῦντες αὐτὸν, Θεὸν δὲ εἶναι διδόντες, ἀκουέτωσαν ὅτι λίαν ὑβρίζουσι, πράγματος ἀξιολογωτέρου τὴν θείαν ἀποστεροῦντες φύσιν.

[00922] Θεὸς μὲν γὰρ ὡς πρὸς τὰ δοῦλα καὶ τὰ γενητὴν ἔχοντα τὴν οὐσίαν ἔχει τὴν σχέσιν·

[00923] Πατὴρ δὲ ὡς πρὸς Υἱόν.

[00924] Λέγοντες τοίνυν ὅτι Θεὸς μὲν ἦν ἐξαρχῆς, οὔπω δὲ καὶ Πατὴρ, τὴν πρὸς τὰ δοῦλα σχέσιν προσάπτουσι τῷ Θεῷ, τοῦ μείζονος ἀποστεροῦντες αὐτόν·

[00925] κρεῖττον γὰρ τὸ Πατέρα γεννήματος εἶναι, καὶ τοσοῦτον, ὅσῳ ποιήματος Υἱὸς διαφέρει.

[00926] Ἐφ' ἡμῶν μὲν γὰρ λέγεται·

[00927] Ἡμεῖς λαὸς νομῆς αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ.

[00928] Περὶ δὲ Υἱοῦ·

[00929] Ὅς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ·

[00930] καὶ πάλιν πρὸς αὐτόν·

[00931] Κάθου ἐκ δεξιῶν μου.

[00932] Ὅση τίς οὖν ἐστιν ἡ διαφορὰ ποιήματος καὶ Υἱοῦ, καὶ διὰ τούτων εἰσόμεθα.

[00933] [75.68] ΑΛΛΟ.

[00934] Ὥσπερ τὸ Πατὴρ ὡς πρὸς Υἱὸν λαμβάνεται, οὕτω καὶ Θεὸς ὡς πρὸς τὰ δοῦλα καὶ τὰ μὴ τοιαύτην ἔχοντα τὴν φύσιν ὁποίαν αὐτός.

[00935] Ἀνάγκη τοιγαροῦν ὁμοῦ καὶ Θεὸν καὶ Πατέρα νοεῖσθαι τὸν τοῦ Λόγου γεννήτορα·

[00936] ἢ εἴπερ ἐν χρόνῳ γέγονε Πατὴρ, ὕστερον τὸν Υἱὸν ἀπογεννήσας, ἐν χρόνῳ γέγονε καὶ Θεὸς, ὅτε διὰ τοῦ Λόγου πρὸς τὸ εἶναι παρήχθη τὰ πάντα ὧν ἐστι καὶ Θεός.

[00937] Καὶ εἰ φαίνεται πάντα γεγονότα μετὰ τὸν Υἱὸν (δι' αὐτοῦ γὰρ γέγονε), πρὸ τοῦ εἶναι Θεὸς, ἕξει τὸ εἶναι Πατὴρ ὁ γεννήσας αὐτόν.

[00938] Δέδεικται γὰρ ὅτι μετὰ τὸν Υἱὸν ἡ κτίσις, ἧς ἐστι Θεὸς, καὶ πρὸς ἣν νοεῖται εἰκότως τὸ τῆς θεότητος ὄνομα.

[00939] ΑΛΛΟ.

[00940] Ἀποδεικτικῶς.

[00941] Ὅτι πρεπωδέστερον τὸ Πατέρα μᾶλλον καλεῖν τὸν Θεὸν, ἢ τοῦτο αὐτὸ μόνον Θεόν.

[00942] Εἰ μὴ τὸ Πατὴρ ὄνομα κυριώτερόν πώς ἐστι καὶ ἀξιολογώτερον ἐπὶ Θεοῦ ἢ αὐτὸ δὴ τοῦτο τὸ Θεὸς, ὅτου δὴ χάριν ἐπὶ τὸ βαπτίζειν ἀποστέλλων.

[00943] τοὺς ἑαυτοῦ μαθητὰς ὁ Σωτὴρ, οὐκ ἐκέλευσε βαπτίζειν τὰ ἔθνη εἰς ὄνομα Θεοῦ, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, ἀλλὰ τὸ ἀληθέστερον σημαίνων τῆς θείας φύσεως ἀξίωμα·

[00944] Εἰς Πατέρα, φησὶ, καὶ εἰς Υἱὸν, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον;

[00945] Ὁ δέ γε Φίλιππος τὴν θείαν, ἵν' οὕτως εἴπω, περιεργαζόμενος φύσιν, ἔφασκε πρὸς αὐτόν·

[00946] Δεῖξον ἡμῖν τὸν Πατέρα.

[00947] Ὁρᾷς ὅπως οὐ Θεὸν ὀνομάζει πάλιν, ἀλλὰ Πατέρα καλεῖ;

[00948] Καὶ αὐτὸς δὲ πρὸς τοῦτό φησιν ὁ Σωτήρ·

[00949] Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με Φίλιππε;

[00950] Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα.

[00951] Πάλιν οὐκ εἶπεν, Ἑώρακε τὸν Θεὸν, ἀλλὰ τὸν Πατέρα, τὸ μεῖζον ἀπονέμων αὐτῷ, καὶ οὐ τὸ ἔλαττον.

[00952] Ὅτε μὲν γὰρ καλεῖται Πατὴρ, ἐκ τοῦ μείζονος καὶ ἀξιολογωτέρου σημαίνεται, τουτέστιν ἐκ τοῦ Υἱοῦ·

[00953] ὅτε δὲ Θεὸς, ἐκ τῶν ποιημάτων·

[00954] ὅπερ ἐστὶν ἔλαττον·

[00955] καὶ τοσοῦτον ὅσον ἐστὶ τὸ μεταξὺ δούλου καὶ δεσπότου, ποιητοῦ καὶ ποιήματος.

[00956] ΑΛΛΟ.

[00957] Μετὰ σαφοῦς ἀποδείξεως, ὅτι πρῶτόν ἐστι Πατὴρ, εἶτα Θεὸς, εἰ καὶ ἅμα ἀμφότερα.

[00958] Ὅτε τὴν καθ' ἡμῶν ἀποπληρώσας οἰκονομίαν ὁ Σωτὴρ ἠπείγετο μετὰ τὸν σταυρὸν εἰς οὐρανοὺς, λέγει πρὸς τοὺς ἑαυτοῦ μαθητάς·

[00959] Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.

[00960] Ὁρᾷς ἐν τούτῳ σαφῆ τὴν τῶν ὀνομάτων διαστολήν;

[00961] Ὁρᾷς ὅτι ὁ Πατὴρ μὲν ὡς πρὸς Υἱὸν νοεῖται, Θεὸς δὲ, ὡς πρὸς τὰ δοῦλα καὶ πεποιημένα;

[00962] Οὐκοῦν εἰ δεύτερα τῆς γεννήσεως τοῦ Υἱοῦ τὰ ποιήματα, πρῶτον ἔχει τὸ εἶναι Πατὴρ, ἐπακολουθοῦν δὲ ἅμα καὶ τὸ εἶναι Θεός.

[00963] Δειχθήσεται δὲ ἀκριβέστερον ἐντεῦθεν ἡ τοῦ νοήματος δύναμις.

[00964] Τὸ γὰρ προσὸν αὐτῷ κατὰ φύσιν ἀξίωμα χαριζόμενος ἡμῖν διὰ πολλὴν φιλανθρωπίαν, προστέθεικεν ὅτι, καὶ Πατέρα ὑμῶν·

[00965] κεκλήμεθα γὰρ εἰς υἱο [75.69] θεσίαν δι' αὐτοῦ, καὶ γέγονεν ἡμῶν κατὰ χάριν Πατὴρ ὁ αὐτοῦ κατὰ φύσιν.

[00966] Ἀναλαμβάνων δὲ εἰς ἑαυτὸν τὰ ἡμῶν, καὶ ὡς τὴν τοῦ δούλου φορέσας μορφὴν τὰ τῶν δούλων οἰκειούμενος, λέγει·

[00967] Καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν.

[00968] Οὐκοῦν αὐτοῦ μὲν φύσει Πατὴρ, ἡμῶν δὲ Θεός.

[00969] Καὶ ἐπειδὴ, καθάπερ ἤδη προεῖπον, δι' Υἱοῦ πεποιήμεθα, πρῶτον ἔσται Πατὴρ, εἶθ' οὕτως Θεὸς, εἰ καὶ ἅμα καὶ συνημμένως.

[00970] ΑΛΛΟ, ὡς ἐξ ἀντιθέσεως τῶν Εὐνομίου.

[00971] Συναΐδιον, φησὶ, καὶ αὐτοὶ τῷ Πατρὶ τὸν Υἱὸν ὁμολογοῦμεν εἶναι, καθὸ τὴν τοῦ δύνασθαι τεκεῖν αὐτὸν ἐξουσίαν εἶχεν ἐν ἑαυτῷ καὶ πρὶν αὐτὸν τέκῃ.

[00972] Πρὸς τοῦτο λύσις.

[00973] Εἰ τὸ δύνασθαι γεννᾷν τὸν Πατέρα συναΐδιον αὐτῷ τὸν Υἱὸν εἶναι ποιεῖ, καὶ οὐχ ὅτι συνῆν αὐτῷ γεννητῶς, τί κωλύσει λέγειν ὅτιπερ, ἐπειδὴ τὸ δύνασθαι κτίζειν ἦν ἐν Θεῷ, ἔσται πάντως αὐτῷ καὶ τὰ ποιήματα συναΐδια;

[00974] Εἰ γὰρ τὸ δύνασθαι μόνον τὸ ἐν τοῖς πράγμασιν ἀποτέλεσμα φορεῖ, ἦν ἄρα καὶ πρὶν γένηται τὰ ποιήματα.

[00975] Ἦν γὰρ ἐν τῷ Ποιητῇ τὸ δύνασθαι ποιεῖν αὐτά.

[00976] Εἰ δὲ τοῦτο ἄτοπον, καὶ οὐ τὸ δύνασθαι κτίζειν τὸν Θεὸν τοῦτό ἐστι καὶ γενέσθαι τὰ ποιήματα·

[00977] οὐκ ἄρα τὸ δύνασθαι τεκεῖν τὸν Πατέρα, τὸ εἶναί ἐστι τοῦ Υἱοῦ, ἀλλ' ὅτι γεννητῶς καὶ ἐξ αὐτοῦ κατὰ φύσιν ἐστὶν ἅμα καὶ συναΐδιος·

[00978] ὡς ἐκ πυρὸς θερμότης, ἢ καὶ ἐξ ἄνθους εὐωδία.

[00979] ΑΛΛΟ.

[00980] Τὸ δύνασθαι γεννᾷν οὔπω τὴν ἐπ' αὐτῷ ἐνέργειαν ἔχει.

[00981] Ὅτε γάρ τις τίκτει, τότε καὶ ἐνεργεῖ.

[00982] Οὐκοῦν οὐ τὸ δύνασθαι γεννᾷν τὸν Πατέρα τὸ εἶναί ἐστι τοῦ Υἱοῦ, ἀλλ' ἐκ τοῦ εἶναι Πατέρα τὸν Θεὸν, τὸ ἐξ αὐτοῦ συνεπινοεῖται, διὸ καὶ Πατήρ ἐστιν.

[00983] Εἰ δὲ ἅμα Πατὴρ καὶ Θεὸς, ἅμα καὶ Υἱός, συντρέχων τῇ τοῦ Πατρὸς ἀϊδιότητι καὶ συνεκτεινόμενος, ἵνα σώζηται τῷ γεννήσαντι τὸ εἶναι Πατέρα.

[00984] ΑΛΛΟ.

[00985] Ὡς ἐξ ἀντιθέσεως τῶν Εὐνομίου.

[00986] Εἰ καθ' ὑμᾶς, φησὶ, τοὺς ὀρθὰ φρονεῖν λέγοντας συναΐδιός ἐστιν ὁ Υἱὸς τῷ Πατρὶ, οὐδέ ποτε ἄρα γέγονεν ἐνεργὸς ὁ Πατὴρ περὶ τὸ τίκτειν αὐτὸν, ἀεὶ δὲ ἀργὸς, πῶς οὖν ἐγεννήθη;

[00987] Εἰ δὲ γέγονεν ἐνεργὸς καὶ ἔτεκεν, ἀρχὴν ἕξει πάντως τοῦ εἶναι τὸ γεννηθέν.

[00988] Πρὸς τοῦτο λύσις.

[00989] Εἰ μὲν περί τινος τῶν πεποιημένων ὁ λόγος ἦν, ὦ οὗτοι, καλῶς ἐργάτην ἡμῖν εἰσφέρετε τὸν Θεὸν, καὶ οὐχὶ μᾶλλον γεννήτορα.

[00990] Ἐπειδὴ δὲ οὐκ ἐργασίαν τινὰ γεγενῆσθαι παρὰ τοῦ Πατρὸς ὁμολογοῦμεν εἰς τὸν Υἱὸν (γεγενῆσθαι γὰρ αὐτὸν ἐκ τῆς οὐσίας, οὐκ ἔξωθεν πεποιῆσθαί φαμεν), πῶς οὐ διαῤῥήδην βλασφημεῖτε, λέγοντες ἐνεργὸν γεγενῆσθαί ποτε τὸν Πατέρα περὶ τὴν γέννησιν τοῦ Υἱοῦ, τοῦτον οὐκ ἐχούσης τὸν νόμον τῆς γεννήσεως οὐδὲ ἐφ' ἡμῶν;

[00991] Τὰ μὲν γὰρ ἔξωθεν, ἐργαζόμεθα·

[00992] τίκτομεν δὲ τὰ ἐξ ἑαυτῶν.

[00993] Οὐκοῦν [75.72] ἐπειδήπερ οὐκ ἔργον ἐστὶν ὁ Υἱὸς, γέννημα δὲ μᾶλλον ἀϊδίου Πατρὸς, ἕξει δηλαδὴ τοῦ τεκόντος τὴν εὐγένειαν, ἀΐδιος ὢν ὡς ἐκεῖνος.

[00994] ΑΛΛΟ.

[00995] Ἵνα μὴ σφόδρα φιλόνεικοί τινες εἶναι δοκῶμεν, συνθησόμεθα τοῖς χριστομάχοις ἐνεργητικὴν εἶναι λέγουσι τὴν γέννησιν τοῦ Υἱοῦ, διὰ τὸ μὴ ἐκ πάθους τετοκέναι τὸν Πατέρα.

[00996] Ἀλλ' ὥσπερ ἐστὶν ἐνεργητικὴ, οὕτω δὴ φυσική τε καὶ οὐσιώδης, καὶ τῆς ὑποστάσεως ἀχώριστος.

[00997] Ἀνάγκη τοιγαροῦν, κἂν τέκῃ τὸν Υἱὸν ἐνεργητικῶς ὁ Πατὴρ, εἶναι πάντως αὐτὸν συναΐδιον·

[00998] προείρηται γὰρ ὅτι τῆς ἰδίας ὑποστάσεως ἀχώριστον ἔχει τὸ τίκτειν.

[00999] Οὔσης δὲ ἀεὶ τῆς ὑποστάσεως αὐτοῦ, εἶναι δεῖ πάντως καὶ τὸ ἐξ αὐτῆς προελθὸν φύσεως ὑπάρχον καρπός.

[01000] Πῶς οὖν οὐκ ἔσται συναΐδιος ὁ Υἱός;

[01001] ΑΛΛΟ.

[01002] Ὁρῶμεν ἐν τοῖς πεποιημένοις παρὰ Θεοῦ, ὅτιπερ ὅσα τοῦ γεννᾷν τὴν δύναμιν ἔχει μεμερισμένως (οὗτος γὰρ σωμάτων νόμος), καὶ ὅταν εἰς μέτρον ἡλικίας ἔλθῃ φανερὸν, τότε καὶ ἐνεργὸν ἴσχει τὸ τίκτειν, οἷον ἄνθρωπος, ζῶον ἄλογον, καὶ φυτόν.

[01003] Ταῦτα γὰρ μικρὰ ὄντα, τίκτειν οὐ δύναται·

[01004] τελειούμενα δὲ, καὶ τοῦτο ποιεῖ.

[01005] Τί οὖν ἐκώλυε τελείαν οὖσαν τὴν οὐσίαν τοῦ Πατρὸς τίκτειν τὸ ἐξ αὐτῆς ἀχρόνως ὡς συναΐδιον αὐτῇ;

[01006] Οὐ γὰρ δήπου φήσειεν ἄν τις ὡς ἐν χρόνῳ τὸ τέλειον ἔσχεν ἡ τοῦ Πατρὸς οὐσία, ἀεὶ ὡσαύτως ἔχουσα, καὶ οὔτε προσθήκης τινὸς δεομένη, οὔτε μείωσιν ὑποστῆναι δυναμένη.

[01007] Ἔδει τοιγαροῦν ἀποθαυμάζειν αὐτοὺς, εἰ μὴ συναΐδιον ἦν τῷ Θεῷ τὸ ἐξ αὐτοῦ, οὐκ ἐκ τῶν ἐναντίων ἐπερωτᾷν τὸ, Πότε γεγέννηκε τὸν Υἱόν;

[01008] Τῷ γὰρ ἀεὶ τελείῳ Πατρὶ τὸ γεννᾷν ἀχρόνως πρεπωδέστατον.

[01009] ΑΛΛΟ.

[01010] Τοῖς διερωτῶσι φιλονεικώτερον, πότερόν ποτε γεγέννηκε τὸν Υἱὸν ὁ Πατὴρ, ἀκόλουθον ἀντιθεῖναι καὶ λέγειν·

[01011] Πότε τὸ πῦρ τοῦ καίειν ἤρξατο;

[01012] Ἀλλ' οὐχ εὑρήσουσι δεῖξαι τούτου τὴν ἀρχήν·

[01013] ἅμα τε γὰρ ἐγένετο πῦρ, καὶ ἦν καυστικόν.

[01014] Εἰ τοίνυν τοῖς παρὰ Θεοῦ πεποιημένοις ὁμοῦ καὶ τὸ εἶναι καὶ τοιῶσδε εἶναι ὑπάρχει, τί κωλύσει μείζονα τῶν οἰκείων ἔργων ὁμολογεῖν εἶναι τὸν Πατέρα, ὁμοῦ καὶ τὸ εἶναι, καὶ τὸν Υἱὸν ἔχοντα γεννητῶς ἐξ ἑαυτοῦ;

[01015] ΛΟΓΟΣ ϛʹ.

[01016] Ὅτι ὁ Πατὴρ ἀμερίστως καὶ ἀρεύστως ἐγέννησεν ἐξ ἑαυτοῦ τὸν Υἱόν.

[01017] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[01018] Καὶ πῶς, φησὶν, οὐκ ἀναγκαῖον ὁμολογεῖν ἠλαττῶσθαι τοῦ Πατρὸς τὴν οὐσίαν, εἴπερ ἐξ αὐτῆς προῆλθεν ὁ Υἱὸς μέρος ὥσπερ τι τυγχάνων αὐτῆς;

[01019] Εἰ δὲ βούλεσθε τὸ ἄτρεπτον τηρεῖν τῷ Πατρὶ καὶ τὸ ἄνω κεῖσθαι τῆς ἐλαττώσεως, οὐ παραιτήσεσθε φρονεῖν ὡς οὐκ ἂν εἴη μέρος ὁ Υἱὸς τῆς οὐσίας αὐτοῦ, οὐδὲ [75.73] ἐξ αὐτοῦ, ἀλλ' ἔξωθεν, καὶ κατὰ δύναμιν τὴν ἐν βουλήσει μόνῃ τὴν συνύπαρξιν ἔχει.

[01020] Πρὸς τοῦτο λύσις.

[01021] Μικρὸν, ὦ βέλτιστε, σαυτὸν ἄνω σωμάτων ἔχε καὶ τῶν περὶ τὰ σώματα παθῶν·

[01022] περὶ Θεοῦ γὰρ ὁ λόγος.

[01023] Εἰ γὰρ οἴει καθάπερ ἄνθρωπον τίκτοντα τὸν Θεὸν ἐλαττοῦσθαί πως ταῖς ἀποῤῥοίαις, καὶ δίχα τινὸς ζημίας μὴ δύνασθαι τοῦτο ποιεῖν, μεριζόμενον ὥσπερ εἰς τὸν ἐξ αὐτοῦ προελθόντα Λόγον, τί κωλύσαι τὴν αὐτὴν ἐπαγαγεῖν βλασφημίαν, καὶ ἐπὶ τοῖς ἄλλοις ἅπασι τοῖς προσοῦσιν αὐτῷ;

[01024] Εἰ γὰρ ὡς ἄνθρωπος τίκτει ῥευστῶς, δημιουργήσει καὶ ὡς ἄνθρωπος μετὰ πόνου.

[01025] Εἰ δὲ τοῦτο ἄτοπον (οὐ γὰρ ὡς ἄνθρωπος ὁ Θεὸς δημιουργεῖ), οὐδὲ ὡς ἄνθρωπος ἄρα γεννήσει, ἀλλὰ τὴν ἀνθρώπου φύσιν κἀν τούτῳ πάλιν ἀναβήσεται, γεννῶν ἀμερίστως.

[01026] ΑΛΛΟ.

[01027] Εἰ καθάπερ ἄνθρωπος τίκτει Θεὸς, ἐργάζεται καὶ ὡς ἄνθρωπος.

[01028] Καὶ ἐπειδήπερ ἡμεῖς ὕλης παρακειμένης τινὸς διὰ κινήσεως χειρῶν ἀποτελοῦμέν τι τῶν ὅσα ποιεῖν βουλόμεθα, οὕτω καὶ Θεός.

[01029] Εἰ δὲ δίχα χειρῶν καὶ ὕλης ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα λόγῳ παράγει, τὴν ἀνθρώπου φύσιν νικῶν, νικήσει πάντως αὐτὴν καὶ περὶ τὸν τοῦ

γεννᾷν τρόπον.

[01030] ΑΛΛΟ.

[01031] Τὰ συνέχοντά τινα, οἱονεὶ κύκλῳ περιτετάσθαι πάντως ἀναγκαῖον τῶν ὅσα συνέχει.

[01032] Τὸ δὲ εἰς κύκλον ἐκτείνεσθαι σωμάτων ἴδιον.

[01033] Πῶς οὖν τὰ πάντα συνέχει ὁ Θεὸς ἀσώματος ὢν, καὶ διὰ τοῦτο μηδὲ ἐν τόπῳ νοεῖσθαι δυνάμενος;

[01034] Ἀλλὰ συνέχει τὴν ἐν τούτοις ἀκολουθίαν, ὡς Θεὸς, ἀναβαίνων.

[01035] Οὐκ ἄρα τοῖς σωματικῶν ὑποκείσεται νόμοις·

[01036] οὐκοῦν οὐδὲ ὡς σῶμα γεννήσει.

[01037] ΑΛΛΟ.

[01038] Τὸ ἐν πᾶσιν ὂν καὶ διὰ πάντων διῆκον, συμπλέκεσθαι τοῖς πᾶσιν ἀναγκαῖον.

[01039] Οὕτω γὰρ ἂν εἴη καὶ ἐν πᾶσιν.

[01040] Ἀλλ' οὐ συμπεπλέχθαι μὲν τὴν οὐσίαν τοῦ Θεοῦ τῇ ποικιλίᾳ τῶν ἐν κόσμῳ σωμάτων ὁμολογήσομεν·

[01041] μένει γὰρ ἐφ' ἑαυτῆς καθαρά τε καὶ τῆς πρὸς ἕτερον κοινωνίας, ἀσύμπλοκος φυσικῶς·

[01042] διήκει δὲ ὁ μὲν διὰ πάντων παραδόξως καὶ ἀῤῥήτως.

[01043] Οὐκ ἄρα ταῖς σωμάτων ἀκολουθίαις ὑποκείσεται.

[01044] Διόπερ οὐδὲ κατὰ τὴν τῶν σωμάτων φύσιν γεννήσει.

[01045] ΑΛΛΟ.

[01046] Εἰ ἁπλοῦς καὶ ἀσύνθετός ἐστι καὶ νοεῖται Θεὸς, πῶς διαφόρους καὶ ποικίλας ἔχει τὰς ἐνεργείας, πολλὰ ποιημάτων εἴδη κατὰ καιροὺς ἐργαζόμενος;

[01047] Εἰ δὲ οὐδὲν εἰς τὸ ἁπλοῦς εἶναι βλαβήσεται διαφόρως ἐν ἑκάστῳ τῶν ὄντων ἐνεργῶν, ἐπεὶ μὴ κατὰ σῶμά ἐστιν, ἄνω σωμάτων καὶ ἐν τῷ γεννᾷν κείσεται.

[01048] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[01049] Εἰ βούλεσθε, φησὶ, τὸν Υἱὸν ἐκ τῆς τοῦ Πατρὸς οὐσίας προεληλυθότα λέγειν, ἀνάγκη πρότερον ὁμολο [75.76] γεῖν προϋποκεῖσθαι τοῦτον ἐν αὐτῷ.

[01050] Οὕτω γὰρ δὴ καὶ ἐξ αὐτοῦ προελθὼν φαίνοιτο.

[01051] Καὶ εἰ τὸν Υἱὸν ἐγέννησεν ὁ Πατὴρ, καὶ ἕτερον ἐπ' αὐτῷ οὐδένα τέξεται (μονογενὴς γὰρ), ἀφῃρῆσθαι καὶ αὐτὸν ἀνάγκη λέγειν τῆς γεννητικῆς δυνάμεως, ἠλαττῶσθαι δὲ καὶ ἐκ μέρους, γεννηθέντος ἅπαξ τοῦ Υἱοῦ καὶ μηκέτι ὄντος ἐν αὐτῷ καθάπερ καὶ πρότερον.

[01052] Πρὸς τοῦτο λύσις.

[01053] Πάλιν τὰ σωμάτων ἴδια τῇ τοῦ Θεοῦ φύσει περιτιθεὶς οὐκ ἐρυθριᾷς;

[01054] Οὐ γὰρ καθάπερ σῶμα ἐν σώματι τὸν Υἱὸν ἐν Πατρὶ κεῖσθαι δίκαιον ἐννοεῖν.

[01055] Οὐδὲ ὥσπερ τὰ ἐξ ἡμῶν γεννώμενα τῇ τῶν γεννώντων ὀσφύϊ περιέχεσθαι πιστεύειν εὐπρεπὲς, οὕτω καὶ ἐπὶ τοῦ θείου γεννήματος φρονητέον.

[01056] Εἰ γάρ τις εἰς τοῦτο προβαίνει τόλμης ὡς εἰς τὴν τῶν σωμάτων ἀθλιότητα τὴν ἄῤῥητον τοῦ Θεοῦ καταφέρειν οὐσίαν, τί κωλύσει λέγειν μηδὲ ὅλως γεγεννηκέναι τὸν Πατέρα;

[01057] Ἐπεὶ τὸ τίκτειν μητρὶ μᾶλλον ἢ ἀνδρὶ πρεπωδέστερον;

[01058] Ἐπειδὴ δὲ οὔτε σῶμα Θεὸς, οὔτε μὴν τὴν ἐν τοῖς σώμασιν ἔχει διαφορὰν (ἄρσεν γὰρ καὶ θῆλυ μόνον ἐν τοῖς τῶν σωμάτων ζητεῖται σχήμασιν), ἁπλοῦς δὲ καὶ ἀσώματος, καὶ αὐτὸ δὴ τοῦτο νοῦς ὁ πάντων καθαρώτατος, διὰ ταύτην οἶμαι τὴν αἰτίαν χρῆναι δεῖν τοὺς ὅσοι τὴν ἐπ' αὐτοῦ γέννησιν ἐξετάζειν βούλονται, τὰς ἐκ νοῦ καρποφορίας ζητεῖν, καὶ ταύταις μᾶλλον ἐξομοιοῦν ἐπείγεσθαι τοῦ Λόγου τὴν γέννησιν, καὶ μὴ λέγειν σωμάτων ἀγονώτερον εἶναι Θεὸν, ἐπεὶ μὴ ὡς σῶμα γεννᾷ.

[01059] Γεννᾷν μὲν γὰρ καὶ τὸν ἀνθρώπινον νοῦν πάντως ἂν ὁμολογήσαιμεν διαλογισμοὺς ἀγαθούς.

[01060] Ἀπὸ γὰρ τῆς καρδίας ὁ ἀγαθὸς ἄνθρωπος, καθά φησιν ὁ Σωτὴρ, προφέρει τὰ ἀγαθά.

[01061] Εἰ τοίνυν ἀσεβὲς εἰπεῖν τὸν ἀνθρώπινον νοῦν καρπὸν οὐκ ἔχειν, καὶ τοῦ Κυρίου φάσκοντος καὶ αὐτοῦ δὲ βοῶντος τοῦ πράγματος, πῶς οὐκ ἄτοπον τὸν ὑπὲρ πάντα νοῦν ἄκαρπον εἶναι λέγειν, καὶ τῆς πρεπούσης αὐτῷ καρποφορίας ἀποστερεῖν;

[01062] ἢ εἰ λέγονται γεννᾷν, ὑποκεῖσθαι ταῖς τῶν σωμάτων ἀνάγκαις ὑπολαμβάνειν, καὶ οὕτως αὐτὸν ὡς σῶμα γεννᾷν, οὐδὲ τοῦ ἐν ἡμῖν ὑπάρχοντος νοῦ κατὰ

τὸν τῶν σωμάτων γεννῶντος νόμον;

[01063] Ὁ δὲ ἄνω πάντων ἀναβεβηκὼς καὶ πάντα ὑπερκείμενος Θεὸς, πῶς οὐ γεννήσει καὶ ὑπὲρ νοῦν, οὐκ ἀποβολὴν ἢ ἀπόῤῥοιαν προϋποκειμένου τινὸς ὑπομένων, ἀλλ' ἐκλάμψας ἀμερίστως ἐξ ἑαυτοῦ τὸν Υἱὸν, κατὰ τὸν ἄῤῥητόν τε καὶ ἄφραστον τῆς θείας γεννήσεως τρόπον;

[01064] ΑΛΛΟ.

[01065] Πᾶν ὅπερ ἂν καθ' ὁμοίωσιν γένοιτό τινος, ἀπολείπεται πάντως τῆς πρὸς τὸ πρωτότυπον ἰσότητος, καὶ τῆς ἐκείνου δόξης ἐστὶ δεύτερον.

[01066] Ἄγεται τοίνυν διὰ δυνάμεως Θεοῦ πρὸς καρπογονίαν ἡ γενητὴ φύσις, πρὸς ἐκείνην μορφουμένη διὰ χάριτος τὴν ὄντως καὶ ἀληθῶς καρπογόνον.

[01067] Ἆρ' οὖν ἀπολειφθήσεται πάντως καὶ τῆς ἐκείνῃ προσούσης ἀληθείας περὶ τὸν τοῦ γεννᾷν τρόπον·

[01068] καὶ γεννήσει μὲν, οὐχ ὡς ἐκεῖνο δὲ, πρὸς ὃ καὶ μεμόρφωται.

[01069] Εἰ δὲ τοῦτο ἀληθὲς, γεννή [75.77] σει μὲν ὁ Θεὸς, οὐχ ὡς ἡ κτίσις δὲ κατὰ χάριν καὶ ταύτην λαβοῦσα τὴν πρὸς αὐτὸν ὁμοίωσιν, ἀλλ' ὑπὲρ πάντα τὰ γενητά.

[01070] ΑΛΛΟ.

[01071] Ἐρώτησις ὡς ἐκ τοῦ Εὐνομίου.

[01072] Ὁ Πατὴρ ἐγέννησεν ἐξ ἑαυτοῦ τὸν Υἱὸν, καθάπερ ὑμεῖς φατε οἱ ἐπὶ πολλῇ λίαν ὀρθότητι δογμάτων ἀποσεμνυνόμενοι·

[01073] ἀλλ' ὁρᾶτε καὶ τοῦτο.

[01074] Τέλειος ἦν ὁ Πατὴρ πρὸ τῆς γεννήσεως τοῦ Υἱοῦ, ἀλλ' εἰ γεννήσας εἰς δυάδα μεμέρισται, πῶς ἔτι τὸ τέλειον ἕξει;

[01075] εἰ μὴ ἄρα γέγονε περὶ τὴν οὐσίαν αὐτοῦ πληθυσμὸς, οἱονεὶ τὸ κενωθὲν ἀναπληρῶν.

[01076] Ἀνάγκη γὰρ πᾶσα τὸ ἐξ ἑνάδος εἰς δυάδα τεμνόμενον, ἔλαττον ἑαυτοῦ φαίνεσθαι, εἰ μή τις αὔξη παρεισδραμοῦσα προσθείη τὸ ἐκλελοιπός.

[01077] Εἰ δὲ τοιοῦτον οὐδὲν περὶ τὴν θείαν οὐσίαν συμβαίνειν δύναται, οὐκ ἐγέννησεν ἄρα ἐξ ἑαυτοῦ τὸν Υἱὸν ὁ Πατὴρ, ἵνα μὴ φαίνηται μεριζόμενος·

[01078] ὑπέστησε δὲ αὐτὸν ὅμοιον ἑαυτῷ κατὰ πάντα.

[01079] Πρὸς τοῦτο Λύσις.

[01080] Ἔστι μὲν καὶ ἐξ ἑτέρων ἰδεῖν ὅτι πολλὴν οἱ χριστομάχοι νοσοῦσι φρενῶν ἐρημίαν, οὐδὲν δὲ ἧττον καὶ διὰ τούτων.

[01081] Πλανῶνται γὰρ ὄντως, μὴ εἰδότες τὰς Γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ.

[01082] Πῶς γὰρ ὅμοιον ἔσται κατὰ πάντα τῷ ἀκτίστῳ καὶ ἀεὶ ὄντι Θεῷ καὶ Πατρὶ, τὸ ἐξ οὐκ ὄντων εἰς ὑπόστασιν ἐνεχθέν;

[01083] Εἰ γὰρ ὅλως ὑπέστη, οὐκ ἦν δηλονότι ποτέ.

[01084] Πῶς δὲ οὐκ αἰσχύνονται μερισμοὺς καὶ ἀποτομὰς περὶ τὴν θείαν γέννησιν εἰσφέροντες, καὶ τοῖς τῆς γενητῆς φύσεως νόμοις ὑποτιθέντες τὴν ἀῤῥητον οὐσίαν;

[01085] Οὐ γὰρ δή που τοῖς οἰκείοις ποιήμασιν ἴσος ἔσται Θεὸς, οὐδὲ οὕτω γεννήσει καθάπερ ἐκεῖνα·

[01086] ἀλλ' ὥσπερ ἐν ἅπασιν ὑπερέχει αὐτῶν, οὕτως ὑπερέξει κἀν τούτῳ.

[01087] Καὶ εἰ πάσης ἄνω γενητῆς οὐσίας ἐστὶν ὁ Θεὸς καὶ Πατὴρ, ἄνω πάλιν αὐτῆς ἔσται καὶ κατὰ τὸν ἐν τῷ γεννᾷν τρόπον, ἀῤῥήτως τοῦτο ποιῶν καὶ θεοπρεπῶς.

[01088] ΑΛΛΟ.

[01089] Μερισμοὺς καὶ ἐλαττώσεις ὑπομένειν, αὔξην τε καὶ πληθυσμὸν, καὶ τὰς ἐν τῷ τίκτειν ἀποῤῥοίας σωμάτων, ἴδιον καὶ τῶν ὅσα τῆς γενητῆς οὐσίας ἐστίν.

[01090] Εἰ τοίνυν οὕτω τίκτει Θεὸς, ὥσπερ καὶ τὰ σώματα, καὶ κρατήσει νόμος ἐπ' αὐτοῦ τοιοῦτος ὁποῖος ἐν τοῖς πεποιημένοις, οὕτω καὶ δημιουργήσει καθάπερ καὶ τὰ σώματα, ὀργάνοις δηλαδὴ καὶ χερσὶ κεχρημένος.

[01091] Εἰ δὲ τῆς σωματικῆς καὶ γενητῆς φύσεως οὕτω δυναμένης δημιουργεῖν καὶ οὐχ ἑτέρως, λόγῳ τὰ πάντα Θεὸς ἐργάζεται, καὶ ἐν τῇ αὐτοῦ βουλήσει τὰ ὄντα τὴν σύστασιν ἔχει, πῶς οὐ γελοῖον ἐν τοῖς ἀξιολογωτέροις καὶ μείζοσι μὴ ἄνω κεῖσθαι πάθους τὸν Θεὸν, μηδὲ ἐξάλλεσθαι τὰ τοῖς σώμασιν εἰωθότα συμβαίνειν περὶ τὸ γεννᾷν, ἀλλ' ὡς ἐξ ἀνάγκης οὕτως εἶναι περὶ τὸ γεννᾷν, καθάπερ καὶ τὰ σώματα.

[01092] Ὥσπερ οὖν δημιουργεῖ μὲν οὐχ ὡς ἄνθρωπος, οὐδὲ ὡς σῶμα, οὕτω καὶ γεννᾷ ταῖς τῶν σωμάτων συνηθείαις οὐχ ὑποκείμενος.

[01093] [75.80] ΑΛΛΟ, διηγηματικῶς.

[01094] Ὁ Πατὴρ ἐξέλαμψεν ἐξ ἑαυτοῦ τὸν Υἱὸν ἀμερίστως τε καὶ ἀδιαστάτως, ὥσπερ οὖν καὶ ὁ ἥλιος τὸ ἐξ αὐτοῦ πεμπόμενον ἀπαύγασμα.

[01095] Ἀλλ' ἐκεῖνο μὲν οὐκ ἰδιοσύστατον οὐδὲ τὴν οὐσίαν ἐντελὲς αὐτὸ καθ' αὑτό·

[01096] ἔχει γὰρ ἐν τῷ ἡλίῳ τὸ εἶναι·

[01097] τὸ δὲ θεῖον γέννημα μόνον ἔχον ἐκ τοῦ παραδείγματος τὸ ἐκ Πατρὸς προελθεῖν ἀμερίστως καὶ ἀδιαστάτως, ἰδίαν ἔχει τὴν ὕπαρξιν οὐ κεχωρισμένην τοῦ Πατρὸς, ἀλλ' ἐν Πατρὶ καὶ μετὰ Πατρὸς νοουμένην καὶ ὑπάρχουσαν.

[01098] Τὸ δὲ λέγειν ὅτι τομὴ καὶ ἀποκοπὴ περὶ τὴν γέννησιν αὐτοῦ γέγονε, μανίας ἀμέτρου σημεῖόν ἐστιν.

[01099] Ἐπειδὴ γὰρ οὐκ ἐν τόπῳ περιείληπται τὸ θεῖον, οὐδὲ ἐν τόπῳ τοιούτῳ τὸ ἐξ αὐτοῦ.

[01100] Τὸ δὲ μὴ ὂν ἐν τόπῳ, ἢ καὶ μὴ εἶναι δυνάμενον, πῶς ἐπιδέχεται μερισμόν;

[01101] Ποῖ γὰρ χωρήσει τὸ τεμνόμενον;

[01102] ἢ ἐκ τίνος εἰς τί μετοιχήσεται;

[01103] ταῦτα γὰρ σωμάτων μὲν ἴδια, τῆς δὲ ἀσωμάτου φύσεως παντελῶς ἀλλότρια.

[01104] Μὴ τοίνυν δυσσεβῶς ἀναπλάττωσάν τινες περὶ τὴν θείαν γέννησιν τάς τε καλουμένας ἀποῤῥοίας, καὶ μερισμοὺς, καὶ ὅσα πρὸς ταῦτα τὴν συγγένειαν ἔχει.

[01105] Ἄνω γὰρ πάθους καὶ μερισμοῦ καὶ τομῆς, ἡ τῶν πάντων ὑπερκειμένη φύσις, καὶ οὐκ ἐπιδέξεται τὰ σωμάτων ἴδια.

[01106] Ἀλλ' ὥσπερ δημιουργεῖ παραδόξως, οὐ κατὰ τὸν τῆς κρατούσης παρ' ἡμῖν συνηθείας νόμον, οὕτω καὶ γεννήσει τὸ ἐξ αὐτῆς ξένως ἢ καθ' ἡμῶν.

[01107] Ὑποδείγματα μερικῶς σημαίνοντα τὸ, πῶς ἀμερίστως ἐκ Πατρὸς προῆλθεν ὁ Υἱός.

[01108] Ὁ λόγος οὗτος ὁ προφορικὸς ᾧ κεχρήμεθα, εἰς νοῦν καὶ ἐκ νοῦ γεννᾶται, καὶ δοκεῖ μὲν ἕτερος εἶναι παρὰ τὸν ἐν καρδίᾳ στρεφόμενον, καθὸ ἔξω στόματος γίγνεται πεμπόμενος ὥσπερ ἐκ βάθους εἰς φῶς.

[01109] Ἔστι δὲ πάλιν ἐν αὐτῷ, καὶ ὅμοιος αὐτῷ κατὰ πάντα.

[01110] Ἔστι γὰρ ἰδεῖν ἐν αὐτῷ λόγῳ τὸν ἐν καρδίᾳ κληθέντα λογισμὸν, καὶ πάλιν ἐν τῷ νῷ τὸν λόγον ἔτι σιωπώμενον.

[01111] Οὕτω καὶ ὁ Υἱὸς τοῦ Θεοῦ, ἀμερίστως ἐκ Πατρὸς προελθὼν, χαρακτήρ ἐστι καὶ ὁμοίωμα τῆς ἰδιότητος αὐτοῦ, Λόγος ὢν ἐνυπόστατος καὶ ζῶν ἐκ ζῶντος Πατρός.

[01112] ΑΛΛΟ.

[01113] Οὕτως ἐγέννησεν ἐξ ἑαυτοῦ τὸν Υἱὸν ὁ Πατὴρ ἀμερίστως, ὡς ἂν εἰ σοφὸς ἀποτέκοι νόημα σοφὸν, μηχανικὴν τυχὸν, ἢ γεωμετρίαν, ἢ ἕτερόν τι τῶν τοιούτων.

[01114] Δοκεῖ μὲν γάρ πως σοφίας εἶναι καρπὸς τὰ τοιαῦτα, καὶ οὕτως ἔχει τὴν φύσιν·

[01115] ἀλλ' οὐ μεμέρισται τῆς σοφίας ἡ ἐξ αὐτῆς ἐπινοηθεῖσα τέχνη·

[01116] ἀλλ' ἔστιν ἐξ αὐτῆς καὶ ἐν αὐτῇ τὴν τεκοῦσαν ἐξεικονίζουσα, καὶ ἀμερίστως ἕτερόν τι παρ' αὐτὴν εἶναι δοκοῦσα.

[01117] Οὕτως ἡ Υἱοῦ γέννησις, ἀμερίστως οὖσα ἐκ Πατρὸς, ἐν ἰδίᾳ ὑποστάσει σώζεται, τὴν τοῦ παραδείγματος ὑπεραίρουσα δύναμιν.

[01118] ΑΛΛΟ.

[01119] Οἱ τὴν ἐν τοῖς θείοις δόγμασι ζητοῦντες ἀκρίβειαν, οὐ ταῖς ἀνθρωπίναις ἐνατενίζουσιν ἀκολουθίαις.

[01120] Οὐδὲ ἐπειδὴ γεγέννηκε τὸν Υἱὸν ὁ Πατὴρ, ἠλαττῶσθαι [75.81] φήσουσιν αὐτὸν, ὡς εἰς δυάδα μεμερισμένον (οὗτος γὰρ τοῖς χριστομάχοις ὁ λόγος), οὔτε μὴν ἀπόῤῥοιάν τινα γίγνεσθαι περὶ τὴν οὐσίαν αὐτοῦ νομιοῦσι.

[01121] Ταῦτα γὰρ ἐφ' ἡμῶν μὲν ἀκόλουθον ἐννοεῖν·

[01122] ἐπὶ δὲ Θεοῦ λίαν ἀσεβές.

[01123] Φευκτέον τοιγαροῦν τὴν ἐν τούτοις ἀτοπίαν, καὶ νοητέον οὕτω γεγεννῆσθαι τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς, ὡς σοφίαν ἐκ νοῦ, ἢ καὶ τοῦ γεννήσαντος ἔξω πως γενέσθαι δοκοῦσα κατὰ τὴν ἔκφανσιν αὐτῆς, πάλιν ἔστιν ἐν αὐτῷ, οὐ μεμερισμένως προελθοῦσα.

[01124] Οὔτε μὴν ἀπόῤῥοιάν τινα γενέσθαι παρασκευάσασα περὶ τὸν νοῦν τὸν ἀπογεννήσαντα αὐτὴν, ἀλλ' ἐν ὁλοκλήρῳ καταστάσει τηρήσασα, καὶ ὅλον ἐν ἑαυτῇ ζωγραφοῦσα, καὶ ὁρωμένη πάλιν ἐν αὐτῷ.

[01125] ΑΛΛΟ.

[01126] Τοιοῦτον ἔσται τὸ γεννητικὸν τοῦ Θεοῦ, ὁποῖον ἄν τις ὑπολάβοι καὶ τὸ δημιουργικόν.

[01127] Ὅνπερ γὰρ τρόπον πολλὰ καὶ διάφορα δημιουργῶν, οὐκ εἰς ἕκαστα τῶν γινομένων μερίζεται κατὰ τὴν οὐσίαν, καίτοι διαφόρως ἐνεργῶν ἐφ' ἑκάστῳ, ἀλλὰ διὰ μιᾶς καὶ ἀῤῥήτου δυνάμεως τὰ πάντα δημιουργεῖ, οὕτω καὶ γεννᾷ, οὐ μεριζόμενος, ὡς ἐκεῖνοί φασι.

[01128] Καὶ πάλιν·

[01129] Ὥσπερ τὸ Πνεῦμα τὸ ἅγιον οὐ μερισμὸν ὑπομένει περὶ τὴν οὐσίαν, διαφόρους ἐκπέμπον τοὺς ἐν τοῖς χαρίσμασι τρόπους καὶ πρὸς τὸ ἑκάστου μέτρον τοῖς ἀξίοις χορηγοῦν, ἀλλ' ἔστιν ἓν καὶ τὸ αὐτὸ ποικίλως καὶ ἀπαθῶς ἐν πᾶσιν ἐνεργοῦν, οὕτω καὶ τὴν γεννητικὴν οὐσίαν τοῦ Θεοῦ οὐκ ἄν τις τῶν εὖ φρονούντων ἀδικεῖσθαι φήσειεν ἢ μερισμὸν, ἢ ἀπόῤῥοιάν τινα παθεῖν, ἕνα καὶ μόνον ἐξ ἑαυτῆς ἐκλάμψασαν Υἱόν.

[01130] ΑΛΛΟ.

[01131] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[01132] Εἰ γεγέννηκε, φησὶν, ἐξ ἑαυτοῦ τὸν Υἱὸν ὁ Πατὴρ, καὶ ἔστιν ἕτερος παρ' αὐτὸν ἐν ἰδίᾳ τε ὢν ὑποστάσει, καὶ Υἱοῦ Πατὴρ νοούμενος, μεμέρισται δηλαδὴ καὶ πάντα τὰ τοῦ Πατρὸς, καὶ οὐκ ἐν αὐτῷ μείναντα μόνῳ, ἀλλὰ καὶ εἰς τὸν Υἱὸν, διαβεβηκότα φαίνεται.

[01133] Οὐκοῦν ἢ οὐκέτι τελείαν ἔχει τὴν δόξαν ὁ Πατὴρ, μεμερισμένης καὶ αὐτῆς ἐν τῷ Υἱῷ, ἢ εἰ τελείαν ἔχει τὴν δόξαν, ἀποστερεῖ τὸν Υἱὸν, τὸ δοθὲν ὥσπερ εἰς ἑαυτὸν αὖθις ἐπανακλίνων·

[01134] καὶ ἡ πρότερον ἐν μονάδι θεότης τελείαν ἔχουσα δόξαν, νῦν ἐν δυάδι γενομένη, τὸ τέλειον οὐκ ἔχει.

[01135] Μόλις δὲ ἐξ ἑαυτῆς ἐρανίζεται τοῦτο, κιχρῶντος τρόπον τινὰ τοῦ Πατρὸς τῷ Υἱῷ τὴν ἑαυτοῦ, καὶ πάλιν ἀντικιχρωμένου παρ' αὐτοῦ τὴν δοθεῖσαν αὐτῷ.

[01136] Πρὸς τοῦτο λύσις.

[01137] Πάλιν τὰ σωμάτων ἴδια τῇ ἀσωμάτῳ φύσει περιτιθέντες οὐκ αἰσχύνονται, μερισμοὺς καὶ ἀποτομὰς, διαστάσεις τε καὶ χωρισμοὺς ἐπὶ τῆς θείας εἰσφέροντες οὐσίας ἀμαθῶς·

[01138] οὐκ εἰδότες ὅτι μερίζεσθαι λέγοντες σχήματι σωματικῷ, εἰς τὴν τοῦ Πατρὸς οὐσίαν δυσσεβοῦσι μεγάλως, ἠλλοιῶσθαι καὶ παρατετράφθαι λέγοντες αὐτὸν, καὶ ἐκ τελείου καταβεβηκέναι πρὸς τὸ ἀτελές.

[01139] Οἱ γὰρ ὅλως ἐκβεβηκέναι τοῦ Πατρὸς τὴν οὐσίαν οἰόμενοι τὸν Υἱὸν διαστατῶς τε [75.84] καὶ κεχωρισμένως, καὶ διὰ τοῦτο φάσκοντες μεμερίσθαι πάντα τὰ αὐτοῦ, καὶ εἰς ἥμισυ δόξης αὐτὸν ἐλθεῖν διὰ τὸ βεβηκέναι τὸ λεῖπον εἰς τὸν Υἱόν, ἀγνοοῦσιν οἵῳ περιπίπτουσιν ἀτοπήματι.

[01140] Ἆρα γὰρ ἐπειδήπερ, ὡς αὐτοί φασιν, ἐν μονάδι πρότερον ὢν ὁ Πατὴρ, καὶ τὴν δημιουργικὴν δύναμιν ἔχων ἐν ἑαυτῷ, προεβάλετο τὸν Υἱὸν, καὶ δι' αὐτοῦ πάντα δημιουργεῖ, ἔξω τῆς οὐσίας τῆς ἑαυτοῦ τὴν ἐπὶ τῷ δύνασθαι δημιουργεῖν ἔπεμψε δύναμιν, καὶ ὃ μὴ πρότερον ἦν, τοῦτο γέγονεν ὕστερον, ἔρημός τε νῦν ἐστιν ἰσχύος δημιουργικῆς·

[01141] ἀλλὰ τοῦτο φρονεῖν ἢ λέγειν ἄμετρον ἔχει τὴν δυσσέβειαν·

[01142] Ὁ Πατὴρ γὰρ ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι, φησὶν ὁ Χριστός.

[01143] Ὥσπερ οὖν οὐ μεμέρισται τοῦ Πατρὸς τὸ δημιουργικὸν, οὐδὲ ἀτελής ἐστι νῦν ἐν τῇ οὐσίᾳ αὐτοῦ, ἔχοντος τελείως τοῦτο καὶ τοῦ Υἱοῦ, οὕτω καὶ τελείαν ἔχει τὴν δόξαν, ἔχοντος πάλιν τοῦ Υἱοῦ καὶ ἐν δόξῃ τὸ τέλειον.

[01144] Ὅμοιος γὰρ ὢν κατὰ πάντα τῷ γεννήσαντι, διὰ τοῦτο τελείαν ἔχει τὴν δόξαν, ἐπειδήπερ ἐκ τελείαν ἔχοντος δόξαν ἐγεννήθη Πατρός.

[01145] ΛΟΓΟΣ Ζʹ.

[01146] Πρὸς τοὺς προτείνοντας τό·

[01147] Ἀβουλήτως ἢ κατὰ βούλησιν ἐγέννησε τὸν Υἱὸν ὁ Πατήρ;

[01148] Ἐρώτησις ὡς ἐκ τῶν αἱρετικῶν.

[01149] Ἀβουλήτως ἄρα, φασὶ, καὶ ἀσκέπτως ἐγέννησεν ἤτοι πεποίηκε τὸν Υἱὸν ὁ Πατὴρ, ἢ κατὰ βούλησιν οἰκείαν;

[01150] Εἰ μὲν οὖν ἀβουλήτως ἐγέννησεν αὐτὸν, πέπονθέ τι τῶν παρὰ γνώμην·

[01151] εἰ δὲ κατὰ βούλησιν, προϋπάρχειν δὲ τῶν γινομένων ἀνάγκη τὴν περὶ αὐτῶν σκέψιν, προῆν ἄρα τοῦ Υἱοῦ ὁ Πατὴρ, μεσολαβούσης τὴν γέννησιν τῆς περὶ αὐτοῦ βουλήσεως.

[01152] Ἀπολογία πρὸς τοῦτο.

[01153] Πόθεν ὑμεῖς, ὦ οὗτοι, κατὰ βούλησιν ἢ ἀβουλήτως γεγεννῆσθαι λέγειν τὸν Υἱὸν, ἢ καὶ ὅλως τοιαύτας τοῖς ἐντυγχάνουσι τὰς πεύσεις προσάγειν, ἀπὸ ποίας τοῦτο μεμαθήκατε Γραφῆς;

[01154] Τίς δὲ τῶν ἁγίων ἢ κατὰ βούλησιν ἢ ἀβουλήτως αὐτὸν ἔφησεν ἐκ τοῦ Πατρὸς προελθεῖν;

[01155] Παρὰ τίνι δὲ ὠνόμασται τὰ τοιαῦτα ῥήματα;

[01156] Ὅτι μὲν γὰρ ἦν καὶ ἔστιν ὁ τοῦ Θεοῦ Λόγος, ἔγνωμεν ἀπὸ τῆς θείας Γραφῆς.

[01157] Τὸ δὲ, ἀβουλήτως ἢ μὴ, παρὰ μόνων ὑμῶν ἠκούσαμεν.

[01158] Ἀποκαλύπτει μὲν γὰρ τὸν Υἱὸν ὁ Πατὴρ ἐξ οὐρανοῦ, καί φησιν·

[01159] Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός·

[01160] καὶ διὰ τοῦ Δαβὶδ λέγει·

[01161] Ἐξηρεύξατο ἡ καρδία μου Λόγον ἀγαθόν·

[01162] καὶ ὁ σοφώτατος Ἰωάννης·

[01163] Ἐν ἀρχῇἦν, φησὶν, ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος·

[01164] ὁ Ψαλμῳδὸς ὡς πρὸς τὸν Πατέρα πάλιν φησί·

[01165] Παρὰ σοὶ πηγὴ ζωῆς, καὶ ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

[01166] Ὁ Παῦλος ἀπαύγασμα, καὶ μορφὴν, καὶ εἰκόνα τοῦ Θεοῦ ἀοράτου καλεῖ.

[01167] Καὶ τούτων οὐδεὶς εὑρίσκεται λέγων ἀβουλήτως ἢ κατὰ βούλησιν γεγεννῆσθαι τὸν Υἱόν.

[01168] Ἀλλὰ τὸ, ἦν, εἰπόντες, καὶ τὸ, ἔστιν, οὐδεμίαν ἀρχὴν τὴν ἐν χρόνῳ δεδώκασι τῷ τῶν χρόνων ποιητῇ.

[01169] Πόθεν οὖν ὑμεῖς τὰ [75.85] τοιαῦτά φατε;

[01170] Ἀπὸ καρδίας τῆς ἑαυτῶν λαλοῦντες, καθά φησιν ὁ προφήτης, καὶ οὐκ ἀπὸ στόματος Κυρίου.

[01171] ΑΛΛΟ.

[01172] Εἰ βουλήσει γεγεννῆσθαί φατε τὸν Υἱὸν, καὶ βιάζεσθε τὴν περὶ αὐτοῦ θέλησιν προϋπάρχειν τῆς γεννήσεως αὐτοῦ, τί μὴ ταῦτά φησιν ἡ Γραφὴ περὶ αὐτοῦ, ἃ δὴ καὶ περὶ τῶν ἄλλων ποιημάτων λέγουσα φαίνεται;

[01173] Ἐπὶ μὲν γὰρ τῶν γεγονότων παρὰ Θεοῦ, προηγεῖται θέλησις, ὡς ἐν τῷ, Ποιήσωμεν ἄνθρωπον, Καὶ ἐν τῷ, Πάντα ὅσα ἠθέλησεν, ἐποίησεν.

[01174] Ἐπὶ δὲ τοῦ Θεοῦ Λόγου οὐδαμοῦ θέλησις ἤτοι βούλησις προηγησαμένη φαίνεται.

[01175] Ἀλλ' ὅτι μόνον ἦν καὶ ἔστιν ἀκούομεν.

[01176] Καὶ, ἵν' οὕτως εἴπω, τόπος αὐτῷ φυσικὸς ὁ Πατήρ.

[01177] Εἰ τοίνυν ἐπὶ μὲν τῶν κτισμάτων ἁπάντων ἔφησεν ἡγεῖσθαι θέλησιν ἡ Γραφὴ, ἐπὶ δὲ τοῦ Υἱοῦ οὐδὲν τοιοῦτον εὑρήσομεν παρ' αὐτῆς, οὐκ ἄρα εἷς ἐστι τῶν πάντων, οὐδὲ θελήσει γέγονε, καθάπερ τὰ πάντα, ἐκ Πατρὸς προελθὼν καὶ τῆς τοῦ γεννήσαντος οὐσίας, ὑπάρχων τε ἀΐδιος.

[01178] ΑΛΛΟ.

[01179] Λέγει που Παῦλος περὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, ὅτι τε Θεοῦ δύναμις εἴη καὶ Θεοῦ σοφία.

[01180] Εἰ τοίνυν σοφία καὶ δύναμίς ἐστι τοῦ Πατρὸς ὁ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ ὑπάρχων Λόγος, αὐτός ἐστιν ἐν ᾧ βουλεύεται, καὶ δι' οὗ τὰ πάντα ἐργάζεται.

[01181] Πῶς οὖν βουλήσει γέγονεν ὁ ἐν ᾧπερ ἡ βούλησίς ἐστι τοῦ Πατρός;

[01182] Ἢ γὰρ ἑτέραν ἡμᾶς σοφίαν ἀναπλάττειν ἀνάγκη, ἐν ᾗ βουλευσάμενος πεποίηκε τὸν Υἱὸν, καθὼς ὑμεῖς φατε, ἢ εἰ ἑτέρα οὐκ ἔστιν, ἀλλ' ἔστι μόνος αὐτὸς ἡ σοφία τοῦ Πατρὸς, αὐτὸς ἄρα ἐστὶ καὶ ἡ βούλησις.

[01183] Ἐν γὰρ σοφίᾳ πάντως τὸ βούλεσθαι τοῦ Θεοῦ.

[01184] Καὶ μάταιος ὑμῖν ὁ λόγος, καὶ κενὸν ἐδείχθη τὸ ἐπιχείρημα.

[01185] ΑΛΛΟ, εἰς τὸ αὐτό.

[01186] Οὐκ ἐν τοῖς γενομένοις ἡ τοῦ Θεοῦ βούλησις οὐσιωμένη φαίνεται, ἀλλ' ἕτερόν τί ἐστι παρὰ τὰ δι' αὐτῆς ποιούμενα.

[01187] Οἷον, θελήσει φαμὲν γενέσθαι τὸν οὐρανὸν, οὐκ αὐτὸν εἶναι τὴν θέλησιν.

[01188] Εἰ τοίνυν βουλεύεται μὲν ἐν σοφίᾳ Θεὸς, καὶ ὅτε τὸν Υἱὸν, ὡς ὑμεῖς φατε, ἀπογεννᾷν ἤθελεν, ἔστι δὲ ἡ σοφία τοῦ Πατρὸς ὁ Υἱὸς, ἑτέραν τῷ Πατρὶ προσεῖναι σοφίαν ἀνάγκη, ἐν ᾗ βουλευσάμενος ἀπέτεκε τὸν Υἱόν.

[01189] Εἰ δὲ τοῦτο λέγειν ἀσεβὲς (εἷς γὰρ Υἱὸς τοῦ Θεοῦ, καὶ οὐ δύο, σοφία τοῦ Πατρὸς ὑπάρχων ὁ τοῦ Θεοῦ Λόγος), αὐτός ἐστιν ὁ δι' οὗ πάντων ἡ βούλησις γίνεται.

[01190] ΑΛΛΟ.

[01191] Τῶν ἐν χρόνῳ γεγονότων, προηγεῖται πάντως τὸ βουλεύεσθαί τι περὶ αὐτῶν.

[01192] Εἰ τοίνυν βουλήσει γεγένηται, καθ' ὑμᾶς, ὁ Υἱὸς, προηγουμένην ἔχει καὶ αὐτὸς τὴν περὶ αὐτοῦ βούλησιν, ὥσπερ καὶ τὰ ποιήματα.

[01193] Καὶ οὐκ ἦν ποτε.

[01194] Καὶ ψεύδεται λέγων Ἰωάννης περὶ αὐτοῦ·

[01195] Ἐν ἀρχῇ ἦν ὁ Λόγος.

[01196] Εἰ γὰρ οὐκ ἦν, καθ' ὑμᾶς, πῶς ὁ εὐαγγελιστὴς ἀληθεύσει τὸ, Ἦν, αὐτῷ περιτιθείς;

[01197] Ἀλλ' οὐχ ὑμῖν, ἐκείνῳ [75.88] δὲ, οἶμαι, πιστεύειν ἀναγκαῖον.

[01198] Ἦν ἄρα, κατὰ τὸν ἐκείνου λόγον, ὁ Υἱὸς, καὶ τὸ, οὐκ ἦν, ἐπ' αὐτῷ μάταιόν τε καὶ διεψευσμένον.

[01199] ΑΛΛΟ.

[01200] Εἰ τῶν ἐν βουλήσει γενομένων προηγεῖται χρόνος, καθ' ὃν ἡ περὶ αὐτῶν σκέψις ἐγίνετο, καὶ εἰ μικρόν τινα καὶ ἀκαριαῖον δοίημεν αὐτὸν, πῶς ἔσται χρόνων ποιητὴς ὁ Υἱὸς, εἰ βούλησις προηγεῖται τῆς γεννήσεως αὐτοῦ;

[01201] Ἀλλ' ἔστι χρόνων ποιητής.

[01202] Ἦν ἄρα, καὶ οὐδέν ἐστι πρὸ τῆς γεννήσεως αὐτοῦ.

[01203] ΑΛΛΟ.

[01204] Εἰ σοφία τοῦ Πατρός ἐστιν ὁ Υἱὸς, ὥσπερ οὖν καὶ ἔστι, ποῖός ἐστι χρόνος ὅτε οὐκ ἦν ἐν αὐτῷ σοφία;

[01205] εἰ δέ ἐστιν ἀΐδιος ἐν Πατρὶ (ἀεὶ γὰρ σοφὸς ὁ Πατὴρ), πῶς ἡγήσεταί τι τοῦ ἀεὶ ὄντος;

[01206] Πῶς δὲ ἡ βούλησις χωρήσει μεταξὺ, μὴ ὄντα ποτὲ τὸν Υἱὸν εἰσφέρουσα, τὸν τῷ γεννήσαντι συναΐδιον ὡς σοφίαν αὐτοῦ;

[01207] ΑΛΛΟ.

[01208] Εἰ προηγεῖται βούλησις τοῦ Υἱοῦ, ἐν χρόνῳ δὲ ἀνάγκη τὴν περὶ αὐτοῦ γενέσθαι σκέψιν, καὶ εἰ μικρός τις εἴη καὶ λίαν βραχὺς, πῶς ἔσται πάντων ποιήτης;

[01209] Ἢ πῶς πιστεύομεν τῇ Γραφῇ, πάντα δι' αὐτοῦ γενέσθαι λεγούσῃ;

[01210] Ὅπου πρὸ αὐτοῦ φαίνεται χρόνος, καθ' ὃν ἡ περὶ αὐτοῦ γέγονε βούλησις, χρόνων οὐκ ὄντων πρὸ αὐτοῦ;

[01211] ΑΛΛΟ.

[01212] Ὡς ἐξ ἀντιθέσεως τῶν αἱρετικῶν.

[01213] Εἰ μὴ βουλήσει, φησὶ, γέγονεν ὁ Υἱὸς τοῦ Θεοῦ, ἐξ ἀνάγκης ἄρα καὶ μὴ θέλων ἔσχεν Υἱὸν ὁ Πατήρ.

[01214] Καὶ τίς ὁ μείζων αὐτοῦ καὶ τὴν ἀνάγκην ἐπιθεὶς αὐτῷ;

[01215] Τὰ γὰρ παρὰ γνώμην ἐπισυμβαίνοντα, ἐξ ἀνάγκης γίνεται.

[01216] Πρὸς ταῦτα λύσις.

[01217] Ἀντερωτητέον τοὺς χριστομάχους, καὶ δι' ὧν ἡμῖν προτείνουσιν ἀμαθῶς, διὰ τούτων αὐτοῖς ὑπαντήσωμεν, τὴν ἴσην ἀντεπάγοντες πρότασιν.

[01218] Εἴπατε ἡμῖν·

[01219] Ἀγαθὸς καὶ οἰκτίρμων, ἐλεήμων τε καὶ ἅγιος ἐκ βουλήσεώς ἐστιν ὁ Θεὸς, ἢ παρὰ βούλησιν;

[01220] Εἰ μὲν οὖν ἐκ βουλήσεως, ἡ δὲ βούλησις προτρέχει πάντως ἐκείνων περὶ ὧν καὶ γίνεται, ἦν ἄρα χρόνος ὅτε οὐκ ἦν ταῦτα Θεὸς, ἔτι τὴν περὶ αὐτῶν σκέψιν ποιούμενος.

[01221] Εἰ δὲ ἀβουλήτως ἀγαθός ἐστι καὶ ἐλεήμων παρὰ γνώμην, ἄρα τοῦτό ἐστι καὶ ἐξ ἀνάγκης.

[01222] Καὶ τίς ἐστιν ὁ τὴν ἀνάγκην ἐπιθεὶς αὐτῷ, καθ' ὑμῶν;

[01223] Δέδεικται τοίνυν μωρίας ἀνάμεστος ἡ παρ' ὑμᾶς πρότασις, καὶ ἀγαθὸν οὐδὲν εἰσφέρουσα νόημα.

[01224] ΑΛΛΟ, διηγηματικῶς.

[01225] Ἐπὶ τῶν κατὰ φύσιν οὐ προηγεῖται βούλησις, χωρεῖ δὲ μόνον ἐπὶ τῶν ἔξωθεν τῆς οὐσίας ὄντων τοῦ βουλευομένου.

[01226] Οἷον φέρε εἰπεῖν·

[01227] Ἀμπελῶνά τις φυτεύει, ἢ ναυπηγεῖται σκάφος, βουλευσάμενος πρότερον περὶ αὐτῶν·

[01228] τίκτεται δὲ κατὰ φύσιν τὸ ἐξ ἀνθρώπου παιδίον, οὐδεμιᾶς ἡγησαμένης βουλήσεως.

[01229] [75.89] Εἴ τις οὖν λέγοι τυχὸν ἐπί τινος τῶν ἀνθρώπων ὅτι παρὰ βούλησιν ἔσχεν υἱὸν, μὴ εὐθὺς ἐπὶ τὸ ἐξ ἀνάγκης τρεχέτω·

[01230] οὐ γὰρ ἔκ τινος ἀνάγκης ἔσχεν·

[01231] ἀλλ' ὁράτω μᾶλλον ὅτι τῶν ἐκ φύσεως οὐ προηγεῖται βούλησις.

[01232] Ἑκὼν γάρ τις γεννᾷ, οὐδεμιᾶς περὶ τούτου προηγουμένης βουλήσεως.

[01233] Θελητῶς οὖν ἄρα καὶ ἀβουλήτως ὑπάρχει καὶ ὁ Λόγος ἐν τῷ Πατρὶ, ὥσπερ ἐστὶν ἐν ἀνθρώπῳ τὸ ἐξ ἑαυτοῦ παιδίον.

[01234] ΑΛΛΟ.

[01235] Εἰ κατὰ φύσιν ἀγαθός ἐστιν ὁ Θεὸς καὶ Πατὴρ, οὐκ ἐκ βουλήσεως, ἵνα μὴ φαίνηται χρόνος, ὅτε οὐκ ἦν τοῦτο, καθ' ὃν ἦν βούλησις, οὐ βουλήσει γεννᾷ τὸν Υἱὸν, ἀλλὰ φύσει.

[01236] Πρέπει γὰρ μᾶλλον τοῦτο αὐτῷ.

[01237] ΑΛΛΟ.

[01238] Ἐρωτητέον τοὺς χριστομάχους, εἰ αὐτὸς ὁ τοῦ Λόγου Πατὴρ ἐκ βουλήσεως ὑπάρχει, ἢ παρὰ βούλησιν ἑαυτοῦ.

[01239] Εἰ μὲν οὖν ἐκ βουλήσεως, προηγεῖσθαι δὲ ἀνάγκη τῆς ὑπάρξεως τὴν βούλησιν, σιωπῶ τὸ δύσφημον·

[01240] εἰ δὲ παρὰ βούλησιν, ἐξ ἀνάγκης ἄρα τοῦτό ἐστιν, ὅπερ ὑπάρχει.

[01241] Καὶ τίς ὁ τὴν ἀνάγκην ἐπιθεὶς αὐτῷ;

[01242] Εἰ δὲ ὑπάρχει μὲν ὁ Πατὴρ, οὐκ ἐκ βουλήσεως δὲ, οὔτε μὴν παρὰ βούλησιν, ὁ αὐτὸς κρατείτω λόγος ἀπεριεργάστως καὶ ἐφ' Υἱοῦ.

[01243] Ἐξετάζειν γὰρ τὰ τοιαῦτα ῥιψοκινδύνως οὐκ ἀκόλουθον.

[01244] Χρὴ δὲ μᾶλλον ἀκούοντας περὶ Θεοῦ εἰδέναι, ὅτι αὐτός ἐστιν ὁ ὢν, οὐκ ἀρχήν τινα τοῦ εἶναι λαβὼν, ἀλλ' αὐτὸς τοῖς ἄλλοις ἀρχὴ τοῦ εἶναι γενόμενος.

[01245] ΑΛΛΟ, διηγηματικῶς.

[01246] Ἄτοπον σφόδρα καὶ ἐπικίνδυνον ἐφ' Υἱοῦ λέγειν τὸ, Βουλήσει ἄρα ἢ παρὰ βούλησιν ἐγεννήθη.

[01247] Ὁ γὰρ οὐκ ἐκ βουλήσεως ὑπάρχων Θεὸς, οὐκ ἐκ βουλήσεως ἔχει τὸν ἐκ τῆς οὐσίας αὐτοῦ προελθόντα Λόγον, ἀλλὰ φυσικῶς.

[01248] Εἴη γὰρ καὶ οὕτως εἰκὼν αὐτοῦ καὶ χαρακτὴρ οὐ διεψευσμένος.

[01249] ΑΛΛΟ.

[01250] Εἰ βούλησις καὶ σκέψις προηγεῖται τῆς ὑπάρξεως τοῦ Υἱοῦ, ὁ δὲ Υἱὸς σοφία καὶ Λόγος ἐστὶ τοῦ Πατρὸς, πῶς ἐβούλετο ὁ Θεὸς ἄλογός τε καὶ ἄσοφος ὢν, καθ' ὑμᾶς;

[01251] Οὔπω γὰρ ἦν ὁ Υἱὸς, ἔτι τῆς περὶ αὐτοῦ γινομένης σκέψεως.

[01252] Πῶς δὲ οὐκ ἄτοπον εἰσφέρειν περὶ ἑαυτοῦ βουλευόμενον τὸν Πατέρα, πότερόν ποτε χρὴ σοφίαν ἔχειν καὶ Λόγον, ἢ μή;

[01253] Παραιτεῖσθαι τοιγαροῦν ἀναγκαῖον τὰς ἀπαιδεύτους τῶν χριστομάχων προτάσεις, οὐ σφόδρα διατείνεσθαι πρὸς τὸ ἀντιλέγειν αὐταῖς.

[01254] ΑΛΛΟ, διηγηματικῶς.

[01255] Διὰ πολλῶν ἤδη δέδεικται λόγων ὅτι τῶν ποιημάτων ἡγήσατο βούλησις.

[01256] Ἐξ ἑνὸς δὲ τὸ πᾶν γνωρισθήσεται.

[01257] Ἐπὶ γὰρ τῇ τοῦ ἀνθρώπου κατασκευῇ, τὸ, Ποιήσωμεν ἄνθρωπον, καὶ τὸ, Γενηθήτω στερέωμα.

[01258] καὶ τὸ, Γενηθήτω τόδε καὶ τόδε, βουλῆς [75.92] ἂν εἴη σημαντικὸν τῆς ἐφ' ἑκάστῳ τῶν πεποιημένων γενομένης παρὰ Θεοῦ, εἰ καὶ παραχρῆμα τὸ ἔργον ἀκολουθοῦν φαίνεται.

[01259] Εἰ τοίνυν τῶν μὲν κτισμάτων ἡγεῖται βούλησις, γέγονε δὲ πάντα δι' Υἱοῦ, ἐκτός ἐστι τῶν πάντων ὁ δι' οὗ τὰ πάντα γέγονε.

[01260] Καὶ εἰ ἕτερός ἐστιν ἐκείνων ὧν ἡγήσατο βούλησις, οὐκ ἂν εἴη κατὰ βούλησιν γεγονὼς ὥσπερ αὐτά.

[01261] Αὐτὸς γάρ ἐστιν ἡ ζῶσα βουλὴ τοῦ Πατρὸς, ἐν ᾗ τὰ πάντα ἐργάζεται.

[01262] Καλεῖ δὲ αὐτὸν καὶ βουλὴν τοῦ Πατρὸς ὁ Ψαλμῳδὸς, λέγων·

[01263] Ἐν τῇ βουλῇ σου ὡδήγησάς με.

[01264] ΑΛΛΟ.

[01265] Εἰ βουλὴ καὶ θέλημα τοῦ Πατρός ἐστιν ὁ Υἱὸς, ὥσπερ οὖν καὶ ἔστι, πῶς ἡγεῖται θέλησις τῆς ὑπάρξεως αὐτοῦ;

[01266] Αὐτὸς γὰρ ἑαυτὸν ἔσται πεποιηκώς.

[01267] Καὶ ὁ μήπω γεγονὼς, κατὰ τοὺς χριστομάχους, περὶ ἑαυτοῦ φανεῖται βουλευόμενος.

[01268] Εἰ δὲ τοῦτο λέγειν ἄτοπον, οὐκ ἄρα βουλήσει γέγονεν, ὥσπερ τὰ ποιήματα·

[01269] ἀλλ' ἦν ὡς βουλὴ τοῦ Πατρὸς ἐν αὐτῷ, αὐτὸ τῆς οὐσίας ὑπάρχων τοῦ γεννήσαντος τὸ ἴδιον.

[01270] ΑΛΛΟ.

[01271] Λέγει που Χριστός·

[01272] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ, ὥσπερ τινὰ τόπον ἑαυτὸν ἔχοντα μόνον σημαίνων τὸν Πατέρα, καὶ πάλιν ὡς τοῦ Πατρὸς ὄντος ἐν αὐτῷ μόνον.

[01273] Εἰ τοίνυν ἕτερόν τί ἐστιν ἐν τῷ Πατρὶ παρὰ τὸν Υἱὸν ἡ βούλησις αὐτοῦ, πῶς ἀληθεύσει τὰ τοιαῦτα λέγων;

[01274] Εὑρίσκεται γὰρ, κατὰ τὴν τῶν χριστομάχων μανίαν, πρὸ τῆς ὑπάρξεως τοῦ Υἱοῦ, βούλησις οὖσα ἐν Πατρὶ, καθ' ἣν γέγονεν, ὡς ἐκεῖνοί φασιν.

[01275] Εἰ δὲ ἀληθεύει, ἑαυτὸν ἐν Πατρὶ μὲν εἶναι φάσκων, καὶ πάλιν, ὡς μόνον ἐν αὐτῷ τὸν Πατέρα, ποῦ ἡ βούλησις κείσεται, οὐδενὸς ὄντος τόπου μεταξύ;

[01276] Εἰ δὲ τοῦτο, οὐκ ἄρα βουλήσει γέγονεν, ἀλλ' αὐτός ἐστιν ἡ τοῦ Πατρὸς βούλησις.

[01277] ΑΛΛΟ.

[01278] Εἰ καθάπερ τῶν ποιημάτων ἡγήσατο βούλησις, οὕτω καὶ τῆς ὑπάρξεως τοῦ Χριστοῦ, ὅτου δὴ χάριν τὰ τὴν αὐτὴν ἔχοντα τῆς γενέσεως ἀρχὴν καὶ διὰ τῆς αὐτῆς γεγονότα βουλῆς, τοσοῦτον ἀλλήλων τὴν φύσιν διέστηκεν, ὡς τὸν μὲν Κύριον οὕτως εἶναι καὶ Θεὸν, τὰ δὲ δοῦλά τε καὶ ποιήματα;

[01279] Ἀλλ' ἔστι δῆλον ὡς ὁ μὲν Υἱὸς τῇ τοῦ Πατρὸς θεότητι κατὰ φύσιν ἑνούμενος Κύριος εἴρηται καὶ ἔστιν·

[01280] ἡ δὲ κτίσις, δούλη, διὰ τὸ ἔξω κεῖσθαι τῆς οὐσίας τοῦ πεποιηκότος, καὶ τῆς πρὸς τὸν Πατέρα σχέσεως φυσικῆς.

[01281] Ἀνάγκη τοίνυν τὰ τοσαύτην ἔχοντα πρὸς ἄλληλα τὴν διαφορὰν, μὴ μίαν ἔχειν ἀρχήν.

[01282] Ἀλλὰ τὰ μὲν, ὡς ποιήματα, ἐκ βουλήσεως γέγονεν.

[01283] Ὁ δὲ Υἱὸς, ὡς αὐτὸς ὢν ἡ βούλησις, ἦν ἀϊδίως ἐν Πατρί.

[01284] ΑΛΛΟ, διηγηματικῶς.

[01285] Ἔδει τοὺς χριστομάχους ἀποτολμῶντας ἐρωτᾶν, εἰ βουλήσει τὸν Υἱὸν ἐγέννησεν ὁ Πατὴρ, καὶ τοῦτο λέγειν·

[01286] Εἰ ἐν φρονήσει τὸν Υἱὸν ἐγέννησεν ὁ Πατήρ.

[01287] Ταυτὸν γὰρ ὑπάρχειν φαίνεται βουλὴ καὶ φρόνησις.

[01288] Ἐπειδὴ πᾶν ὅπερ ἂν τις βουλεύηται, τοῦτο καὶ [75.93] φρονεῖ·

[01289] καὶ πάλιν ὥσπερ ἐξ ἀντιστρέφοντος, ὃ φρονεῖ, καὶ βουλεύεται.

[01290] Εὑρίσκεται γοῦν ὡς ἰσοδυναμοῦντα συνάπτων αὐτὰ καὶ ὁ Σωτὴρ ἐφ' ἑαυτοῦ, καὶ λέγων·

[01291] Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς.

[01292] Ὥσπερ γὰρ ἀσφάλεια καὶ ἰσχὺς ταυτόν ἐστιν, οὕτω καὶ βουλὴ καὶ φρόνησις.

[01293] Εἰ μὲν οὖν ἄφρονά ποτε πιστεύουσι γεγενῆσθαι τὸν Πατέρα, ἐρωτάτωσαν εἰ ἐν φρονήσει γεγέννηκε τὸν Υἱόν.

[01294] Εἰ δὲ φρίττουσι τοῦτο καὶ μόνον ἀκούοντες, πῶς οὐκ ἀσεβὲς τὸ ἐρωτᾶν καὶ λέγειν ἐφ' Υἱοῦ τό·

[01295] Βουλήσει γεγένηται, ἢ μή;

[01296] τοσαύτην τοῦ λόγου τὴν δυσφημίαν εἰσφέροντος.

[01297] ΑΛΛΟ.

[01298] Ὁ μακάριος Παῦλος τὴν ἀπαράλλακτον ὁμοιότητα δεικνύων, ἣν ὁ Υἱὸς ἔχει πρὸς τὸν ἑαυτοῦ Πατέρα, γράφει περὶ αὐτοῦ·

[01299] Ὅς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ.

[01300] Εἰ τοίνυν χαρακτήρ ἐστι καὶ εἰκὼν τοῦ γεννήσαντος ὁ Υἱὸς, ἐγεννήθη δὲ, καθ' ὑμᾶς, προηγησαμένης βουλήσεως, ἀνάγκη πᾶσα καὶ τὸν Πατέρα οὕτως εἶναι, ὥσπερ ἡ εἰκὼν αὐτοῦ καὶ τὸ ἀπαύγασμα·

[01301] ὡς καὶ αὐτὸ ἔχειν προηγουμένην αὐτοῦ τὴν βούλησιν.

[01302] Εἰ δὲ τοῦτο ἀσεβὲς (οὐ γὰρ ἐκ βουλήσεώς ἐστιν ἡ τοῦ Πατρὸς οὐσία καὶ ὑπόστασις), ἀνάγκη πᾶσα μηδὲ τὸν Υἱὸν ἐκ βουλήσεως εἶναι, φρονεῖν ἢ λέγειν.

[01303] ΑΛΛΟ.

[01304] Ὡς ἐξ ἀντιθέσεως τῶν αἱρετικῶν.

[01305] Καὶ πῶς, φησὶν, οὐκ ἀνάγκη συνομολογεῖν, ὅτιπερ ἀθέλητός ἐστι τῷ Πατρὶ ὁ Υἱὸς, ἤτοι ἀβούλητος, εἰ μὴ ἐκ βουλήσεως καὶ θελήσεως γέγονεν;

[01306] Πρὸς τοῦτο λύσις.

[01307] Δυσωπείτω τῶν χριστομάχων τὴν πάντολμον γλῶτταν ὁ Σωτὴρ περὶ ἑαυτοῦ λέγων·

[01308] Ὁ Πατὴρ φιλεῖ τὸν Υἱόν.

[01309] Ὥσπερ γὰρ ἤδη προείρηται, τὸ εἶναι ἀγαθός τε καὶ ἐλεήμων, ἔχει μὲν, οὐκ ἐκ βουλήσεως δὲ, οὔτε μὴν ἀβουλήτως ταῦτά ἐστι.

[01310] Θέλει γὰρ εἶναι τοῦτο ὅπερ ἐστὶν ἀεὶ καὶ ἔσται.

[01311] Οὕτω καὶ εἰ μὴ ἐκ βουλήσεως ἐγέννησε τὸν Υἱὸν, ἀλλ' οὐκ ἀβουλήτως αὐτὸν ἔχει.

[01312] Θέλει γὰρ τὸν Υἱὸν καὶ φιλεῖ, καθὼς γέγραπται.

[01313] Καὶ καθάπερ ὁ Πατὴρ τῆς ὑποστάσεως τῆς ἑαυτοῦ θελητής ἐστιν, οὐκ ἐκ βουλήσεώς τινος τοῦτο ὢν ὅπερ ἐστὶν, οὕτω καὶ ὁ Υἱὸς ἐκ τῆς τοῦ Πατρὸς οὐσίας προελθὼν, οὐκ ἀθέλητός ἐστιν αὐτῷ, εἰ καὶ βούλησις οὐδαμοῦ τῆς γεννήσεως προδραμοῦσα φαίνεται.

[01314] ΑΛΛΟ.

[01315] Εἰ ἀπαύγασμα καὶ χαρακτήρ ἐστι τοῦ Πατρὸς ὁ Υἱὸς, γέγονε δὲ θελήσει, καθ' ὑμᾶς, ἦν ἄρα χρόνος ὅτε οὐκ ἦν, καθ' ὃν ἡ περὶ αὐτοῦ θέλησις ἐκινεῖτο παρὰ τῷ Πατρί.

[01316] Οὐκοῦν ἦν ποτε ὅτε χωρὶς ἀπαυγάσματος ἦν ὁ Θεὸς καὶ δίχα χαρακτῆρος.

[01317] Καὶ, εἰ τὸ ἴδιον τῆς οὐσίας τοῦ Πατρός ἐστιν ὁ Υἱὸς, οὐκ ἦν δέ ποτε, καθ' ὑμᾶς, ἴσον ἐστὶ τῷ λέγειν·

[01318] οὐκ ἦν ποτε γεννητικὴ τοῦ Πατρὸς ἡ οὐσία·

[01319] ἀλλ' ὥσπερ ἔκ [75.96] τινος μεταβολῆς εἰς τοῦτο παρῆλθεν ἀποκυήσασα τὸν Υἱόν.

[01320] Εἰ δὲ τοῦτο ἀσεβὲς φρονεῖν τε καὶ λέγειν, μὴ προτεινέτωσάν τινες ἐφ' Υἱοῦ τὸ, Βουλήσει ἢ μή.

[01321] Ὥσπερ γὰρ ἀγαθὸς κατὰ φύσιν ἐστὶν ὁ Πατὴρ, οὕτω καὶ γεννητικὸς κατὰ φύσιν.

[01322] ΑΛΛΟ, διηγηματικῶς.

[01323] Εἰ πᾶσα βούλησις ἡ ἔν τισι γινομένη οὐ δίχα λόγου γίνεται (λόγος γάρ ἐστιν ἀφανῶς ἐν καρδίᾳ στρεφόμενος ἡ βούλησις), ἔστι δὲ ὁ Υἱὸς ὁ Λόγος τοῦ Πατρὸς, αὐτὸς ἄρα ἐστὶν ἡ βούλησις αὐτοῦ.

[01324] Εἶτα πῶς ἡ βούλησις ἐν βουλήσει γίνεται;

[01325] ἢ πῶς ὁ Λόγος ἐν Λόγῳ;

[01326] Πάντα τοίνυν ἐστὶν ὁ Υἱὸς τῷ Πατρὶ, καὶ βουλὴ καὶ Λόγος, καὶ σοφία·

[01327] καὶ οὐδέν ἐστιν ἐν Πατρὶ πρὸ αὐτοῦ.

[01328] ΑΛΛΟ ὅμοιον.

[01329] Ἔχει κατὰ φύσιν ὁ ἄνθρωπος τὸ δύνασθαι τέκνων αὐτὸν γενέσθαι πατέρα·

[01330] καὶ οὐχ ὥσπερ ἐκ βουλήσεως ἀγαθός ἐστιν ἢ πονηρὸς, οὕτω καὶ πατήρ.

[01331] Ἀλλὰ τὸ μὲν φύσει, τὸ δὲ βουλήσει ἐστί.

[01332] Καὶ τοῦ μὲν ἐσμὲν κύριοι·

[01333] τοῦ δὲ ἡ φύσις ἀπαράβατον ἔχει τὸν νόμον.

[01334] Ὥσπερ οὖν οὐκ ἐκ βουλήσεως ἔχομεν ἡμεῖς τὸ εἶναι πατέρες τῶν ἐξ ἡμῶν, ἀλλὰ φυσικῶς, οὕτω καὶ ὁ Θεὸς καὶ Πατὴρ οὐκ ἐκ βουλήσεως Πατήρ ἐστιν, ἀλλὰ φυσικῶς.

[01335] Καὶ ὥσπερ οἱ ἐξ ἡμῶν τικτόμενοι ὅμοιοι πάντως ἡμῖν κατ' οὐσίαν εἰσὶν, οὕτω καὶ ὁ Υἱὸς οὐκ ἔξωθεν τῷ Πατρὶ προσγενόμενος, ἀλλ' ὄντως ἐκ τῆς οὐσίας αὐτοῦ προελθὼν ὅμοιός ἐστι κατὰ πάντα τῷ γεγεννηκότι.

[01336] Καὶ ὥσπερ οὐκ ἐκ βουλήσεώς ἐστι Πατὴρ, οὕτω καὶ ὁ Υἱὸς οὐκ ἐκ βουλήσεώς ἐστιν, ἀλλὰ κατὰ φύσιν, ἀπαύγασμα καὶ χαρακτὴρ ὑπάρχων τοῦ γεννήσαντος αὐτόν.

[01337] ΑΛΛΟ.

[01338] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[01339] Ἐρωτητέον, φησὶ, τοὺς ὀρθὰ φρονεῖν οἰομένους, πότερόν ποτε βουλήσει γεγέννηκε τὸν Υἱὸν ὁ Πατὴρ, ἢ ἀβουλήτως.

[01340] Εἰ μὲν γὰρ ἐνυπῆρχε τῇ τοῦ Πατρὸς οὐσίᾳ, ἕτερος ὢν παρ' αὐτὸν ὁ Υἱὸς, οὐ προαιρέσει τέτοκεν.

[01341] Ἦν γὰρ ἀνάγκη τεκεῖν τὸν ἐν τῇ φύσει κείμενον.

[01342] Εἰ δὲ οὐκ ἦν ἐν Πατρὶ, ἐγεννήθη δὲ βουληθέντος τοῦ Πατρὸς, ἀνάγκη προϋπάρχειν αὐτοῦ τὴν βούλησιν.

[01343] Οὐκ ἦν οὖν ἄρα τῷ γεννήσαντι συναΐδιος.

[01344] Πρὸς ταῦτα λύσις.

[01345] Πρῶτον μὲν ἀποθαυμάζειν ἄξιον τοὺς ἀφυλάκτως εἰς πᾶσαν τρέχοντας δυσφημίαν, πολλήν τε ἀμαθίαν αὐτοῖς ἐγκαλεῖν.

[01346] Οὐ γὰρ αἰσχύνονται καὶ αὐτὸν ἀνάγκαις ὑποτιθέντες τὸν Θεὸν, καὶ καθάπερ ἐπὶ σωμάτων ἀνθρωπίνων ἐμπεριέχεσθαί τι λέγοντες τῇ τοῦ Πατρὸς οὐσίᾳ, ἢ ὥσπερ τι σκεῦος ἐν σκεύει κεῖσθαι τὸν Υἱὸν ἐν Πατρί.

[01347] Ἡμεῖς δὲ οἷς ὀρθὰ καὶ δίκαια φρονεῖν ἐσπούδασται, ἄνω μὲν πάσης ἀνάγκης εἶναί φαμεν τὴν οὐσίαν τοῦ Θεοῦ·

[01348] εἶναι δὲ πάλιν τὸν Υἱὸν ἐν Πατρὶ, οὐχ ὡς σῶμα ὑπὸ σώματος περιεχόμενον, ἀλλ' ὡς ἀχώριστον τῆς οὐσίας αὐτοῦ καὶ ἐξ αὐτῆς προελθόντα κατὰ τὸν τῆς φύσεως νόμον.

[01349] Εἰ δὲ οἴονται σοφόν τι προτείνειν, βουλήσει λέγοντες ἢ [75.97] ἀβουλήτως αὐτὸν γεγενῆσθαι, καὶ παρ' ἡμῶν ἀκουέτωσαν·

[01350] Βουλήσει ἄρα τὸ πῦρ τὴν ἐξ αὐτοῦ θερμότητα γεννᾷ ἢ ἀβουλήτως;

[01351] Ἀλλ' οὐδὲν ἕξουσι πρὸς τοῦτο εἰπεῖν.

[01352] Τὰ γὰρ ἐκ φύσεως προϊόντα, οὔτε βούλησιν, οὔτε ἀβουλησίαν ἐπιδέχεται.

[01353] Ἐπὶ δὲ τῶν ἔξωθεν καὶ ὧν ἐσμεν ἐν ἐξουσίᾳ, βούλησις καὶ ἀβουλησία κρατεῖ.

[01354] Ὥσπερ οὖν καὶ ἡμᾶς ἐργαζόμεθά τι βουληθέντες, τίκτομεν δὲ ἐξ ἑαυτῶν, οὐδένα τόπον ἐχούσης ἐν τούτῳ βουλήσεως ἢ ἀβουλησίας, οὕτω καὶ Θεὸς ἐργάζεται μὲν βουλήσει τὰ ἐκτὸς, ἐγέννησε δὲ ἀχρόνως τὸν Υἱὸν ἐξ ἑαυτοῦ, οὐδένα τόπον ἐχούσης ἐν τούτῳ βουλήσεως καὶ ἀβουλησίας, εἰ καὶ οὐκ ἀθέλητός ἐστιν.

[01355] Ὁ γὰρ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν, ὡς γέγραπται.

[01356] ΑΛΛΟ.

[01357] Ὡς ἐξ ἀντιθέσεως τῶν Εὐνομίου.

[01358] Εἰ μὴ βουλήσει, φησὶν, ἐγέννησε τὸν Υἱὸν ὁ Πατὴρ, ἔχει δὲ αὐτὸν ἐκ φύσεως, δηλονότι καὶ τὴν περὶ αὐτὸν γνῶσιν οὐκ ἔχων αὐτὸς, ἔχει πάλιν αὐτὴν ἀπὸ τῆς φύσεως.

[01359] Ἔμαθεν οὖν ὅτι καὶ Υἱὸς αὐτοῦ ἔσται, καὶ συνδημιουργήσει τὰ πάντα·

[01360] καὶ ἐπισυμβέβηκε τῷ Πατρὶ ἡ περὶ Υἱοῦ γνῶσις ἐκ τῆς οἰκείας διδασκομένη φύσεως.

[01361] Εἰ δὲ τοῦτο ἄτοπον, βουλήσει ἄρα, εἰδὼς ὅτι ἔσται, προέβαλεν αὐτὸν, καὶ προτρέχει πάντως τῆς γεννήσεως ἡ βούλησις.

[01362] Πρὸς τοῦτο λύσις.

[01363] Ὡς ἡμῶν ὁμολογούντων, ὅτι πρῶτον ἐδιδάχθη τίς ἔσται ὁ Υἱὸς, εἶθ' οὕτως γεγέννηκεν αὐτὸν ὁ Πατὴρ, κατασκευάσει τὴν πρότασιν ὁ περὶ ταῦτα δεινὸς, οὐκ εἰδὼς ὅτι, διαστήματος οὐδενὸς ὄντος μεταξὺ τοῦ μεσολαβοῦντος τὸ εἶναι τοῦ Πατρὸς καὶ τὴν γέννησιν τοῦ Υἱοῦ, ἡ περὶ αὐτοῦ πρόγνωσις οὐκ ἔχει τόπον.

[01364] Εἰ γὰρ προεβουλεύσατο, καὶ προεδιδάχθη, ἐν χρόνῳ δὲ πάντως ταῦτα ἐγίνετο, κάτω χρόνων ὁ Υἱός.

[01365] Εἰ δὲ αὐτός ἐστιν ὁ τῶν χρόνων ποιητὴς, τί μάτην τῆς θείας φύσεως καταφλυαρεῖ, διδασκομένην αὐτὴν εἰσφέρων ἀπὸ τῆς φύσεως, ὡς αὐτός φησι, τὰ ἐσόμενα, καὶ πλέον οὐδὲν ἀνθρώπῳ διδοὺς ἢ τῷ ὑπὲρ πάντας ὄντι Θεῷ;

[01366] Ἄνω τοίνυν κειμένης αἰώνων καὶ χρόνων τῆς γεννήσεως τοῦ Υἱοῦ, δύσφημόν τε καὶ ἀμαθὲς εἰκότως ἂν εἴη τὸ λέγειν προβουλεύεσθαί τι, ἢ

προδιδάσκεσθαι τὸν Πατέρα περὶ αὐτοῦ.

[01367] Τέλειος γὰρ καὶ ἐν τῷ πάντα εἰδέναι ὁ Πατὴρ, καὶ τόπον οὐδένα πρὸ Υἱοῦ ἡ περὶ αὐτοῦ βούλησις ἔχει.

[01368] ΑΛΛΟ.

[01369] Εἰ οἶδεν ἑαυτὸν ἀεὶ ὄντα Πατέρα ὁ Πατὴρ, ἔχει πάντως καὶ ἐν ἑαυτῷ τοῦ Υἱοῦ τὴν γνῶσιν.

[01370] Ἐν γὰρ τῷ εἰδέναι ὅπερ ἐστὶν αὐτὸς, καὶ τῆς υἱότητος τὴν γνῶσιν φορεῖ·

[01371] Πατὴρ γὰρ ὡς πρὸς Υἱὸν ἔστι τε καὶ ὀνομάζεται.

[01372] Καὶ πάλιν ἐκ τῶν ἐναντίων·

[01373] Οἶδεν ὁ Υἱὸς τὸν Πατέρα, εἰδὼς ὅπερ ἐστὶν αὐτός.

[01374] Ἀπὸ γὰρ τῆς υἱότητος ἡ πατρότης νοεῖται·

[01375] καὶ τὸ ἀντίστροφον, ἐκ τῆς πατρότητος ἡ υἱότης·

[01376] ἦν οὖν ἀεὶ Πατὴρ ὁ Θεὸς, ἦν ἄρα καὶ ὁ Υἱός.

[01377] Δύσφημον δὲ τὸ λέγειν μὴ εἰδέναι τὸν Πατέρα ἐξ ἑαυτοῦ τὸν Υἱὸν, διδάσκεσθαι δὲ ἀπὸ τῆς φύσεως, ἑκάστου δηλαδὴ ἀφ' ὧν ἐστιν αὐτὸς τὴν τοῦ ἑτέρου γνῶσιν ἔχοντος.

[01378] Ἄλλως τε ἕτερον οὐκ ἂν εἴη φύσις Θεοῦ παρ' αὐτόν·

[01379] ἁπλοῦς γὰρ καὶ ἀσύνθετος.

[01380] [75.100] ΑΛΛΟ.

[01381] Ὡς ἐξ ἀντιθέσεως τῶν Εὐνομίου.

[01382] Θελήσει, φησὶν, ἤτοι κρίσει τὸν Υἱὸν γεγέννηκεν ἄρα ὁ Πατὴρ, ἢ κατὰ φύσιν.

[01383] Εἰ μὲν οὖν κατὰ φύσιν μόνον, οὐκ ἔτι δὲ κατὰ θέλησιν ἢ κρίσιν, ἀθελήτως ἐστὶ καὶ ἀκρίτως γεννηθείς.

[01384] Εἰ δὲ τὸ συναμφότερον, σύνθετον ποιεῖτε τὸν Θεὸν, καὶ κρίσιν αὐτῷ καὶ φύσιν διδόντες.

[01385] Πῶς γὰρ ὁ ἐκ τούτων συγκείμενος ἁπλοῦς ἔσται;

[01386] Πρὸς τοῦτο λύσις.

[01387] Ἄνω μὲν κρίσεως καὶ βουλήσεως ἡ τοῦ Υἱοῦ κεῖται γέννησις.

[01388] Τὸ γὰρ βούλεσθαι καὶ κρίνειν ἐν χρόνῳ πάντως ἐστί·

[01389] χρόνων δὲ ποιητὴς ὁ Υἱός.

[01390] Πῶς οὖν ἔσται τὸ ποίημα πρὸ τοῦ ποιητοῦ;

[01391] Εἰ δὲ σύνθετον οἴεσθε γίνεσθαι Θεὸν διὰ τὸ φύσιν ἔχειν καὶ κρίσιν, ἤτοι θέλησιν, ὁρᾶτε καὶ τοῦτο·

[01392] Ἔχει τὸ γεννᾷν ὁ Πατὴρ φυσικῶς, ἔχει καὶ τὸ κτίζειν δι' Υἱοῦ δημιουργικῶς, καὶ οὐ παρὰ τοῦτο σύνθετός ἐστι·

[01393] μιᾶς γὰρ φύσεως τὰ τοιαῦτα καρπός.

[01394] Ὁ δὲ αὐτὸς κρατήσει λόγος ἐπί τε τοῦ ἀγαθοῦ καὶ ἀφθάρτου καὶ ἀοράτου, καὶ ὅσα πρόσεστι τῇ θείᾳ φύσει.

[01395] ΑΛΛΟ.

[01396] Ὡς ἐξ ἀντιθέσεως τῶν Εὐνομίου.

[01397] Εἴπατε, φησὶν, ἡμῖν, οἱ ἀπαύγασμα λέγοντες εἶναι τοῦ Πατρὸς τὸν Υἱὸν, τί ποτε ἄρα λογίζεσθε.

[01398] Ὁ δὲ τῆς ἐρωτήσεως τρόπος, οὗτος·

[01399] Τὸ φῶς ἤτοι τὸ πῦρ, φέρε εἰπεῖν, ἐν λύχνῳ κείμενον φωτίζει τὰ ἐκτὸς, ἀλλ' αὐτὸ μὲν οὐ πάντα πληροῖ, κεῖται δὲ ἐν τόπῳ, καὶ περὶ τὰ ἐκτὸς, καθάπερ εἴπομεν, ὁ ἐξ αὐτοῦ φωτισμὸς γίγνεται.

[01400] Εἰ τοίνυν φῶς μὲν εἶναί φατε τὸν Πατέρα, ἐκ φωτὸς δὲ ἀπαύγασμα τὸν Υἱὸν, ἀνάγκη λέγειν τοῦ Πατρὸς τὴν οὐσίαν μὴ δύνασθαι τὰ πάντα πληροῦν, ἵνα τόπον ἔχοι καὶ χωρῆσαί ποι δύναιτο τὸ ἐξ αὐτοῦ πεμπόμενον ἀπαύγασμα.

[01401] Εἰ δὲ πάντα πληροῖ ὁ Πατὴρ, ποῦ χωρήσει τοῦ γεννήματος ἡ οὐσία, Πρὸς ταῦτα λύσις.

[01402] Εἰ μὲν ἐν τόπῳ τίθησι τὸν Πατέρα, καὶ καθάπερ τι σῶμα χωρεῖσθαι βούλεται, ζητείτω καὶ τῷ γεννήματι τόπον.

[01403] Εἰ δὲ οὐκ ἐν τόπῳ τοῦ Πατρὸς ἡ οὐσία (οὐ γὰρ τόπῳ περιληπτὸν τὸ θεῖον), τί μάτην περιεργάζεται τὰ μηδεμίαν ἔχοντα ζήτησιν, καὶ τολμᾷ λέγειν·

[01404] Ποῦ χωρήσει τοῦ γεννήματος ἡ οὐσία, πληροῦντος τὰ πάντα τοῦ Πατρός;

[01405] Φαίνεται μὲν οὖν ὁ Πατὴρ καὶ ἔστιν ἐν Υἱῷ, καὶ Υἱὸς ἐν Πατρί·

[01406] οὐχ ὡς ταυτὸν δὲ ὄντες, οὐδὲ ὡς ἓν ἀριθμῷ.

[01407] Ἔστι γὰρ ὁ Πατὴρ ἐν τῇ αὐτοῦ ἰδιότητι·

[01408] καὶ ἔστιν ὁ Υἱὸς ἐν τῇ ἰδίᾳ ἰδιότητι, ταύτην ἔχων μόνην πρὸς τὸν Γεγεννηκότα τὴν διαφοράν·

[01409] ὁ μὲν γὰρ Πατὴρ, καθ' ἑαυτόν ἐστι, καὶ οὐκ ἔστιν Υἱός·

[01410] ὁ δὲ Υἱὸς καθ' ἑαυτόν ἐστι, καὶ οὐκ ἔστι Πατήρ.

[01411] Ἀλλὰ κατὰ τοῦτο μόνον ὡς πρὸς τὸν Πατέρα τὴν διαστολὴν ἔχων, φέρει μὲν αὐτὸ τῆς πατρικῆς φύσεως τὸ ἰδίωμα, ἔστι δὲ πάλιν ἐν τῷ Πατρὶ, ὥσπερ τὸ ἐκ τοῦ ἡλίου πεμπόμενον ἀπαύγασμα, πρόεισι μὲν ἐξ αὐτοῦ, ἕτερον δέ τι παρ' αὐτόν ἐστιν, ἓν κατὰ φύσιν ὑπάρχον.

[01412] Τὸ μὲν γὰρ, ἥλιος, τὸ δὲ, ἀπαύγασμα.

[01413] Ὢν οὖν Πατὴρ, ἀπηύγασε [75.101] τὸν Υἱὸν, σφραγῖδα καὶ εἰκόνα τῆς ἑαυτοῦ φύσεως ἀκριβεστάτην

[01414] ΛΟΓΟΣ Η'.

[01415] Πρὸς τοὺς λέγοντας, ὅτι οὐ τῷ Πατρὶ, ἀλλὰ τῇ βουλήσει αὐτοῦ ὅμοιός ἐστιν ὁ Υἱός.

[01416] Πολλὴν ἄν τις εἰκότως ἀβουλίαν τῶν χριστομάχων καταψηφίσαιτο, ἢ λογιεῖται ὀρθῶς μαίνεσθαι, πιστεύων τοῖς τῆς βουλήσεως τοῦ Πατρὸς ὅμοιον εἶναι λέγουσι τὸν Υἱὸν, οὐκ αὐτῷ τῷ Πατρί·

[01417] καίτοι τῆς θείας Γραφῆς οὐ τοῦτον ἐκφερούσης περὶ αὐτοῦ τὸν ὅρον, ἀλλ' οὐδὲ αὐτοῦ τοῦ Σωτῆρος λέγοντος·

[01418] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὴν βούλησιν τοῦ Πατρός.

[01419] Ἐχρῆν δέ γε τὸν εἰπόντα Χριστόν·

[01420] Ἐγώ εἰμι ἡ ἀλήθεια, μὴ τῷ Πατρὶ κατὰ φύσιν ἑαυτὸν ἐξομοιοῦν, τῇ βουλήσει δὲ μᾶλλον αὐτοῦ, εἴπερ οὕτως ἔχει, καθάπερ ἐκεῖνοί φασιν.

[01421] Ἀλλ' οὐδαμοῦ τὴν βούλησιν ὀνομάσας, εἰκόνα δὲ τοῦ Πατρὸς ἑαυτὸν προσειπὼν, δῆλος ἂν εἴη τὴν ἐκείνων ὑπόνοιαν ἀναιρῶν.

[01422] ΑΛΛΟ.

[01423] Ἐρωτητέον τοὺς χριστομάχους·

[01424] Ἡ βούλησις αὕτη τοῦ Πατρὸς, ἧς ὅμοιον εἶναί φατε τὸν Υἱὸν, πότερόν ποτε οὐσία τίς ἐστι, καὶ ὑπέστη αὐτὴ καθ' ἑαυτὴν, ἢ οὐχί;

[01425] Εἰ μὲν γὰρ οὐσιώδη καὶ ὑποστατικὴν εἶναι δώσετε ταύτην, πῶς ἔτι μονογενὴς ὁ Υἱὸς, τρίτος ὢν ἐκ Πατρός;

[01426] Φαίνεται γὰρ μεσολαβοῦσα τὴν γέννησιν αὐτοῦ βούλησίς τις ἐνυπόστατος καὶ ζῶσα, κατὰ τὴν ὑμετέραν πρότασιν.

[01427] Εἰ δὲ τοῦτο παραιτούμενοι, οὐ καθ' ὑπόστασιν τὴν βούλησιν διακεῖσθαι δώσετε, οὐδὲ οὐσίαν εἶναι ζῶσαν καὶ ὑπάρχουσαν, ὥσπερ τὸν Υἱὸν, ἀπαιδεύτως σφόδρα καὶ ἀμαθῶς μὴ δύο παραθέντες οὐσίας ὁμοιότητα ζητεῖτε.

[01428] Πῶς γὰρ ἔσται τὸ ἐνυπόστατον τῷ μὴ τοιούτῳ προσεοικός;

[01429] ἢ πῶς τὸ μὴ εἰς οὐσίαν ἐνεχθὲν τῷ ὑφεστηκότι κατὰ τὸν τῆς ἐμφερείας τρόπον ἀντεξετάζοιτο;

[01430] ΑΛΛΟ.

[01431] Καὶ τίς οὐκ ἂν ὁμολογήσειε νοῦν ἔχων ὅτι τῷ ζώῳ πρὸς τὸ ζῶον ἡ ὁμοιότης, καὶ τῷ μὴ ζώῳ πρὸς τὸ μὴ ζῶον;

[01432] Τὰ γὰρ ἑτερογενῆ καὶ πάντη τῆς πρὸς ἄλληλα σχέσεως φυσικῶς διακεκομμένα, οὐκ ἄν τις εὖ φρονῶν ἀντεξετάζοι πρὸς ἄλληλα, οὐδὲ τοῦτο ἐκείνῳ προσεοικὸς, οὔτε μὴν ἐκεῖνο τούτῳ φήσειεν ἄν.

[01433] Οἷον φέρε εἰπεῖν·

[01434] Ἄνθρωπος προσκείσθω, ἢ ἕτερόν τι τῶν ὄντων ὅσα πίπτει πρὸς τὸν ὅρον τοῦ ζώου, κείσθω καὶ ἐπιστήμη, ἤτοι σοφία, ἤτοι βούλησις, ἢ ἕτερόν τι τῶν ὅσα καθ' ἑαυτὰ οὐκ ἐνυπόστατα μὲν, ἐνυπάρχει δὲ ὅμως τῶν ὄντων τισὶν, ἀνθρώποις τυχὸν ἢ ἀγγέλοις.

[01435] Ἆρ' οὖν, εἴ τις τὸν ἄνθρωπον ἢ ἕτερόν τι ζῶον τῇ ἐπιστήμῃ ἤτοι τῇ σοφίᾳ ἢ τῇ βουλήσει προσεοικέναι φήσειεν, οὐκ ἂν εἰκότως μωρίας ὀφλήσοι γέλωτα, τὰ μηδὲν ἀλλήλοις προσεοικότα δοκιμάζειν τε καὶ ἀντεξετάζειν ἐπιχειρῶν;

[01436] Οὐκοῦν ἐνυπόστατος ὢν ὁ Υἱὸς τοῦ Θεοῦ, τῇ ἀνυποστάτῳ βουλήσει κατ' οὐδὲν ἔσται προσεοικώς.

[01437] Ἢ γὰρ ἀποτόμως ἀνόμοιον εἶναι τῷ Πατρὶ λεγέτω [75.104] σαν, καὶ φανερῶς δυσφημοῦντες μισείσθωσαν·

[01438] ἢ εἴπερ ἀνάγκη τὴν ὁμοιότητα δοῦναι τῷ Υἱῷ πρὸς τὸν Πατέρα, ἀνάγκη δὴ πᾶσα ὡς οὐκ ἔσται τῆς βουλήσεως ὅμοιος, ἀλλὰ μᾶλλον τοῦ γεγεννηκότος.

[01439] Δέδεικται γὰρ ὅτι τοῖς ἐν οὐσίᾳ καὶ ὑποστάσει πρὸς τὰ ἐνούσιά τε καὶ ἐνυπόστατα ἡ ὁμοιότης ἡ κατὰ τοῦτο σώζεται, οὐ πρὸς τὰ ἑτερογενῆ, καὶ ἐν ἑτέροις ἔχοντα τὸ εἶναι, ὥσπερ ἡ σοφία τυχὸν ἐν τῷ σοφῷ, καὶ ἡ βούλησις ἐν τῷ βουλευομένῳ.

[01440] ΑΛΛΟ, διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς.

[01441] Εἰ τῆς βουλήσεως τοῦ Πατρὸς ὅμοιος ὤν, καθ' ὑμᾶς, ὁ Υἱὸς ἀνόμοιός ἐστι τῷ γεγεννηκότι, ἀνάγκη πᾶσα τὴν βούλησιν οὐδὲν προσεοικέναι τῷ Θεῷ καὶ Πατρὶ λέγειν, ἧς χαρακτὴρ ὑπάρχων ὁ Υἱὸς, ἀνόμοιός ἐστι, καθ' ὑμᾶς, τῷ Πατρί.

[01442] Ἔσται οὖν καὶ τῇ βουλήσει τῇ ἑαυτοῦ ἀνόμοιος ὁ Πατήρ.

[01443] Τοῦτο γὰρ ἐκ τοῦ λόγου συνάγεται τὸ ἀσέβημα.

[01444] Καὶ εἰ ἐνυπόστατόν τι τὴν βούλησιν εἶναί φατε, ἔστι τι πάντως ἐν τῇ οὐσίᾳ τοῦ Θεοῦ τὸ ἀνόμοιον αὐτοῦ.

[01445] Καὶ τοῦτο γὰρ ὁ λόγος προσομολογεῖν ὑμᾶς ἀναγκάσει.

[01446] Ἀλλ' ἐνθάδε ζητητέον τῆς ἀνομοιότητος τὸν τρόπον, ἣν ἡ βούλησις ἔχει πρὸς τὸν Πατέρα.

[01447] Εἰ μὲν γὰρ ὡς ἐλάττων αὐτοῦ κατά τι τυγχάνουσα, τὴν ὁμοιότητα τὴν πρὸς αὐτὸν οὐκ ἔχει, τὸ προεληλυθὸς ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, χεῖρον αὐτοῦ καὶ ἔλαττον·

[01448] οὐ γὰρ ἔξωθεν, οὐδὲ ἐπείσακτον ἡ βούλησις, ἀλλ' ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ.

[01449] Τὸ δὲ χείρονα τίκτειν, οὐδὲ τοῖς γενητὴν ἔχουσι τὴν φύσιν οἶδε συμβαίνειν.

[01450] Οὐδὲ γὰρ ἄνθρωπος ἕτερόν τι γεννήσει παρ' ὅπερ ἐστὶν αὐτός·

[01451] ἀλλ' οὐδὲ ἕτερόν τι τῶν ἀλόγων ζώων.

[01452] Εἰ δὲ, ὅπερ οὐ θεμιτὸν λέγειν, ἐπὶ τὸ μεῖζον ἔχειν τι δραμοῦσα τοῦ Πατρὸς ἡ βούλησις αὐτοῦ τὴν πρὸς αὐτὸν ἀνομοιότητα κατὰ τοῦτο φορεῖ, ὡς πρὸς ἐλάττονα ἢ κατά τι χείρονα, πῶς οὐκ ἀσεβὲς μεῖζόν τι καὶ κρεῖττον τοῦ Πατρὸς εἶναι λέγειν;

[01453] Εἰ δὲ μήτε τοῦτο δώσετε, μήτε ἐκεῖνο, ἀνυπόστατόν τε τὴν βούλησιν εἶναι ὁμολογήσετε καὶ οὕτω νοουμένην ὥσπερ ἐφ' ἡμῶν, πῶς κἀνταῦθα θήσετε ἀνόμοιον εἶναι τὴν βούλησιν τῷ Πατρί;

[01454] Ἔσται γὰρ, ἂν οὕτως ἔχῃ, τὰ ἑαυτῷ μὴ πρέποντα βουληθείς·

[01455] ὅπερ ἐστὶ καὶ μόνον ἐννοεῖν ἀτοπώτατον.

[01456] ΑΛΛΟ.

[01457] Ὁ λόγος ἀναγκάσει καὶ ἄκοντας ὑμᾶς δοῦναι τῷ Υἱῷ τὴν ὁμοιότητα τὴν πρὸς τὸν Πατέρα.

[01458] Ἐδείχθη γὰρ λίαν ἀτοπώτατον ὂν τὸ πιστεύειν, τὰ μὴ αὐτῷ πρέποντα βεβουλῆσθαι Θεὸν, ὡς ἀνάγκην εἶναι πᾶσαν ἐοικυῖαν αὐτῷ τὴν βούλησιν αὐτοῦ λέγειν.

[01459] Εἰ τοίνυν ἡ μὲν βούλησις ἔοικε τῷ Πατρὶ, ὁ δὲ Υἱὸς τῇ βουλήσει, ἔσται πάντως ὁ τρίτος τῷ πρώτῳ προσεοικώς.

[01460] Ἡ γὰρ ἐν τῷ μέσῳ κειμένη βούλησις, τὴν τοῦ τεκόντος αὐτὸν φυσικὴν ἐμφέρειαν ἀναμαξαμένη, δέδωκεν αὐτὴν τῷ Υἱῷ, καθ' ὑμᾶς·

[01461] οὕτω μὲν οὖν τῷ Πατρὶ προσεοικὼς, καὶ μὴ βουλομένων ὑμῶν, ὁ Υἱὸς εὑρεθήσεται.

[01462] Ἐπειδὴ δὲ οὐδέν ἐστι τὸ μεταξὺ Πατρὸς καὶ Υἱοῦ, ἀργήσει μὲν πάντως ὁ περὶ τῆς βουλήσεως λόγος, καὶ οὐδενὸς ἔτι μεσολαβοῦντος προσεχῶς ὁ Υἱὸς ἔσται κατὰ φύσιν ὅμοιος τῷ Πατρί.

[01463] ΑΛΛΟ.

[01464] Γέγραπται Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία.

[01465] [75.105] Εἰ τοίνυν ἡ βούλησις τοῦ Πατρὸς χαρακτηρίζει τήν τε δύναμιν καὶ σοφίαν αὐτοῦ, τουτέστι τὸν Υἱὸν, ἀνάγκη πᾶσα μὴ ἀνομοίαν αὐτὴν εἶναι λέγειν τῷ Πατρὶ, ἵνα μὴ φαίνηται δύναμιν καὶ σοφίαν ἔχων ὁ Πατὴρ οὐχ ὁμοίαν ἑαυτῷ.

[01466] Εἰ δὲ τοῦτο, λοιπὸν ἐννοείτωσαν οἱ χριστομάχοι τῆς ἑαυτῶν ἀβουλίας τὸ μέγεθος.

[01467] Παραιτούμενοι γὰρ ἕνα ὄντα τὸν Υἱὸν, ὅμοιον εἶναι λέγειν τῷ Πατρὶ, δύο δεδώκασιν, εἴπερ εἶναί τι τὴν βούλησιν ἐροῦσιν ἐνυπόστατον.

[01468] Εἰ δὲ ἀνυπόστατός ἐστιν, οὐκ ἔσται χαρακτὴρ τοῦ ὑφεστῶτος τὸ μὴ ὑφεστηκὸς, κατ' αὐτὸ δὴ τοῦτο τὸ μὴ ὑφεστηκέναι.

[01469] ΑΛΛΟ Τὰ τὴν αὐτὴν ἐνέργειαν ἔχοντα καὶ ταῖς αὐταῖς δυνάμεσι φυσικαῖς ἀποκεχρημένα, τῆς αὐτῆς εἶναι πάντως οὐσίας ἀναγκαῖον.

[01470] Οὐδὲν γὰρ τῶν ὄντων πρὸς τὸ ἑτερογενὲς καὶ ἑτερούσιον τὰς αὐτὰς ἀπαραλλάκτως φορέσει δυνάμεις τε καὶ ἐνεργείας·

[01471] κεχρήσεται δὲ μόνοις τοῖς ἴσοις ἰδιώμασι τὰ μίαν λάχοντα τὴν φύσιν·

[01472] οἷς δὲ ἡ ἐν τῇ οὐσίᾳ κοινότης μία, τούτοις ἀκολουθήσει καὶ τὸ ἀλλήλοις κατὰ πάντα προσεοικέναι.

[01473] Εἰ τοίνυν μία μὲν ἐνέργεια Πατρὸς καὶ Υἱοῦ, ἡ αὐτὴ δὲ δύναμις ἐν πᾶσιν ὁρᾶται, οὐχ ἑτερούσιος ὡς πρὸς ἑαυτὴν ἡ δυάς.

[01474] Εἰ δὲ τοῦτο, φορέσει πάντως καὶ τὴν ὁμοιότητα τοῦ Πατρὸς ὁ Υἱὸς, ὡς ὁμοούσιος, καὶ οὐκ ἔσται τῆς βουλήσεως εἰκών.

[01475] ΑΛΛΟ.

[01476] Εἰ ὅσα βουλεύεται ὁ Θεὸς καὶ Πατὴρ, ταῦτα βουλεύεται καὶ ὁ Υἱὸς (οὐδεμία γὰρ στάσις ἢ διχόνοια χωρήσει ποτὲ ἐν τῇ μιᾷ καὶ ἀχράντῳ Τριάδι), ποῖον ἕξει τόπον ἐνυπόστατος βούλησις, τρίτον ἀποφαίνουσα τὸν Υἱὸν τὸν προσεχῆ τῷ Πατρὶ, καθὸ καὶ Υἱὸς οὐδὲν ἔχων μεσολαβοῦν τὴν γέννησιν αὐτοῦ;

[01477] Διὸ καὶ αὐτός ἐστιν ἡ ζῶσα καὶ ἐνούσιος ἡ βούλησις τοῦ γεγεννηκότος.

[01478] ΑΛΛΟ.

[01479] Τῆς βουλήσεως τοῦ Πατρὸς χαρακτῆρα καὶ ὁμοίωσιν εἶναι τὸν Υἱὸν καταψεύδονται, ἀλλ' οὐκ αὐτοῦ τοῦ Πατρός.

[01480] Διὸ δὴ πάλιν ἐρωτητέον τοὺς χριστομάχους, Εἰ ὅμοιός ἐστιν ὁ Πατὴρ τῆς ἑαυτοῦ βουλήσεως, ἢ οὐχί;

[01481] Εἰ μὲν γὰρ ἀνόμοιος, ἀνομοίαν ἑαυτῷ τὴν βούλησιν ἔχει·

[01482] καὶ σιωπῶ πρὸς τοῦτο τὸ δύσφημον·

[01483] εἰ δὲ ὁμοίαν ἑαυτῷ τὴν βούλησιν ἔχει, ἧς, ὥς φατε, χαρακτήρ ἐστι καὶ εἰκὼν ὁ Υἱὸς, ἔοικεν ἄρα κατὰ τοῦτο τῷ Πατρί.

[01484] Πῶς οὖν ἀνόμοιος ἔσται κατὰ τὴν οὐσίαν αὐτῷ, ὁ διὰ τὸ τῇ βουλήσει προσεοικέναι χαρακτὴρ ὢν αὐτοῦ;

[01485] Συγκείσεται γὰρ, ἂν οὕτως ἔχῃ, καθ' ὑμᾶς, ἐξ ὁμοίου καὶ ἐξ ἀνομοίου ὁ Υἱὸς, κατά τι μὲν ἐοικὼς τῷ Πατρὶ, κατά τι δὲ ἀλλοτριούμενος τῆς πρὸς αὐτὸν ὁμοιότητος.

[01486] Εἶτα, ποῖος συγχωρήσει λόγος τὸ ἓν κατ' οὐσίαν ὑπάρχον καὶ ἐν ἀριθμῷ, οἷον Παῦλον τυχὸν ἢ Πέτρον, δύο φέρειν ἐν ταυτῷ κατὰ φύσιν τὰ ἐναντία;

[01487] Οὐ γὰρ δυνήσεταί τις εἰπεῖν·

[01488] Λογικός τέ εἰμι καὶ ἄλογος·

[01489] οὐδ' αὖ τὸ πῦρ ἐρεῖ τις θερμὸν εἶναί τε καὶ ψυχρόν·

[01490] δεῖ γὰρ, ἑνὸς ἐνυπάρ [75.108] χοντος, ἀναῤῥεῖσθαι τῶν σημαινομένων τὸ ἕτερον.

[01491] Οὐκοῦν ἀμήχανον ἐν Υἱῷ καὶ τὸ ὅμοιον εἶναι καὶ τὸ ἀνόμοιον.

[01492] Ἐπιμαρτυρούσης δὲ τῆς θείας αὐτῷ Γραφῆς τὴν ὁμοιότητα τὴν πρὸς τὸν Πατέρα, καὶ αὐτοῦ δὲ φάσκοντος·

[01493] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα, τὸ ἀνόμοιον οὐ παραδεξόμεθα, ποδηγούμενοι διὰ τούτων ἐπὶ τὸ ἀληθέστερόν τε καὶ πρεπωδέστερον.

[01494] Ἐπειδὴ δὲ πάλιν οὐκ εἶπεν·

[01495] Ὁ ἑωρακὼς ἐμὲ, τὴν βούλησιν ἑώρακε τοῦ Πατρός μου, οὐ τῆς βουλήσεως εἰκόνα τὸν Υἱὸν ὁμολογήσομεν, ἀλλ' αὐτοῦ τοῦ Πατρὸς ὡς Υἱόν.

[01496] ΑΛΛΟ.

[01497] Τὰ τῆς πρὸς ἄλληλα συναφείας ἢ φυσικῆς ἐμφερείας ἀναχωρήσαντα, καὶ κατὰ τὸν τῆς οὐσιώδους ποιότητος λόγον ἀπεσχοινισμένα, διίσταται ἢ τόπῳ τεμνόμενα, ἢ μόναις ταῖς ἐπινοίαις.

[01498] Τόπῳ μὲν οὖν τῆς πρὸς ἄλληλα συναφείας διίσταται τὰ σωματικὴν ἔχοντα σύστασιν, διίσταται δὲ καὶ λόγῳ τινὰ τῶν κατὰ τὴν οὐσιώδη διαφορὰν, ὡς ἄνθρωπος ἵππου.

[01499] Τὰ δὲ ὅσα τὴν δήλωσιν καὶ τὸ ἐξ αὐτῶν ἀποτελούμενον ἀνόμοιον ἔχει, λόγῳ ψιλῷ καὶ ἐπινοίᾳ μεριζόμενα φαίνεται, οἷον ὑγίεια καὶ νόσος.

[01500] Ἐν δὲ τούτοις ὅσα λόγῳ μόνῳ καὶ τῷ ἐξ αὐτῶν ἀποτελουμένῳ κατ' ἐναντιότητα διέστηκε, τὰ μὲν ἄμεσα καλοῦσιν οἱ τὰ τῆς φιλοσοφίας ἠσκημένοι μαθήματα, τὰ δὲ ἔμμεσα.

[01501] Ἄμεσα μὲν οὖν, καθάπερ ἤδη προεῖπον, ὑγίεια καὶ νόσος·

[01502] οὐδὲν γὰρ τούτων ἐστὶ μεταξύ.

[01503] Εἰ γὰρ ἐπ' ἀνθρώπου τυχὸν φέροιτό τι τούτων, ἓν ἔσται πάντως ἐν αὐτῷ.

[01504] Ἢ γὰρ ὑγιαίνει, ἢ νοσεῖ, καὶ τὸ μέσον τοῦ νοσεῖν ἢ μὴ νοσεῖν, οὐδέν.

[01505] Ἔμμεσον δὲ τὴν δικαιοσύνην εἶναί φασι καὶ τὴν ἀδικίαν.

[01506] Ἐπειδήπερ οὐ πᾶς ἄνθρωπος ἢ ὁλοκλήρως δίκαιος, ἢ ἄδικός ἐστι.

[01507] Δυνατὸν γὰρ μέσον ὥσπερ τινὰ τόπον εὑρέσθαι ἐκ μέρους δικαίου τινὸς ὄντος, καὶ οὐ παντελῶς ἀδίκου.

[01508] Τούτων τοιγαροῦν κατὰ τόνδε τὸν τρόπον ἡμῖν διεσκεμμένων, καὶ τῆς ἀνομοιότητος ἐν τούτοις ἐξεταζομένης ἐπὶ παντὸς πράγματος, ἴδωμεν κατὰ ποῖον τῶν εἰρημένων λόγον ἀφέστηκε τῆς τοῦ Πατρὸς ὁμοιότητος ὁ Υἱός.

[01509] Τόπῳ μὲν οὖν οὐκ ἄν τις αὐτὸν μερίζεσθαι λέγοι, ἐπεὶ μήτε σῶμά ἐστι·

[01510] σωμάτων γὰρ ἴδιον τοπικαῖς μερίζεσθαι διαστάσεσι·

[01511] λείπεται τοίνυν τὸ, λόγῳ χωρίζεσθαι·

[01512] λόγῳ δέ φημι τῷ κατὰ τὴν φύσιν.

[01513] Ἀλλ' εἴπερ φύσει Θεὸς ὁ Πατὴρ, καὶ φύσει Θεὸς ὁ Υἱὸς, ποῖος αὐτὸν ἀποτέμνει λόγος;

[01514] Τίς δὲ οὐ συγχωρήσει τὴν πρὸς ἄλληλα φορεῖν ὁμοιότητα τῆς αὐτοῦ οὐσίας ὑπάρχοντα;

[01515] Ἔτι τε πρὸς τούτῳ, οὐδὲ ὡς ἐναντίον ἕξει τι πρὸς τὸν Υἱὸν ὁ Πατὴρ, ὡς τὰ ἄμεσα καλούμενα.

[01516] Οὐ γὰρ ὡς ὑγίεια καὶ νόσος ἀλλήλοις ἀντίκεινται·

[01517] οὐδὲ ὥσπερ ἕν τι πάντων τῶν εἰρημένων ἐν ἀνθρώποις σώζεσθαι ὁ τῶν πραγμάτων ἀναγκάσει λόγος, οὕτω καὶ ἐπὶ Πατρὸς καὶ Υἱοῦ.

[01518] Ἐνοικεῖ γάρ τισιν ὁ Πατὴρ, ἐνοικεῖ δὲ καὶ ὁ Υἱός.

[01519] Καὶ οὐ καθάπερ ἐκεῖνα εἰς ταυτὸν ἀσύμβατά τε καὶ ἀσυνύπαρκτά ἐστιν, οὕτω καὶ ὁ Υἱὸς καὶ ὁ Πατήρ·

[01520] Ἰδοὺ γὰρ, φησὶν ὁ Χριστὸς, εἰσελευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.

[01521] Ἀλλ' οὐδὲ οὕτως ἔμμεσον ἔσται πρᾶγμα [75.109] Πατὴρ πρὸς Υἱὸν, ὥσπερ ἡ δικαιοσύνη τυχόν.

[01522] Οὐ γὰρ ἔλαττον ἔσται Πατὴρ ὁ Πατὴρ, οὐδὲ ἔλαττον ἔσται Υἱὸς ὁ Υἱὸς, ἵνα τις μέσος γένηται τόπος χωρῶν τῆς οὐσίας τὴν ὑπόβασιν, ὥσπερ ἐπὶ τῆς δικαιοσύνης καὶ ἀδικίας ἐλέγετο.

[01523] Οὐδενὸς τοιγαροῦν χωρίζοντος τόπου τῆς πρὸς Θεὸν Πατέρα ὁμοιότητος τὸν Υἱὸν, περιττὸν τὸ λέγειν τῇ βουλήσει προσεοικέναι μᾶλλον αὐτὸν, καὶ οὐκ αὐτῷ τῷ ἐκλάμψαντι αὐτὸν Πατρί.

[01524] ΑΛΛΟ.

[01525] Ὧν ὁ λόγος ὁ αὐτὸς, ταῦτα πάντως ὁμοειδῆ τε εἶναι καὶ ἀλλήλοις ἐοικότα φυσικῶς ἀναγκαῖον.

[01526] Οἷον φέρε εἰπεῖν·

[01527] Ὁ τοῦ ἀνθρώπου λόγος οὕτως ἔχων, ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν·

[01528] καθ' ὧν δ' ἂν φέροιτο, ταῦτα τῆς αὐτῆς οὐσίας ὄντα δεικνύει.

[01529] Καὶ οἷς ἂν ταῦτα ἐπαληθεύηται, τὰ ἐν τῷ ὅρῳ, φημὶ, ταῦτα πάντως ἀνθρώπους εἶναι δεῖ.

[01530] Εἰ γὰρ ζῶόν ἐστι λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, τί ἂν ἕτερον εἴη λοιπὸν ἢ ἄνθρωπος τὸ σημαινόμενον;

[01531] Εἰ τοίνυν τὸ Θεὸς ὄνομα καὶ Κύριος, καὶ τὸ ἄφθαρτος, καὶ τὸ βασιλεὺς, καὶ εἴ τι ἕτερον πρὸς τούτοις περὶ τοῦ Πατρὸς λέγεται, καὶ ταῦτα καὶ ἐφ' Υἱοῦ φερόμενα ἐπαληθεύεται, καὶ οὐ μέχρι μόνων τῶν ὀνομάτων τὴν εὐφημίαν ἔχει, ἀλλ' ἔστιν ὄντως οὕτω καὶ κατὰ φύσιν, ποῖος λόγος τῆς πρὸς τὸν Πατέρα φυσικῆς ὁμοιότητος χωριεῖ τὸν Υἱόν;

[01532] Ἕνα γὰρ ἔχουσι τῆς οὐσίας τὸν ὅρον, καὶ πάντα ὅσα πρόσεστι τῷ γεγεννηκότι, καὶ ἐπὶ τοῦ γεννηθέντος ἐπαληθεύεται.

[01533] Εἰ δέ τις ἀποτολμᾷ ψευδώνυμον Θεὸν εἶναι λέγειν τὸν Υἱὸν, καὶ πλέον οὐδὲν ἔχειν τῶν κατὰ χάριν εἰς θεότητα καὶ εἰς υἱότητα κεκλημένων, εἰς τὸ Παύλου τοῦ Σαμοσατέως ἐμβεβηκὼς δόγμα, δικαίως ἀκούσεται παρ' ἡμῶν·

[01534] Ἐὰν μὴ πιστεύσητε, οὐδὲ οὐ μὴ συνῆτε.

[01535] Ἀμήχανον γὰρ τοὺς μὴ φύσει Θεὸν ὑπάρχειν πιστεύοντας τὸν Υἱὸν, νοῆσαι τὴν ἐμφέρειαν ἣν ἔχει πρὸς τὸν Πατέρα κατὰ φύσιν.

[01536] Τοιγαροῦν ἐοικὼς τῷ Πατρὶ, οὐκ ἐνυπάρκτου βουλήσεως εἰκόνα φορεῖ, ὑπάρχων πρὸ τῶν αἰώνων Υἱός.

[01537] ΛΟΓΟΣ Θʹ.

[01538] Ὅτι ὁμοούσιος τῷ Πατρὶ ὁ Υἱὸς, παρατεθέντων καὶ ῥητῶν, τοῦ, Τί με λέγεις ἀγαθόν;

[01539] Οὐ δεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεὸς, καὶ τοῦ, Πορεύομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, Θεόν μου καὶ Θεὸν ὑμῶν.

[01540] Καὶ ὁμοίως, Ὁ Πατὴρ ὁ πέμψας με μείζων μού ἐστιν.

[01541] Εἰ ἤρξατο τοῦ γεννᾷν τὸν Υἱὸν ὁ Πατὴρ, καὶ κατέπαυσε, καθάπερ οἱ Χριστομάχοι φασὶ, ἐν ὑστέρῳ χρόνῳ προσγέγονεν αὐτῷ.

[01542] Ἦν οὖν ἄρα πρὶν γεννηθῆναι, κατ' ἐκείνους ἐν μονάδι τὸ Θεῖον·

[01543] γέγονε δὲ ὕστερον ἐν δυάδι γεννηθέντος τοῦ Υἱοῦ, καὶ ὥσπερ τις προσθήκη καὶ αὔξησις θεότητος ἐξ ἀρχαίας μονάδος εἰς τὴν μετὰ ταῦτα δυάδα.

[01544] Ἀποκαμὼν δὲ ὁ Πατὴρ ὥσπερ ἐν τῷ εἶναι μόνος, ἐπενόησε τὸν Υἱὸν κοινωνὸν τῆς θεότητος καὶ τῶν ἔργων.

[01545] Καὶ πολλὰ πρὸς τούτοις δύσφημά τε καὶ πολλῆς γέμοντα τῆς ἀτοπίας ἐκ τοῦ φρονεῖν οὕτω παρενεχθήσεται·

[01546] ἃ καὶ τοσαύτην [75.112] ἔχει τὴν δυσφημίαν, ὡς παντί τῳ γενέσθαι φευκτά.

[01547] Εἰ τοίνυν τὴν ἐν τοῖς εἰρημένοις ἀτοπίαν παραιτεῖσθαι καλὸν, πιστεύειν ἀκόλουθον ὡς οὐ προσγέγονεν ὁ Υἱὸς τῷ Πατρὶ, ἀλλ' ἦν ἀεὶ συναΐδιος ἐξ αὐτοῦ.

[01548] Καὶ ὥσπερ, εἰ προσγεγονὼς ἐφαίνετο, οὐκ ἂν ἦν ὁμοούσιος, οὕτως, ἐπεὶ μὴ τοῦτό ἐστιν, ἀλλ' ἦν ἀεὶ σὺν αὐτῷ, πάντως ἔσται καὶ ὁμοούσιος.

[01549] ΑΛΛΟ.

[01550] Κἂν ἔχῃ τινὰ διαφορὰν ὁ Υἱὸς ὡς πρὸς τὸν ἑαυτοῦ Πατέρα, καθ' ἣν ὁ μὲν Πατὴρ ἀρχή ἐστιν, ὁ δὲ Υἱὸς ἐκ τῆς ἀρχῆς, ἀλλ' οὐ διὰ τοῦτο τῆς ταυτότητος καὶ τῆς πρὸς αὐτὸν ὁμοουσιότητος ἐξωσθήσεται.

[01551] Οὐ γὰρ ἔσται τι συναΐδιον τῷ Πατρὶ, μὴ ὂν ἐξ αὐτοῦ φυσικῶς·

[01552] ἵνα μὴ καὶ τοῖς κτίσμασι τοῦτο προσεῖναι λέγωμεν, ὃ μόνῃ πρόσεστι τῇ θείᾳ φύσει.

[01553] Οὐκοῦν κἂν ἀρχὴν ὁ Υἱὸς ἔχῃ τὸν ἑαυτοῦ Πατέρα, ἀλλὰ καθὸ ἐκ τῆς ἀρχῆς ἐστι, σύνδρομον αὐτῇ τὸ εἶναι ἔχων, ἀνόμοιος οὐκ ἔσται κατὰ τὴν οὐσίαν αὐτῇ.

[01554] Ἐπειδὴ γὰρ ἐκ τῆς ἀρχῆς ἐστι, διὰ τοῦτο καὶ ὁμοούσιος τῇ ἀρχῇ.

[01555] Τὸ δὲ ὁμοούσιον τῷ Πατρὶ, ἐπιγενητὸν οὐκ ἔστι, ἵνα μὴ τοῦτο ὢν εὑρίσκηται καὶ αὐτός.

[01556] ΑΛΛΟ.

[01557] Ὡς ἐξ ἀντιθέσεως τῶν Εὐνομίου.

[01558] Οὐκ ἐπιδέχεται, φησὶ, γέννησιν ἡ τοῦ Πατρὸς οὐσία·

[01559] ἐγεννήθη δὲ ὁ Υἱός.

[01560] Πῶς οὖν ὁ γεγεννημένος ὁμοούσιος ἔσται τῷ Πατρὶ, τῷ μὴ ἐπιδεχομένῳ γέννησιν;

[01561] Πρὸς τοῦτο λύσις.

[01562] Λεγέτωσαν ἡμῖν οἱ τὰ τοιαῦτα προτείνοντες ἀμαθῶς, Εἰ διὰ τῆς γεννήσεως ἀναιρεῖται τὸ ὁμοούσιον, διὰ ποίου σωθήσεται πράγματος;

[01563] Καὶ πάλιν, εἰ τῷ γεγεννηκότι τὸ γεννηθὲν οὐχ ὁμοούσιον, ποῖον ἔσται τὸ ὁμοούσιον;

[01564] Ἆρα τὸ μὴ γεννηθὲν καὶ ἀλλότριον τῆς οὐσίας, ἢ τὸ ἀπό τινος ληφθὲν τῶν ὅσα ἐστὶ περὶ τὰς οὐσίας·

[01565] ἀλλὰ τοῦτο ἀδύνατον.

[01566] Ἐρεῖς οὖν ὅτι τὸ ἀγέννητον τῷ ἀγεννήτῳ πάντως ὁμοούσιον, τὸ δὲ ἀγέννητον τῷ γεννητῷ οὐχ ὅμοιον.

[01567] Οὐκοῦν ἐπειδήπερ οὐκ ἐγεννήθη μὲν ὁ Ἀδὰμ, ἐγεννήθη δὲ Ἄβελ ἐκ γυναικὸς, οὐκ ἔσται τῷ Ἀδὰμ ὁμοούσιος.

[01568] Εἰ δὲ ἐγεννήθη μὲν, ἔχει δὲ τῆς φύσεως τὴν ταυτότητα πρὸς τὸν Ἀδὰμ, καίτοι μὴ γεγεννημένον, τί κωλύει καὶ τὸν Υἱὸν ἐξ ἀγεννήτου Πατρὸς ὄντα γεννητὸν εἶναι καὶ ὁμοούσιον;

[01569] ΑΛΛΟ, διηγηματικῶς.

[01570] Γεγεννῆσθαι τὸν Υἱὸν ἐκ Πατρὸς καὶ οἱ χριστομάχοι συνθήσονται·

[01571] καὶ οὐκ ἄν τις, οἶμαι, πρὸς τοσαύτην ἐλάσαι κακίαν, ὡς τολμῆσαι καθάπερ καὶ τὰ ποιήματα καὶ αὐτὸν ἔξω κεῖσθαι τῆς θείας οὐσίας κατὰ τὸν τῆς φύσεως λόγον.

[01572] Εἰ τοίνυν ἐγέννησεν ἐξ ἑαυτοῦ τὸν Υἱὸν ὁ Πατὴρ, διατί μὴ ὁμοούσιος;

[01573] Λεγέτωσαν ἡμῖν οἱ τοῦ Θεοῦ Λόγου κατήγοροι.

[01574] Ἀδυνατήσας ἄρα τοιοῦτον αὐτὸν γεννᾷ, ἢ μὴ θελήσας;

[01575] Εἰ μὲν οὖν ἀδυνατήσας λέγουσιν, αἰσχυνέσθωσαν τὴν τοῦ Πατρὸς οὐσίαν ὑβρίζοντες, δι' ὧν αὐτῇ προσάπτειν [75.113] τὸ μὴ δύνασθαι τετολμήκασιν.

[01576] Εἰ δ' ἐπὶ θάτερον μεταστήσονται, καὶ μὴ ἐθελῆσαι φήσουσιν ὁμοούσιον αὐτῷ γεννῆσαι τὸν Υἱὸν, ἑτέρως ὑβρίζουσι πρᾶγμα χαλεπὸν καὶ τὸ πάντων αἴσχιστον περιτιθέντες αὐτῷ, τὸν ἐπὶ τοῖς ἀμείνοσιν ὄκνον.

[01577] Εἰ γὰρ κρεῖττον ἦν τὸ ὁμοούσιον τοῦ μὴ τοιούτου, πῶς οὐκ ἔσται δυσφημίας ἁπάσης ἐπέκεινα τὸ λέγειν ὀκνῆσαι περὶ τὰ κρείττονα καὶ πρεπωδέστερα τὴν θείαν οὐσίαν, καὶ μὴ μᾶλλον ἐθελῆσαι τὸ κάλλιον ἢ τὸ μὴ οὕτως ἔχον;

[01578] Ἀλλὰ πάντα δύναται ποιεῖν ὁ Πατὴρ, καὶ θέλει μᾶλλον τὸ κρεῖττον·

[01579] οὐδὲν οὖν ἐστι τὸ κωλύον ὁμοούσιον εἶναι τὸν Υἱόν.

[01580] ΑΛΛΟ.

[01581] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[01582] Τὸ ἐξ αἰτίου τινὸς ὄν, ἢ γεγεννημένον, φησὶν, ἀνάγκη δεύτερον εἶναι τούτου, ὃ δὴ καὶ γέγονεν αὐτῷ τοῦ εἶναι αἴτιον.

[01583] Οὐκοῦν δεύτερος ἔσται τοῦ Πατρὸς ὁ Υἱὸς αἴτιον αὐτὸν ἔχων·

[01584] καὶ διὰ τοῦτο οὐχ ὁμοούσιος.

[01585] Ἢ ἀφιλονεικότερον ἐνστήσεταί τις ὁμοούσιον αὐτὸν εἶναι λέγων, ἡ μία θεότης, ἄρα, τομήν τινα χωρήσασα, γέγονεν εἰς δυάδα·

[01586] οὐ γὰρ ἑτέρως ὁμοούσιος εἶναι δύναται.

[01587] Ἀνάγκη οὖν λέγειν οὐχ ὁμοούσιον εἶναι τὸν Υἱόν.

[01588] Πρὸς ταῦτα λύσις.

[01589] Οὐκ αἰσθάνεται πάλιν μεθύων ὁ χριστομάχος, καὶ μάτην καταφλυαρῶν τῆς θείας οὐσίας.

[01590] Τὸ μὲν γὰρ τέμνεσθαι καὶ διάστασίν τινα μεταξὺ τὴν πρὸς ἄλληλα δύνασθαι λαβεῖν, σωμάτων ἴδιον.

[01591] Ἡ δὲ θεία τοῦ Πατρὸς οὐσία, ἀσώματος οὖσα, τομῆς τε καὶ διαιρέσεως ἀνεπίδεκτός ἐστιν·

[01592] οὔτε δὲ ἐν τόπῳ μένουσα, οὔτε ὑπό τινος οὖσα χωρητὴ, ἀλλ' ἐν ἀῤῥήτῳ τινὶ καὶ ἀφράστῳ καταστάσει κειμένη, τὸν Υἱὸν ἐξ ἑαυτῆς ἀδιαστάτως ἐξέλαμψεν·

[01593] οὐκ ἂν ἑτέρως ἔχειν τὸ εἶναι τελεία δυναμένη, εἰ μὴ ἐγέννησε τὸν Υἱὸν, καὶ ἀνεδείχθη καρπογόνος·

[01594] καὶ πάλιν οὐκ ἂν ἑτέρως ἐσομένη δημιουργὸς, εἰ μὴ τέτοκεν ἐξ ἑαυτῆς ἀμερίστως τὸν Υἱὸν, δι' οὗ τὰ πάντα ἐργάζεται.

[01595] Ἔστιν οὖν ὁ Υἱὸς γεννηθεὶς ἐκ Πατρὸς, οὐ κατά τινα τομὴν, ἢ ἀπόῤῥοιαν, καθάπερ ὑμεῖς φαντάζεσθε·

[01596] ἀλλ' ὥσπερ ἐκ πυρὸς θερμότης, ἀμερίστως ἐκ τῆς τοῦ τεκόντος προελθὼν οὐσίας.

[01597] ΑΛΛΟ.

[01598] Ὡς ἐξ ἀντιθέσεως τῶν Εὐνομίου.

[01599] Εἰ ὁμοούσιός ἐστι, φησὶν, ὁ Υἱὸς τῷ Πατρὶ, τί μὴ καὶ αὐτός ἐστιν ἀγαθὸς οὕτως ὡς ὁ Πατήρ;

[01600] Λέγει γάρ που πρός τινα ὁ Χριστός·

[01601] Τί με λέγεις ἀγαθόν;

[01602] Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός.

[01603] Ἕνα δὲ εἰπὼν, ἑαυτὸν ἔξω τέθεικεν, ὡς ἀγαθὸν μὲν ὄντα καὶ αὐτὸν, οὐχ οὕτω δὲ ὥσπερ ἂν εἴη καὶ ὁ Πατήρ.

[01604] Πρὸς ταῦτα λύσις.

[01605] Κύριον ἀποκαλούσης τὸν Υἱὸν τῆς θείας Γραφῆς, δώσεις ἄρα καὶ αὐτὸν εἶναι Κύριον, καὶ τοῦτο κατὰ ἀλήθειαν, ἢ πρὸς τοῖς ἄλλοις ἀρνήσῃ καὶ τόδε.

[01606] Εἰ μὲν γὰρ οὐκ εἶναι Κύριον ἐρεῖς, τἀναντία φρονεῖς ταῖς θείαις Γραφαῖς καὶ τῷ ταῦτα λαλήσαντι Πνεύματι.

[01607] [75.116] Συντεθειμένος δὲ καὶ φάσκων αὐτὸν εἶναι Κύριον, ἀσεβῶς ἐλεγχθήσῃ καὶ Κύριον λέγων καὶ προσκυνῶν ὃν οὐ φῂς ὁμοούσιον εἶναι τῷ Θεῷ καὶ Πατρὶ, καὶ κτίσματι μᾶλλον ἢ Θεῷ κατὰ φύσιν λατρεύεις.

[01608] Τὸ γὰρ ἑτέρας ὑπάρχον οὐσίας παρὰ τὸν ὄντα Θεὸν, οὐκ ἂν εἴη φύσει Θεός.

[01609] Καὶ τούτου μάρτυς ἡ θεία λέγουσα Γραφή·

[01610] Κύριος ὁ Θεὸς ἡμῶν, Κύριος εἷς ἐστι·

[01611] μία γὰρ θεότητος φύσις.

[01612] Καὶ ὅτι ταύτῃ μόνῃ δεῖ προσκυνεῖν, ἀκούσῃ πάλιν·

[01613] Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.

[01614] Εἰ τοίνυν διὰ τὸ μόνον ἀγαθὸν λέγεσθαι τὸν Θεὸν καὶ Πατέρα, ἐκπεσεῖται τοῦ εἶναι ἀγαθὸς ὁ Υἱὸς οὕτως ὡς ὁ Πατὴρ, καὶ διὰ τὸ ἕνα λέγεσθαι Κύριον καὶ Θεὸν τὸν Πατέρα, ἐκπεσεῖται τοῦ εἶναι Κύριος καὶ Θεὸς ὁ Υἱὸς, κατὰ τὴν τοῦ νοήματος ἀκολουθίαν·

[01615] πῶς οὖν προσκυνεῖς τῷ μήτε Κυρίῳ μήτε Θεῷ;

[01616] Εἰ δὲ Κυρίου καὶ Θεοῦ τοῦ Πατρὸς ὄντος, συνεπάγεται καὶ ὁ Υἱὸς τὴν ἐκεῖθεν ἰδιότητα ἔχων ὡς ἐξ αὐτοῦ κατὰ φύσιν ὑπάρχων, καὶ ἔστι μετὰ Πατρὸς Κύριος καὶ Θεὸς, ἕξει πάντως καὶ τὸ εἶναι ἀγαθὸς ὡς ὁ Πατὴρ, τῆς πατρικῆς ἰδιότητος κἀν τούτῳ πάλιν ὑπαρχούσης ἐν αὐτῷ, καθάπερ καὶ ἐν ἐκείνῳ.

[01617] ΑΛΛΟ.

[01618] Πολλὰ περί τε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ λέγουσιν αἱ θεῖαι Γραφαὶ, καὶ οὐ τὸ τῶν ὀνομάτων διάφορον διαστέλλει πάντως αὐτοῖς καὶ τῆς οὐσίας τὸν λόγον, ὡς ἀνομοιότητά τινα διὰ τούτων χωρῆσαι μεταξύ.

[01619] Ἔστι γὰρ μία θεότης Πατρὸς καὶ Υἱοῦ, κἂν ἑκάτερος τῇ τῶν ὀνομάτων ποικιλίᾳ διαφόρως σημαίνηται, οὐχ ὡς ἴδιον ἔχων τι καὶ καθ' ἑαυτὸν, ὃ μὴ τῷ ἑτέρῳ πρόσεστιν, ἀλλ' ὡς ἐπ' ἀμφοῖν χωρεῖν δυναμένου παντὸς ὅπερ ἂν ἐφ' ἑνὸς λέγοιτο, δίχα μόνης τῆς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ προσηγορίας τε καὶ πράγματος.

[01620] Ἔστι γὰρ ὁ Πατὴρ ἀεὶ Πατὴρ, καὶ Υἱὸς οὐκ ἂν γένοιτό ποτε·

[01621] καὶ ἔστιν ὁ Υἱὸς ἀεὶ Υἱὸς, καὶ Πατὴρ οὐκ ἂν εἴη ποτέ.

[01622] Εἰ δέ τις βούλοιτο φάσκειν μὴ δύνασθαι χωρεῖν ἐπ' ἀμφοῖν ὅπερ ἂν ἐφ' ἑνὸς φέροιτο πρόσρημα, μεγάλῳ περιπεσεῖται κακῷ.

[01623] Τί γὰρ ἂν ποιήσοι, λέγοντος τοῦ Παύλου·

[01624] Εἷς ὁ Θεὸς ὁ Πατὴρ ἐξ οὗ τὰ πάντα·

[01625] καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα.

[01626] Ἰδοὺ γὰρ τῷ Πατρὶ τὸ εἶναι Θεὸν καὶ ἕνα δέδωκε·

[01627] τῷ δὲ Υἱῷ τὸ εἶναι Κύριον καὶ ἕνα.

[01628] Ἆρ' οὖν διὰ τοῦτο Θεὸς μὲν οὐκ ἔσται ὁ Υἱὸς, ἐπειδὴ Θεὸς καὶ εἷς ὁ Πατὴρ κατωνόμασται;

[01629] Κύριος δὲ οὐκ ἔσται ὁ Πατὴρ, ἐπειδὴ Κύριος καὶ εἷς ὁ Υἱὸς ἐκλήθη;

[01630] Ἀλλ' οὐκ ἔστι τοῦτο, μὴ γένοιτο.

[01631] Θεοῦ γὰρ ὄντος τοῦ Πατρὸς, Θεός ἐστι καὶ ὁ Υἱός·

[01632] καὶ Κυρίου πάλιν ὄντος τοῦ Υἱοῦ, Κύριός ἐστιν ὁ Πατήρ.

[01633] Ἀλλ' εἴπερ ἦν τις οὐσίας διαφορὰ τὴν δυάδα διατειχίζουσα, καὶ οὐκ ἐῶσα μίσγεσθαι φυσικῶς εἰς ταυτότητα, οὐκ ἂν, οἶμαι, κυρίως τὸ τοῦ ἑτέρου πρόσρημα τῷ ἑτέρῳ προσῆν.

[01634] Ἐπειδὴ δὲ πάντα τὰ τοῦ Πατρὸς ἐν Υἱῷ φαίνεται, καὶ τὰ τοῦ Υἱοῦ πάλιν ἐν Πατρὶ, ὡς οὐδενὸς ἔτι τὸν τῆς ταυτότητος διείργοντος λόγον, ἔσται καὶ αὐτὸς ἀγαθὸς, ὡς ὁ Πατὴρ, καὶ διὰ τοῦτο ὁμοούσιος.

[01635] [75.117] ΑΛΛΟ.

[01636] Ὅσα τῆς πρὸς ἄλληλα φυσικῆς κοινωνίας τε καὶ ταυτότητος ἀπεσχοίνισται, ταῦτα δὴ πάντως καὶ ξενισμός τις ἰδιοτήτων τῆς πρὸς ἄλληλα σχέσεως φυσικῆς ἀποτέμνει.

[01637] Οἷον φέρε εἰπεῖν, ἄνθρωπος ἔστω καὶ ἵππος τὰ σημαινόμενα.

[01638] Ἀνθρώπῳ μὲν γὰρ ὡς πρὸς τὸν ἵππον ξένα τὰ ἴδια, ἵππῳ δὲ πάλιν ὡς πρὸς ἄνθρωπον, οὐ ταυτὰ τὰ ἰδίως προσόντα.

[01639] Εἰ τοίνυν φυσική τις διάστασις εἴργει τὸν Υἱὸν, καὶ ἀλλότριον τῆς τοῦ Πατρὸς οὐσίας ὄντα δεικνύει, πῶς τὰ τοῦ Πατρὸς ἴδια φαίνεται φορῶν;

[01640] πῶς δὲ ὁ Πατὴρ, εἴπερ ἐστὶν ἀλλότριος κατὰ φύσιν τοῦ Υἱοῦ, τὰ αὐτοῦ ἴδια φορεῖ;

[01641] Ἀληθεύει γὰρ λέγων ὁ Σωτὴρ ὡς πρὸς τὸν Πατέρα, ὅτι Πάντα τὰ ἐμὰ σά ἐστι·

[01642] καὶ πάντα τὰ σὰ ἐμά ἐστιν.

[01643] Εἰ τοίνυν πάντα, ἓν δὲ τῶν πάντων ἐστὶ καὶ τὸ ἄκρως ἀγαθὸν, ἕξει τοῦτο καὶ ὁ Υἱὸς ἰδίωμα φύσεως ὑπάρχον πατρικῆς ὡς ἐξ αὐτοῦ προελθών.

[01644] Ὁ δὲ τῆς πατρικῆς οὐσίας ἔχων τὰ ἴδια, εἴη πάντως ἂν καὶ ὁμοούσιος.

[01645] Ὅτι ὁμοούσιος ὁ Υἱὸς τῷ Πατρὶ, προκειμένου ῥητοῦ·

[01646] Πορεύομαι πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν.

[01647] Ὅτε τὴν τοῦ ἀνθρώπου μορφὴν ὁ τοῦ Θεοῦ Λόγος περιεβάλετο, καὶ διὰ τὴν ἁπάντων ἡμῶν σωτηρίαν ὑπάρχων ἐν μορφῇ Θεοῦ, καθὰ γέγραπται, τεταπείνωκεν ἑαυτὸν, τότε δὴ καὶ ὡς ἄνθρωπος ἔσθ' ὅτε διαλέγεται, οὐδὲν ἀδικούμενος εἰς τὴν δόξαν τὴν θεοπρεπῆ διὰ τούτου.

[01648] Εἰ γὰρ ὄντως ἄνθρωπος γέγονε, καὶ οὐ διὰ τοῦτο ἀπέστη τοῦ εἶναι Θεὸς, κἂν ὡς ἄνθρωπος γεγονὼς λέγῃ τὰ ἀνθρώπῳ πρέποντα, οὐ διὰ τοῦτο τὸ θεοπρεπὲς ἀξίωμα ζημιωθήσεται·

[01649] ἀλλ' ἔσται πάλιν ὁ αὐτὸς, φερομένης ἐπὶ τὴν οἰκονομίαν τῆς ἐν λόγοις ταπεινότητος.

[01650] Ὅτι δὲ οἰκονομικῶς ὡς ἄνθρωπος τὰ τοιαῦτά φησι, καλῶς ὅπερ ἀνείληφε σχῆμα λόγῳ τε καὶ ἔργῳ φυλάττων, ἐντεῦθεν εἰσόμεθα.

[01651] Λέγει γάρ που πρὸς τὴν ἐν τῇ Σαμαρείᾳ γυναῖκα τὸ Ἰουδαϊκὸν ὑποκρινόμενος πρόσωπον·

[01652] Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε·

[01653] ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν.

[01654] Καίτοι τῶν προσκυνουμένων ὁ Υἱὸς, οὐ τῶν προσκυνούντων, ἔστι.

[01655] Προσκυνησάτωσαν γὰρ αὐτῷ, φησὶ, πάντες ἄγγελοι Θεοῦ.

[01656] Καὶ περὶ μὲν ἀγγέλων ἢ ἑτέρας τινὸς τῆς κατ' αὐτοὺς τάξεως οὐδὲν φέρεται τοιοῦτο παρὰ ταῖς θείαις Γραφαῖς.

[01657] Οὐ γὰρ ἀγγέλοις κελεύεταί τις προσκυνεῖν, ἀλλὰ μόνῳ Θεῷ.

[01658] Γέγραπται γάρ·

[01659] Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.

[01660] Ὥσπερ τοίνυν προσκυνούμενος ὁ Υἱὸς, προσκυνεῖν φησιν οἰκονομικῶς, ὡς ἄνθρωπος, οὕτως ὅταν Θεὸς κατὰ φύσιν ὑπάρχων, Θεὸν ἑαυτοῦ τὸν Πατέρα καλῇ, πάλιν ὡς ἄνθρωπος οἰκονομικῶς, οὐ διὰ τοῦτο τοῦ εἶναι Θεὸς ἐκβληθήσεται·

[01661] ἀλλ' ὡς κατὰ φύσιν Υἱὸς, ἔσται δὲ ὁμοούσιος.

[01662] ΑΛΛΟ.

[01663] Εἰ ἐν μορφῇ Θεοῦ ὑπάρχων ὁ Υἱὸς καὶ ἐν ἰσότητι (τοῦτο γὰρ ὁ Παῦλός φησι), Θεὸν ἔχει κατὰ φύσιν τὸν Θεὸν καὶ Πατέρα, δύναται τούτοις ὑποπίπτειν ἡ θεία [75.120] φύσις, ἕξει καὶ ὁ Πατὴρ Θεὸν, καὶ εἰ μή πω γέγονε.

[01664] Τὸ γὰρ ἐνδεχόμενον γενέσθαι, καὶ εἰ μή πω τετέλεσται, δυνάμει τοῦτό ἐστιν ὅπερ ἐνδέχεται.

[01665] Εἰ δὲ τοῦτο δύσφημον, οὐ κατὰ φύσιν ὁ Πατὴρ τοῦ Υἱοῦ Θεὸς λέγεται, ἀλλὰ καθὸ γέγονεν ἄνθρωπος οἰκονομικῶς.

[01666] ΑΛΛΟ.

[01667] Εἰ ἐν μορφῇ Θεοῦ ὑπάρχων ὁ Υἱὸς καὶ ἐν ἰσότητι, καθὰ γέγραπται, ἐταπείνωσεν ἑαυτὸν, μορφὴν δούλου λαβὼν, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἔσται τῆς ταπεινώσεως τὰ δουλοπρεπῆ ῥήματα, οὐκ ἀναβαίνοντα μὲν πρὸς τὴν οὐσίαν αὐτοῦ, ἀλλὰ τῷ τῆς ἐνανθρωπήσεως προσώπῳ περικείμενα.

[01668] Καὶ ὥσπερ ἐκ τοῦ τῆς θεότητος ὕψους τὴν ἐν ἀνθρωπότητι ταπείνωσιν ἐπιγινώσκομεν, οὕτως τὸ ἐναντίον ἐκ τῆς ταπεινώσεως τῆς ἐν ἀνθρωπότητι, τὸ ἐν θεότητι μέγα καὶ ὑψηλὸν τῆς οὐσίας τοῦ Υἱοῦ γνωρισθήσεται.

[01669] ΛΟΓΟΣ Ι'.

[01670] Ὅτι ὁμοούσιος τῷ Πατρὶ ὁ Υἱός.

[01671] Οὐκ εὐλόγως οἱ χριστομάχοι τὰ περὶ τῆς θεότητος τοῦ Υἱοῦ γυμνάζοντες, καὶ σχέσιν ζητοῦντες ἣν ἔχει φυσικῶς πρὸς τὸν ἑαυτοῦ Πατέρα, ταῖς ἀνθρωπίνως εἰρημέναις κέχρηνται φωναῖς, αἷς ὁ Κύριος εἶπεν, ὅτε τὴν ἡμῶν σάρκα περιεβάλετο.

[01672] Οὐ γὰρ ἐξ ὧν ὡς ἄνθρωπος οἰκονομικῶς διαλέγεται, ἐν τούτῳ ἡ ἀσώματος οὐσία χαρακτηρίζεται, ἀλλ' εἰδέναι χρὴ καὶ πιστεύειν, ὅτι Θεὸς ὢν ὁ Λόγος καὶ ὁμοούσιος κατὰ πάντα τῷ Πατρὶ, τὴν ἀνθρώπου φύσιν περιεβάλετο, καὶ γέγονεν ἄνθρωπος, ἵνα καὶ ὡς ἄνθρωπος ἔσθ' ὅτε λαλῇ, διὰ τὴν μετὰ σαρκὸς οἰκονομίαν.

[01673] Λαλεῖ δὲ καὶ ὡς Θεὸς τὰ ὑπὲρ ἄνθρωπον, ὡς τοῦτο κατὰ φύσιν ὢν, καὶ ὅτε καιρὸς τὴν τούτου χρείαν εἰσφέρει.

[01674] Ἀλλ' εἴ τις βούλοιτο τὰ ἀνθρωπινώτερον καὶ οἰκονομικῶς, καθάπερ ἔφην, εἰρημένα φέρειν ἐπὶ τὸν τῆς θεότητος αὐτοῦ λόγον, καὶ πάλιν, τὰ θεϊκῶς εἰρημένα φέρειν ἐπ' ἐκεῖνον τὸν καιρὸν καθ' ὃν γέγονεν ἄνθρωπος, ἀδικήσει τῶν πραγμάτων τὴν φύσιν, καὶ ἀναιρήσει τὴν οἰκονομίαν.

[01675] Ποτὲ μὲν γὰρ ὡς Θεὸς λέγει·

[01676] Ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι.

[01677] Καὶ πάλιν·

[01678] Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ.

[01679] Εἰ δέ τις βούλοιτο μόνον αὐτῷ φυλάττειν τὸ θεοπρεπὲς ἀξίωμα, ἀναιρήσει πάντως τὸ ἐν ὑστέροις καιροῖς ἄνθρωπον γενέσθαι αὐτόν.

[01680] Οὐ γὰρ ἦν ἐν ἀνθρωπότητι, πρὶν Ἀβραὰμ γενέσθαι, οὐδὲ καθὸ ἄνθρωπος καταβέβηκεν ἐκ τοῦ οὐρανοῦ.

[01681] Καὶ πάλιν, εἴ τις θελήσει τὰ τῆς ἀνθρωπότητος ῥήματά τε καὶ πράγματα γυμνῷ προσάπτειν τῷ Θεῷ Λόγῳ πρὸ τῆς ἐνανθρωπήσεως, ἀσεβήσει μεγάλως.

[01682] Τί γὰρ ποιήσει, λέγοντος τοῦ Χριστοῦ·

[01683] Νῦν ἡ ψυχή μου τετάρακται, καὶ περίλυπός ἐστι;

[01684] Λύπην ἄρα καὶ θόρυβον δώσει περὶ τὴν τοῦ Θεοῦ φύσιν γενέσθαι, καὶ κρατεῖν θανάτου φόβον;

[01685] Τί δὲ ὅταν σταυρούμενον ἴδῃ, καὶ τοῦτο πάσχειν τοῦ Υἱοῦ τὴν θεότητα δώσει οὕτως ὡς ἄνθρωπον;

[01686] Ἢ τὸ [75.121] δύσφημον παραιτήσεται;

[01687] Οὐκοῦν ἑκατέρῳ καιρῷ τε καὶ πράγματι σωζέσθω τὸ πρέπον, καὶ γυμναζέσθω μὲν τῆς θεολογίας ὁ λόγος, μὴ πάντως ἐξ ὧν ὡς ἄνθρωπος φαίνεται λαλῶν, ἀλλ' ἐξ ὧν ἐστιν ἐκ Πατρὸς, ὡς Υἱὸς καὶ Θεός.

[01688] Συγχωρείσθω δὲ τῇ οἰκονομίᾳ τῇ μετὰ σαρκὸς, τὸ λέγειν αὐτὸν ἔσθ' ὅτε καὶ ἃ μὴ πρέπει γυμνῇ καὶ καθ' ἑαυτὴν οὔσῃ τῇ θεότητι.

[01689] Ὅταν οὖν, ὡς ἄνθρωπος, λέγῃ μὴ εἶναι ἀγαθὸς οὕτως ὡς ὁ Πατὴρ, φερέσθω μᾶλλον καὶ τοῦτο ἐπὶ τὴν οἰκονομίαν τὴν μετὰ σαρκὸς, καὶ μὴ ἁπτέσθω τῆς οὐσίας τοῦ Υἱοῦ καὶ Θεοῦ.

[01690] Ἀπολογία πιθανὴ πρὸς τὸν ἐρωτήσαντα·

[01691] Διὰ τί με λέγεις ἀγαθόν;

[01692] καὶ ἐξήγησις τοῦ ῥητοῦ.

[01693] Ἐξεταστέον ὅλην τοῦ προκειμένου τὴν διάνοιαν·

[01694] καὶ οὕτω γνωσόμεθα σαφῶς, ὅπερ ἐβούλετο διδάσκειν ὁ Χριστὸς, διὰ τοῦ φάναι·

[01695] Τί με λέγεις ἀγαθόν;

[01696] Νομικὸς προσῆλθεν (οὕτω γὰρ γέγραπται), τὸ ὅπως σωθήσεται μανθάνειν ἐπιζητῶν.

[01697] Εἶτα προτείνει διδάσκαλον αὐτὸν καὶ ἀγαθὸν προειρηκὼς τὸ, Τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;

[01698] Πρὸς ταῦτα Χριστός·

[01699] Τί με λέγεις, φησὶν, ἀγαθόν;

[01700] Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός.

[01701] Ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς.

[01702] Ἀλλ' οὐκ ἐνεγκὼν τῆς ἐντολῆς τὸ βάρος, καὶ ἀτονήσας περὶ τὴν ἀρετὴν, ὀκλάζει περὶ τὸ πρόσταγμα.

[01703] Ἀπῆλθε γὰρ, φησὶ, λυπούμενος.

[01704] Ποῖος οὖν ἦν ἐνθάδε θεολογίας καιρός;

[01705] Τῷ δὲ ἐρωτήσαντι, Τί ἄρα ποιήσας ἔσται καὶ αὐτὸς τοῖς σωζομένοις ἐναρίθμιος;

[01706] ποῖον ἔχει λόγον, μὴ ὅπερ ἐξήτησε μαθεῖν ἀποκαλύψαι μᾶλλον, ἀλλ' ἕτερόν τι παρὰ τὸ ἐκείνῳ ποθούμενον εἰπεῖν;

[01707] Πῶς δὲ οἷόν τε ἦν τὸ ἐνεγκεῖν οὐκ ἰσχύσαντα μιᾶς ἐντολῆς εὐαγγελικῆς φορτίον, τὸ ὑπὲρ πάντα διδάσκεσθαι μυστήριον, οὕτως ἀτονοῦντα περὶ τὴν τῶν ἀγαθῶν ἔφεσιν, ὡς μηδὲ λόγῳ δύνασθαι ταύτην χωρεῖν;

[01708] Λελύπηται γὰρ, ὡς γέγραπται.

[01709] Ἐπειδὴ τοίνυν ἄνθρωπον βλέπων ὁ νομικὸς, ὡς ἀνθρώπῳ πρόσεισι, καὶ ὡς ψιλὸν ἄνθρωπον ἐρωτᾷ, ἐξελέγχων ὡς ἀμαθῆ, μάλισθ' ὅτι σοφίας ὑπόληψιν ἐπραγματεύετο, διὰ τοῦ δοκεῖν εἰδέναι τὸν νόμον, δυσωπεῖ λέγων·

[01710] Μόνος ἀγαθὸς κατὰ ἀλήθειαν ὁ Θεός.

[01711] Τί τοιγαροῦν ὡς ἀνθρώπῳ προσελθὼν, τὸ μόνῳ προσὸν τῷ Θεῷ κατὰ φύσιν, ἐμοὶ περιτίθης, ἀγαθὸν ἀποκαλῶν;

[01712] Εἷς γάρ ἐστιν ὁ φύσει ἀγαθὸς, Θεὸς δηλαδή.

[01713] Εἰ μὲν οὖν οἶδάς με, φησὶ, Θεὸν ὄντα, καὶ διὰ τοῦτο ἀγαθὸν, ὅτου δὴ χάριν ὡς ἀνθρώπῳ προσέρχῃ ψιλῷ;

[01714] Εἰ δὲ οὐ πιστεύεις εἶναί με Θεὸν, ἀλλ' ἄνθρωπον οἴει με ψιλὸν, τί δή ποτε τῷ Θεῷ πρέπον ἀξίωμα μόνῳ προσάπτεις ἀνθρώπῳ;

[01715] Ἔλεγχος οὖν ἀμαθίας τὸ εἰρημένον ἐστὶν, οὐ θεολογίας ἀξίωσις.

[01716] ΑΛΛΟ.

[01717] Εἰ διὰ τὸ λέγεσθαι μόνον εἶναι καὶ ἕνα κατὰ φύ [75.124] σιν ἀγαθὸν τὸν Θεὸν, ἐκβάλλεται τῆς κατὰ τοῦτο ἐμφερείας τε καὶ ὁμοιότητος ὁ Υἱὸς τῆς πρὸς τὸν Πατέρα, φημὶ, καὶ ἔλαττον ἔσται ἀγαθὸς, διά τε τοῦτο οὐχ ὁμοούσιος, φρασάτω τις ἡμῖν τῶν χριστομαχεῖν εἰωθότων, τί ἄρα ποιήσαι ὅταν καὶ ἡμεῖς προθῶμεν αὐτοῖς τούτῳ παραπλήσιον;

[01718] Λέγει μὲν γάρ που περὶ Θεοῦ καὶ Πατρός τις τῶν ἁγίων ὅτι ὁ Θεὸς φῶς ἐστι·

[01719] λέγει δὲ καὶ περὶ τοῦ Υἱοῦ, ὅτι καὶ ἦν τὸ φῶς τὸ ἀληθινόν.

[01720] Ἰδοὺ φῶς ὁ Πατὴρ, φῶς καὶ ὁ Υἱός.

[01721] Μόνῳ δὲ τῷ Υἱῷ πρόσκειται τὸ ἀληθινόν.

[01722] Ἐκβληθήσεται ἄρα τοῦ εἶναι κατὰ ἀλήθειαν φῶς ὁ Πατὴρ, ἐπειδὴ μόνῳ τοῦτο περιτέθεικε τῷ Υἱῷ ἡ τοῦ Ἰωάννου φωνή.

[01723] Ἀλλ' οὐκ ἂν, οἶμαι, τὶς εἰς τοῦτο μανίας ἐλάσαι ποτὲ, ὡς τοῦτο παραδέξασθαι τὸ δυσσέβημα.

[01724] Εἰ τοίνυν κατὰ ἀλήθειαν ὄντος τε καὶ καλουμένου φωτὸς μόνου τοῦ Υἱοῦ, φῶς κατὰ ἀλήθειάν ἐστι καὶ ὁ Πατὴρ, καὶ ἀγαθοῦ κατὰ φύσιν ὄντος τοῦ Πατρὸς καὶ ἐπ' αὐτοῦ κεῖται τὸ μόνος, ἔσται κατὰ φύσιν ἀγαθὸς καὶ ὁ Υἱὸς, ὥσπερ καὶ ὁ Πατήρ.

[01725] Ὅπου δὲ φύσεως ταυτότης, ἐκεῖ πάντως ἔσται καὶ τὸ ὁμοούσιον.

[01726] ΑΛΛΟ.

[01727] Εἰ τὸ κατά τι διαφέρειν τὸν Υἱὸν ὡς πρὸς τὸν ἑαυτοῦ Πατέρα, τὴν αὐτὴν οὐκ ἔχειν αὐτῷ δίδωσιν οὐσίαν, ἀλλ' ἑτερογενῆ καὶ ἔκφυλον ὥσπερ αὐτὸν ἀπεργάζεται, τὸ κατὰ μηδὲν διαφέρειν ὁμοούσιον ἀποδεικνύει.

[01728] Ὅταν οὖν ἡ θεία λέγῃ Γραφὴ περὶ τοῦ Πατρὸς ὅτι φῶς ἐστιν, ἀποκαλῇ δὲ πάλιν φῶς τὸν υἱὸν, οὐδενὸς ὄντος ἐνθάδε τοῦ τὴν ὁμοιότητα διατέμνοντος (κεῖται γὰρ ἐπ' ἀμφοῖν τὸ φῶς τὸ ἀληθινὸν), τί κωλύει τὸν Υἱὸν ὁμοούσιον εἶναι τῷ Πατρί;

[01729] ΑΛΛΟ.

[01730] Εἰ ἑτερούσιός ἐστιν ὁ Υἱὸς ὡς πρὸς τὸν Πατέρα, πῶς ὁ Πατὴρ ἐν αὐτῷ φαίνεται, καὶ αὐτὸς ἐν Πατρί;

[01731] Ὁ ἑωρακὼς γὰρ ἐμὲ, φησὶν, ἑώρακε τὸν Πατέρα.

[01732] Οὐ γὰρ δή που τὴν ἀνθρώπου μορφὴν ἐν ἵππῳ θεωρήσομεν·

[01733] οὐδὲ αὖ πάλιν τὴν ἐκείνου κατόψεταί τις ἀνθρωπεία μορφῇ.

[01734] Τὸ γὰρ ὅμοιον ἐν ὁμοίῳ φαίνεται·

[01735] τὰ δὲ ἑτεροειδῆ, καὶ τῆς ἀλλήλων φυσικῆς ὁμοιότητος ἀπεσχοινισμένα, οὐκ ἂν ἐν ἀλλήλοις φαίνοιτό ποτε.

[01736] Φαίνεται δὲ Υἱὸς ἐν Πατρὶ, καὶ Πατὴρ ἐν Υἱῷ.

[01737] Οὐκ ἄρα, καθ' ὑμᾶς ἑτερούσιος, ἀλλ' ὁμοούσιος, ὡς χαρακτὴρ καὶ εἰκὼν τοῦ πατρός.

[01738] Ὅτι ὁμοούσιος ὁ Υἱὸς τῷ Πατρὶ, προκειμένου ῥητοῦ·

[01739] Πορεύομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.

[01740] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[01741] Καὶ πῶς, φησὶν, ὁ Υἱὸς ὁμοούσιος εἶναι δύναται τῷ Πατρὶ, Θεὸν καὶ αὐτὸν ἔχων;

[01742] Αὐτοῦ γὰρ φαίνεται φωνή·

[01743] Πορεύομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν·

[01744] καὶ πάλιν·

[01745] Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες;

[01746] Εἰ δὲ Θεὸς αὐτοῦ ἐστι, πῶς ὁμοούσιος;

[01747] Τὰ γὰρ τῆς αὐτῆς ὄντα φύσεως οὐκ ἂν εἶεν ἐπ' ἄλληλα κατὰ φύσιν θεοί·

[01748] ὡς οὐδὲ ψυχὴ Θεὸς ἂν ἑτέρᾳ γένοιτο ψυχῇ, οὐδὲ ἄγγελος ἀγγέλῳ.

[01749] [75.125] Πρὸς ταῦτα λύσις.

[01750] Οὐκ αἰσθάνεται πάλιν ὁ χριστομάχος κτίσμα μὲν, οὐχ Υἱὸν εἰσφέρων τὸν Κύριον, δοῦλον δὲ ἀντὶ Δεσπότου, καὶ λάτριν ἀντὶ Θεοῦ.

[01751] Εἰ γὰρ κατὰ φύσιν οἴεται Θεὸν εἶναι τοῦ Υἱοῦ τὸν Πατέρα, καὶ τὴν ἐν τοῖς ἄλλοις οἰκονομίαν οὐχ ὁρᾷ, οὔτε ὁμοούσιος ἔσται, οὔτε Δεσπότης, οὔτε Θεός.

[01752] Καλῶς γὰρ δὴ τῇδε διϊσχυρίζεται.

[01753] Ἐκβαλέτω τοιγαροῦν φανερῶς καὶ τῆς θεότητος καὶ κυριότητος τὸν Υἱὸν, καὶ τοῖς ποιήμασι συνταττέτω, ἵνα σαφὴς αὐτῶν ἡ δυσφημία γενομένη, πάντας ἀναπείσῃ λέγειν·

[01754] Πλανᾶσθε μὴ εἰδότες τὰς Γραφάς.

[01755] Δέον γὰρ ἐξετάζειν τὴν κεκρυμμένην τοῦ Λόγου δύναμιν, δυσφημοῦσιν ἀφυλάκτως, οὐκέτι Θεὸν, ἀλλὰ ναὸν Θεοῦ, τὸν Υἱὸν εἰσφέροντες, ὥσπερ ἦν τῶν ἁγίων ἕκαστος, περὶ ὧν φησιν·

[01756] Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω.

[01757] Ἔσται τοιγαροῦν κατὰ τὴν ἐκείνων μανίαν εἷς καὶ αὐτὸς τῶν κατὰ χάριν κεκλημένων υἱῶν καὶ θεῶν, πρὸς οὓς εἴρηκεν·

[01758] Ἐγὼ εἶπα·

[01759] Θεοί ἐστε καὶ Υἱοὶ ὑψίστου πάντες.

[01760] Ὧν ὅτι παντελῶς ἀφέστηκε, καὶ φύσεως ὑπεροχῇ μεμέρισται, διδάξει σαφῶς ἐν Εὐαγγελίῳ Χριστὸς, λέγων·

[01761] Ὑμεῖς ἐκ τῶν κάτω ἐστὲ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί·

[01762] κάτω λέγων τὴν βασιλευομένην καὶ ὑποκειμένην τὴν φύσιν·

[01763] ἄνω δὲ πάλιν τὴν βασιλεύουσαν καὶ τοῖς πᾶσιν ἐποχουμένην θεότητα.

[01764] Ἀληθῶς τοίνυν τοῦ Χριστοῦ λέγοντος ἄνωθεν εἶναι, οὗτος αὐτὸν ἐκ τῶν κάτω φησὶ, φανερῶς τοῦ Υἱοῦ τὴν οὐσίαν συκοφαντῶν.

[01765] Ὅτι ὁμοούσιος τῷ Πατρὶ ὁ Υἱός.

[01766] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[01767] Καὶ πῶς, φησὶν, ἔσται τῷ Πατρὶ ὁμοούσιος ὁ Υἱός, αἴτιον αὐτὸν τοῦ εἶναι ἔχων;

[01768] Ὃ μὴ πρόσεστι τῷ Πατρί.

[01769] Οὐ γὰρ ἐξ αἰτίου τινὸς, ὅπερ ἂν, ὡς οἶμαι, πᾶς τις οὐν ἀληθὲς εἶναι φήσειεν.

[01770] Πρὸς τοῦτο λύσις.

[01771] Πολλὴν ἄν τις εἰκότως ἀμαθίαν καταψηφίσαιτο τῶν τὰ τοιαῦτα τολμώντων λαλεῖν.

[01772] Υἱὸν γὰρ λέγοντες.

[01773] οὐχ ὁμοούσιον εἶναί φασιν, οὐκ αἰσθανόμενοι τάχα πρὸς ἣν ἐμβαίνουσιν ἄνοιαν.

[01774] Εἰ γὰρ Υἱός ἐστιν, ὥσπερ οὖν καὶ ἔστιν ἀληθῶς, ἔσται πάντως τῷ γεγεννηκότι κατὰ τὴν οὐσίαν ὁ αὐτός.

[01775] Εἰ δὲ οὐκ ἔστιν Υἱὸς, καθ' ὑμᾶς, δείξατε γυμνὴν ἑαυτῶν τὴν βλασφημίαν, καὶ λέγετε ποίημα εἶναι, ἵνα μηδὲ ὁμοούσιος ᾖ.

[01776] Καὶ τότε δειχθήσεσθε πάσαις μαχόμενοι ταῖς θείαις Γραφαῖς.

[01777] Υἱὸν γὰρ λέγουσι τὸν Υἱὸν, καὶ οὐ ποίημα.

[01778] ΑΛΛΟ Αἴτιον γεγενῆσθαι τοῦ εἶναι τῷ Υἱῷ τὸν Πατέρα φατὲ, κατὰ τίνα τρόπον, ὦ χριστομάχοι;

[01779] Εἰ μὲν οὖν ὡς δημιουργόν τινα ποίημα φαντάζεσθε, καὶ οὐχ Υἱὸν, καὶ διαῤῥήδην μάχεσθε τῷ Πατρὶ λέγοντι περὶ τοῦ ἰδίου γεννήματος·

[01780] Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐξεγέννησά σε.

[01781] Εἰ δὲ Υἱὸν ὄντως ὁμολογεῖτε, καὶ οὕτως εἶναι πιστεύετε, ἀνάγκη πᾶσα μὴ ὡς δημιουρ [75.128] γὸν αἴτιον τοῦ εἶναι τῷ Υἱῷ γεγενῆσθαι λέγειν τὸν Πατέρα, ἀλλ' ὡς γεννήτορα φυσικῶς.

[01782] Κωλύει δὲ οὐδὲν, μᾶλλον δὲ ἀνάγκη πᾶσα τὸ ἔκ τινος φυσικῶς προελθὸν, ὅμοιον εἶναι κατ' οὐσίαν αὐτοῦ, κἂν αἴτιον αὐτὸ τοῦ εἶναι ἔχοι.

[01783] ΑΛΛΟ.

[01784] Εἰ πᾶν ὅπερ ἂν ἐξ αἰτίου τινὸς γένηται, τοῦτο πάντως ἔσται πρὸς αὐτὸ καὶ ἀνομοιούσιον, πῶς ὁ Ἄβελ ἐξ αἰτίου γεννηθεὶς τοῦ Ἀδὰμ, ὅμοιος ἦν αὐτῷ κατ' οὐσίαν;

[01785] Οὐκοῦν ἀνάγκη πᾶσαν ἁπλῶς γεννητικὴν φύσιν, ὅμοια πάντως αὐτῇ τὰ ἐξ αὐτῆς ἔχειν, κἂν τὸ τίκτον αἴτιον ᾖ φυσικῶς τῷ ἐξ αὐτοῦ τικτομένῳ.

[01786] ΑΛΛΟ.

[01787] Εἰ διὰ τοῦτο κατ' οὐσίαν ὁ Υἱὸς οὐκ ἔσται τῷ Πατρὶ προσεοικὼς οὐδὲ ὁμοούσιος, ἐπειδήπερ ὁ μὲν Πατὴρ οὐκ ἐξ αἰτίου τινός ἐστιν, ὁ δὲ Υἱὸς αἴτιον αὐτὸν ἔχει, τί κωλύσει λέγειν ὅτι καὶ ὁ Κάϊν οὐκ ἂν εἴη τῷ πατρὶ ὁμοούσιος;

[01788] Ἐπειδήπερ ὁ μὲν Ἀδὰμ ὑπ' οὐδενὸς ἐγεννήθη·

[01789] πρῶτος γὰρ ἦν ἄνθρωπος.

[01790] Ὁ δὲ Κάϊν αἴτιον ἔσχεν αὐτόν·

[01791] ἐξ αὐτοῦ γὰρ γέγονεν.

[01792] Εἰ δὲ ψεύσεται πάντως ὁ τοῦτο λέγων (ὁμοούσιος γὰρ τῷ Ἀδὰμ ὁ Κάϊν), ἔσται τῷ Πατρὶ πάντως ὁμοούσιος ὁ Υἱὸς, κἂν αἴτιον αὐτὸν ἔχῃ τοῦ εἶναι, ἐξ αὐτοῦ προελθὼν ἀχρόνως, καὶ ἀϊδίως ὢν σὺν αὐτῷ.

[01793] ΑΛΛΟ.

[01794] Ὡς ἐξ ἀντιθέσεως τῶν Εὐνομίου.

[01795] Καὶ πῶς ἔσται, φησὶ, τὸ ἀγέννητον τῷ γεννητῷ ὁμοούσιον;

[01796] Πολλὴ γὰρ ἐν αὐτοῖς ἡ διαφορά.

[01797] Πρὸς τοῦτο λύσις.

[01798] Οὐκ ἀνατρέψει τὸ σοφὸν τῶν χριστομάχων πρόβλημα τὸ εἶναι τὸν Υἱὸν ὁμοούσιον τῷ Πατρὶ, ἐπειδήπερ ὁ μὲν Πατὴρ ἀγέννητός ἐστιν, Υἱὸς δὲ γεννητός.

[01799] Εἰ γὰρ τὸ κατά τι διαφέρειν, πάντως καὶ διάφορον ἐν τοῖς οὖσι τὴν φύσιν ἀπεργάζεται, καὶ τῆς πρὸς ἄλληλα κοινωνίας τε καὶ φυσικῆς ὁμοιότητος ἀποτέμνει τὰ γένη·

[01800] διοριζέτωσαν, φέρε εἰπεῖν, καὶ τὸν Παῦλον ἀπὸ τοῦ Πέτρου κατὰ τὸν τῆς οὐσίας λόγον, ἐπειδήπερ τινὰ μερικὴν ἔχουσι καὶ ὡς ἐν ἀτόμῳ πρὸς ἀλλήλους τὴν διαφορὰν, καθ' ἣν ὁ μὲν ἔστι Πέτρος, ὁ δὲ Παῦλος.

[01801] Ὁρῶμεν δὲ ὅτι πολλάκις καὶ τὰ καθ' ἕτερόν τινα τρόπον τῆς ἀλλήλων ὁμοιότητος πολὺ διεστηκότα, κοινωνεῖ κατὰ τὸν τῆς οὐσίας λόγον.

[01802] Ὁ μὲν γὰρ μέλας ἄνθρωπος τυχὸν ὡς πρὸς τὸν λευκὸν πολλὴν ἔχει τὴν διαφορὰν, ἀλλ' οὐ τοῦτο τὴν οὐσίαν αὐτοῖς διατέμνει.

[01803] Εἰ τοίνυν καὶ ἐφ' ἡμῶν αὐτῶν ἡ κατά τι διαφορὰ τὸ εἶναι τῆς αὐτῆς οὐσίας οὐκ ἀνατρέπει, ἧς ἂν εἶεν κἀκεῖνοι πρὸς οὓς ἂν διακρινοίμεθα·

[01804] τί κωλύει καὶ τὸν Υἱὸν ὁμοούσιον εἶναι τῷ Πατρὶ, κατὰ τοῦτο διαφέροντα καθ' ὃ μὲν Πατὴρ ἀγέννητός ἐστιν, ὁ δὲ Υἱὸς γεννητός;

[01805] Μία γὰρ ἐν αὐτοῖς ἡ θεότης, ἐκ Πατρὸς ἀγεννήτου τρέχουσα φυσικῶς ἐπὶ τὸ γέννημα.

[01806] [75.129] ΑΛΛΟ.

[01807] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[01808] Οὐκ ἂν εἴη τέλειος, φησὶ, μὴ πάντως ἀπό τινος ἐκτρέχων ἀρχῆς.

[01809] Εἰ τοίνυν κατέπαυσεν ὁ Πατὴρ γεννῶν τὸν Υἱὸν, τὸ δὲ καταπαῦσαι τέλος ἐστὶν, ἀρχὴν ἄρα ἔχει τοῦ εἶναι.

[01810] Πῶς οὖν ὁ τοιοῦτος ὁμοούσιος ἔσται τῷ ἐκ μηδεμιᾶς ἀρχῆς ὄντι Πατρί;

[01811] Πρὸς τοῦτο λύσις.

[01812] Εἰ κατέπαυσεν ὁ Πατὴρ, καθ' ὑμᾶς, ὦ χριστομάχοι, γεννῶν τὸν Υἱὸν, καὶ ἀπό τινος ἀρχῆς ἤρξατο (τοῦτο γὰρ ὑμῶν ἡ πρότασις ἔχει), προσγέγονεν ἄρα τῷ Πατρί.

[01813] Τὸ δὲ προσγεγονὸς καὶ ἀρχὴν ἔχον τοῦ εἶναι, πρόσφατον ἂν εἴη πάντως καὶ ἀναγκαίως.

[01814] Πῶς δὴ οὖν ἄρα θήσετε τὸν Υἱὸν Θεὸν εἶναι παρὰ τῆς θείας Γραφῆς οὐ συγχωρούμενον, ἂν οὕτως ἔχῃ, καθάπερ ὑμεῖς φατε;

[01815] Οὐκ ἔσται γὰρ ἐν σοὶ Θεὸς, φησὶ, πρόσφατος.

[01816] Ἀλλ' οἶδεν αὐτὸν ἡ θεία Γραφὴ καὶ Υἱὸν ὄντα καὶ Θεόν.

[01817] Οὐκ ἄρα πρόσφατος, οὐδὲ ἀρξάμενος τοῦ γεννᾶσθαι, καθ' ὑμᾶς·

[01818] ἀλλὰ γεννητὸς μὲν, συναΐδιος δὲ ὅμως ὡς Υἱὸς ὢν ἐν τῷ Πατρί.

[01819] Εἰ δὲ τὸ εἶναι πρόσφατον οὐ συγχωρήσει τῆς αὐτῆς οὐσίας εἶναι τῷ Πατρὶ τὸν Υἱὸν, τὸ μὴ εἶναι πρόσφατον, ὁμοούσιον ἀποδείξει.

[01820] ΑΛΛΟ.

[01821] Εἰ μόνῳ Θεῷ τῷ κατὰ φύσιν τὸ προσκυνεῖσθαι παρά τε ἡμῶν καὶ ἀγγέλων ὀφείλεται, ἑτέρῳ δὲ οὐδενὶ, καὶ ἐφ' ἡμῶν μὲν τέθειται·

[01822] Κύριον τὸν Θεόν σου προσκυνήσεις, ἀγγέλοις δὲ τὸ Πνεῦμα κελεύει προσκυνεῖν τὸν Υἱὸν, κατὰ τὸ, Ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει·

[01823] Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ, Θεὸς ἄρα ἐστὶν ὁ προσκυνούμενος Υἱός.

[01824] Πῶς οὖν ἔσται μία θεότης, εἰ οὐκ ἔστι, καθ' ὑμᾶς, ὁμοούσιος τῷ Πατρί;

[01825] Εἰ γὰρ ἔχει τινὰ διάστασιν ἤτοι διαφορὰν κατὰ τὸν τῆς οὐσίας λόγον, ἑτεροῖος μὲν ἂν εἴη Θεὸς ὁ Υἱὸς, ἑτεροῖος δὲ ὁ Πατὴρ, καὶ δύο κατὰ τοῦτο Θεοὺς ἀνάγκη λέγειν·

[01826] ὅπερ ἐστὶν ἀσεβὲς, καὶ οὐδὲ μέχρι μόνον ἀκοῆς παραδεκτόν.

[01827] Ἀλλ' ἔστι μία θεότης, καὶ οὕτω κηρύττουσιν αἱ θεῖαι Γραφαί·

[01828] ὁμοούσιος ἄρα τῷ Πατρὶ ὁ Υἱός.

[01829] Οὕτω γὰρ τὸ ἓν Θεότητι σωθήσεται.

[01830] ΑΛΛΟ.

[01831] Εἰ ἤρξατο τοῦ γεννᾷν τὸν Υἱὸν ὁ Πατὴρ καὶ κατέπαυσε, κατὰ τὴν τῶν χριστομάχων μανίαν, ἀλλοίωσίς τις καὶ μεταβολὴ περὶ αὐτὸν γέγονεν.

[01832] Ὃ γὰρ οὐκ ἦν πρὶν γεννήσῃ, γέγονε μετὰ τὸ γεννῆσαι.

[01833] Εἰ δὲ τῶν τοιούτων ἀνωτέρω τὸ θεῖόν ἐστι τροπῆς τε καὶ ἀλλοιώσεως ἀνεπίδεκτον, οὐκ ἤρξατο τοῦ γεννᾷν, οὐδὲ κατέπαυσε, καθάπερ οὗτοί φασιν·

[01834] ἀλλ' ἦν ἀχρόνως ἐν Πατρὶ ὁ τῶν αἰώνων καὶ χρόνων ποιητὴς Υἱός.

[01835] Ἐπειδὴ δὲ συναΐδιος, διὰ τοῦτο καὶ ὁμοούσιος.

[01836] ΑΛΛΟ.

[01837] Εἰ ἤρξατο τοῦ γεννᾷν ὁ Πατὴρ τὸν Υἱὸν, προσγέ [75.132] γονεν ἄρα τῇ οὐσίᾳ αὐτοῦ τοῦτο, καὶ ὅπερ οὐκ εἶχεν ἐν ἀρχῇ, προσέλαβεν ὕστερον.

[01838] Τὸ δὲ προσθήκην ἐπιδεχόμενόν τινα, ἀτελὲς ἂν εἴη, καὶ οὐ τέλειον.

[01839] Ἀλλὰ τοῦτο ἄτοπον·

[01840] τελεία γὰρ ἡ τοῦ Πατρὸς οὐσία.

[01841] Οὐκ ἄρα προσγέγονεν αὐτῇ τὸ γεννᾷν, ἀλλ' ἦν ἐν αὐτῇ τοῦτο οὐκ ἀρξάμενον.

[01842] Εἰ δὲ οὐκ ἤρξατο γεννᾷν, συναΐδιος ἄρα ἐστὶ τῷ Πατρὶ ὁ ἐξ αὐτοῦ γεννηθεὶς Υἱός.

[01843] Καὶ ὥσπερ εἰ ἀρχὴν ἔσχε τοῦ εἶναι, οὐκ ἂν ἦν ὁμοούσιος, οὕτως ἐπεὶ μὴ ἔσχεν ἀρχὴν τὴν ἐν χρόνῳ, ἔσται πάντως ὁμοούσιος.

[01844] ΑΛΛΟ, διηγηματικῶς.

[01845] Ὥσπερ οἱ τῇ ἀληθείᾳ μαχόμενοι, ἀρχὴν καὶ τέλος τῇ τοῦ Υἱοῦ γεννήσει περιτιθέντες, ἐκβάλλουσιν αὐτὸν τῆς ὁμοιότητος τῆς πρὸς τὸν Γεγεννηκότα·

[01846] οὕτω καὶ ἡμεῖς οὔτε ἀρχὴν, οὔτε τέλος περὶ τὴν τοῦ Υἱοῦ γέννησιν παραδεχόμενοι, εἰσφέρομεν αὐτὸν εἰς ἀπαράλλακτον ὁμοιότητα τὴν πρὸς τὸν Πατέρα.

[01847] Τὸ δὲ ὅμοιον κατὰ πάντα, καὶ ὁμοούσιον.

[01848] Ὅτι ὁμοούσιος ὁ Υἱὸς τῷ Πατρί.

[01849] Πρότασις ὡς ἐκ τῶν Ἀετίου.

[01850] Καὶ πῶς ἂν δύναιτο, φησὶ, ταυτότης οὐσίας ἐπί τε Πατρὸς καὶ Υἱοῦ σώζεσθαι, εἴ γε ὁ μὲν Πατὴρ ἀγέννητός ἐστι, γεννητὸς δὲ ὁ Υἱός;

[01851] Ἀνάγκη γὰρ πᾶσα λέγειν ἐν οὐδενὶ παραλλάττειν τὸ ἀγέννητον πρὸς τὸ γεννητόν.

[01852] Εἰ δὲ τοῦτο, οὐδὲν κωλύσει καὶ τὸν Πατέρα γεννητὸν εἶναι λέγειν καὶ τὸν Υἱὸν ἀγέννητον, καὶ συγκέχυται τὸ πᾶν.

[01853] Πρὸς ταῦτα λύσις.

[01854] Ὁ ταῦτα προτείνων ἀμαθῶς, ἀντακούσεται παρ' ἡμῶν·

[01855] Καὶ πῶς ἂν δύναιτο ταυτότης οὐσίας μὴ σώζεσθαι ἐπί τε Πατρὸς καὶ Υἱοῦ, εἴ γε τοῦ Πατρὸς εἰκών ἐστιν ὁ Υἱὸς, καὶ ἐν ἑαυτῷ δείκνυσι τὸν Πατέρα;

[01856] Εὔδηλον γὰρ δή πουθέν ἐστι καὶ πᾶσιν ὁμολογούμενον, ὡς οὐδεὶς ἐν ἑτέρᾳ φύσει τὴν ἑτέραν ὄψεται·

[01857] οὐδ' ἄν τις ἔχοι λέγειν ἵππον ἑωρακὼς, ὅτι δή τινα τῶν ἀνθρώπων τεθέαται.

[01858] Ἐν γὰρ τοῖς ὁμοφυέσιν ἡ τῶν ὁμοίων ἀπόδειξις, οὐκ ἐν τοῖς ἀλλήλων διεστηκόσι, κατὰ τὸν τοῦ πῶς εἶναι λόγον.

[01859] Εἰ τοίνυν ζητοῦντι τῷ Φιλίππῳ τὸν Πατέρα ἰδεῖν, ἑαυτὸν ἐπιδεικνύει Χριστὸς, λέγων·

[01860] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα, ἀνάγκη πᾶσα τῆς αὐτῆς οὐσίας εἶναι λέγειν τὸν Υἱὸν τῷ Πατρὶ, ὡς ἀπαράλλακτον εἰκόνα καὶ χαρακτῆρα τῆς ὑποστάσεως αὐτοῦ.

[01861] ΑΛΛΟ.

[01862] Ὁμοούσιον ἑαυτὸν ὄντα τῷ Πατρὶ διδάσκων ὁ Κύριος ὁρᾶται πανταχοῦ, καίτοι γεννητὸς ὑπάρχων·

[01863] ἐπεὶ πῶς ἑαυτὸν Υἱὸν εἶναί φησι;

[01864] Πρὸς ταῦτα τὴν ἀπὸ τῶν οἰκείων λογισμῶν ἀσθένειαν ἀντεπάγοντες οἱ χριστομάχοι, μὴ δύνασθαί φασιν, ἐπειδὴ γεννητός ἐστι, τῆς αὐτῆς οὐσίας εἶναι τῷ ἀγεννήτῳ Πατρί, Ἐκεῖνα τοιγαροῦν περὶ ἑαυτοῦ φάσκοντος τοῦ Χριστοῦ, ταῦτα δὲ τῶν χριστομάχων, τίς εἰς τοῦτο μωρίας ἐκβήσεται, ὡς οἴεσθαι δεῖν ἀνθρώπῳ μᾶλλον ἢ [75.133] Θεῷ πιστεύειν, καὶ μὴ τὴν καλὴν ἐκείνην τῶν ἀποστόλων φθέγγεσθαι φωνὴν, λέγειν τε πρὸς τοὺς ἀνοσίους αἱρετικούς·

[01865] Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις;

[01866] Εἰ γὰρ ἀτονοῦσι περὶ τὴν τῆς ἀληθείας κατάληψιν, οὐκ ἀδικήσει τοῦτο προσούσης αὐτοῖς ἀβουλίας.

[01867] ΑΛΛΟ.

[01868] Γεγεννῆσθαι τὸν Υἱὸν ἐκ Πατρὸς, καὶ αὐτοὶ πάντως ὁμολογεῖτε·

[01869] οὐ γὰρ ὡς ἓν τῶν ποιημάτων ἔξω τῆς οὐσίας τοῦ τεκόντος κείσεται.

[01870] Καὶ πῶς οὐκ ἔσται τῷ τεκόντι πάντως ὁμοούσιος, εἴ γε ὄντως ἐστὶ γέννημα, καρπὸς ὥσπερ τις φυσικὸς τοῦ γεννήσαντος ὑπάρχων;

[01871] Εἰ μὲν οὖν τοῦτον ἔχειν δώσετε τὸν τρόπον, ἔσται πάντως καὶ ὁμοούσιος·

[01872] εἰ δὲ μέχρι διακόνου φωνῆς καὶ προσηγορίας ψιλῆς γέννημα καλεῖται, λεγέσθω ποίημα παρ' ὑμῶν, ἵνα δὴ καὶ σαφέστερον δυσφημοῦντες φαίνησθε.

[01873] ΑΛΛΟ.

[01874] Ὡς ἐξ ἀντιθέσεως τῶν Ἀετίου.

[01875] Εἰ ἀμέριστός ἐστι, φησὶ, τὴν οὐσίαν ὁ Θεὸς, οὐκ οὐσίας διαστάσει τὸ γεννηθὲν ἐγεννήθη, ἀλλ' ὑπέστη κατ' ἐξουσίαν.

[01876] Καὶ πῶς ἂν εἴη τῆς αὐτῆς οὐσίας ἡ ὑποστᾶσα φύσις πρὸς τὴν ὑποστήσασαν αὐτόν;

[01877] Πρὸς ταῦτα λύσις.

[01878] Τὸ μέγα τοῦτο καὶ βαθὺ, καθάπερ οἴονται, σόφισμα, τὸ μὴ μερίζεσθαι τοῦ Θεοῦ τὴν οὐσίαν, τῆς αὐτῆς οὐσίας εἶναι τὸν Υἱὸν τῷ Πατρὶ, πῶς οὐκ ἐπιτρέψει παρὰ τοῖς ὀρθῶς δοκιμάζειν εἰωθόσι τὰ πράγματα;

[01879] Λεγέτωσαν ἡμῖν οἱ δεινοὶ καὶ φιλαίτιοι.

[01880] Οὐ γὰρ ἐπειδήπερ ἀμέριστός ἐστι τὴν οὐσίαν ὁ Θεὸς, διὰ τοῦτο καὶ τῆς γεννητικῆς δυνάμεως ἔρημος ἔσται, καθ' ὑμᾶς.

[01881] Καὶ οὐκ ἀπόδειξιν ἔχει τοῦ μὴ δύνασθαι γεννᾷν αὐτὸν, τὸ ἀμέριστον εἶναι κατὰ τὴν οὐσίαν.

[01882] Εἰ δὲ τιμᾷν οἴονται τὸν Θεὸν, σώζοντες μὲν αὐτῷ τὸ μερίζεσθαι μηδαμῶς, ἀποστεροῦντες δὲ τοῦ δύνασθαι γεννᾷν, ὡς διὰ τοῦτο κατ' ἐξουσίαν ὑποστῆσαι τὸν Υἱὸν, ἀκουέτωσαν ὅτι πολὺ μεῖζον καὶ κάλλιον τῆς κατ' ἐξουσίαν λαμπρότητος τῆς φυσικῆς ἐνεργείας ἡ χάρις.

[01883] Ἀξιολογώτερον γὰρ τὸ ἀμερίστως οἴεσθαι τὸν Θεὸν γεννᾷν ἐξ αὐτοῦ ἀῤῥήτῳ τινὶ καὶ ἀκαταλήπτῳ τρόπῳ, ἢ διὰ τὸ μὴ μερίζεσθαι, καθ' ὑμᾶς, μηδὲ γεννᾷν ἰσχύειν.

[01884] ΑΛΛΟ.

[01885] Εἰ κατ' ἐξουσίαν, ὥς φατε, τὸν Υἱὸν ὑπέστησεν ὁ Πατὴρ, περιττῶς καλεῖται καὶ Υἱός.

[01886] Τὸ γὰρ οὐκ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς προελθὸν, πῶς ἂν λέγοιτο καὶ ὁ Υἱός;

[01887] Τὸ δὲ ἔκ τινος κατὰ φύσιν προελθὸν, ἐπαληθεύουσαν ἔχει καὶ τὴν τοῦ γεννήματος ἐπωνυμίαν.

[01888] Ἐγεννήθη τοιγαροῦν ὁ Υἱὸς, ὁμοούσιος ἄρα τῷ Πατρί.

[01889] Καὶ μία γὰρ τοῖς γεννωμένοις πρὸς τὰ γεννῶντα φύσις.

[01890] ΑΛΛΟ.

[01891] Εἰ καθάπερ ὑμεῖς οἴεσθε πλανῶντές τε καὶ πλα [75.136] νώμενοι, οὐκ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς προῆλθεν ὁ Υἱὸς, ὑπέστη δὲ ἐξουσιαστικῶς, καὶ ἔστιν αὐτὸς ἡ σοφία καὶ δύναμις τοῦ Πατρὸς, οὔτε σοφὸς κατὰ φύσιν ἐστὶν ὁ Πατὴρ, οὔτε μὴν δυνατός.

[01892] Εἰ δὲ, κατὰ τὴν ἀμαθεστάτην ὑμῶν πρότασιν, ἔξωθεν ὑπέστησε τὸν Υἱὸν, ὅς ἐστιν αὐτοῦ σοφία καὶ δύναμις, ἀλλ' ἔστι κατὰ φύσιν σοφός τε καὶ δυνατὸς, ἀνάγκη πᾶσα καὶ τὸν Υἱὸν ἐκ τῆς τοῦ Πατρὸς οὐσίας εἶναι λέγειν, εἰ δὲ τοῦτο, καὶ ὁμοούσιος.

[01893] ΑΛΛΟ.

[01894] Ἀναγκαῖον ἐρέσθαι τοὺς ὅσοι τὸν Υἱὸν κατ' ἐξουσίαν ὑποστῆναι τὴν τοῦ Πατρὸς, καὶ οὐκ ἐξ αὐτοῦ γεγεννῆσθαί φασι, τί τὸ πεπεικὸς τὸν Πατέρα τὸν Υἱὸν ὑποστῆσαι κατὰ τὸν ὑμῶν ἀμαθῆ λόγον.

[01895] Ἀναγκαίως ἄρα τοῦτο πεποίηκεν, ἢ χαρίσασθαι τῷ Υἱῷ βουληθεὶς, ὅτι δὴ καὶ αὐτὸν εἰς ὑπόστασιν ἄγοι καθάπερ καὶ ἡμᾶς.

[01896] Εἰ μὲν οὖν ἀναγκαίως ἀνάγκη δώσετε τὸν Θεὸν ὑποκεῖσθαι, εἰ δὲ μὴ τοῦτο, χαρίσασθαι δὲ βουληθέντα τῷ Υἱῷ, ἑαυτῷ χαρισάμενος φανεῖται τὸ εἶναι δημιουργὸς καὶ δυνατὸς καὶ σοφὸς, εἴ γε ἐν Υἱῷ ταῦτά ἐστι.

[01897] Πάντα γὰρ δι' αὐτοῦ ἐγένετο, φησὶν ἡ Γραφὴ, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν.

[01898] Καὶ πάλιν, Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία.

[01899] Ἀλλὰ μὴν οὐχ ἑαυτῷ ταῦτα χαρίζεσθαί φαμεν τὸν Θεὸν καὶ Πατέρα, ἀλλ' εἶναι φυσικῶς σοφόν τε καὶ δυνατόν.

[01900] Οὐκ ἐξουσιαστικῶς ἄρα τὸν Υἱὸν ὑπέστησε, καθ' ὑμᾶς, ἀλλὰ τῆς οἰκείας φύσεως ἔχει καρπόν·

[01901] ἐπειδὴ δὲ τοῦτο, καὶ ὁμοούσιος.

[01902] Τὸ γὰρ ἐκ Θεοῦ προελθὸν κατὰ φύσιν, οὐκ ἀλλότριον αὐτοῦ.

[01903] Ὅτι τῷ Θεῷ καὶ Πατρὶ ὁμοούσιος ὁ Υἱός.

[01904] Εἰ δι' ἣν ἔλαβε μορφὴν ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων, ὁμοούσιος ἡμῶν ὅτι ἐξ ἡμῶν, ἔστι δὲ μορφὴ Θεοῦ ὁ Υἱὸς, ὁμοούσιος ἄρα ἐκείνῳ, οὗ καὶ ἔστι μορφή;

[01905] ΑΛΛΟ.

[01906] Εἰ τῷ καθ' ἡμᾶς φωτὶ τὸ ἀπαύγασμα αὐτοῦ ἐστιν ὁμοούσιον, ὁ δὲ Υἱὸς τοῦ ἀϊδίου φωτός ἐστιν ἀπαύγασμα, ὁμοούσιος ἄρα καὶ αὐτὸς τῷ φωτὶ, οὗ καὶ ἔστιν ἀπαύγασμα, τῶν ὑποδειγμάτων κατά τι μέρος τῆς οἰκείας φύσεως εἰς τὸ ὅμοιον παραγομένων.

[01907] ΑΛΛΟ.

[01908] Εἰ τὸ ἴσον ἐν νοητοῖς οὐ ποσότητι μετρητὸν, τὸ δ' οὕτως ἴσον, καὶ ὁμότιμον ἐξ ἀνάγκης καὶ ὁμοούσιον, ἔστι δὲ ἴσος καὶ ὁμότιμος τῷ Πατρὶ ὁ Υἱὸς, κατὰ τὰ

θεῖα Λόγια, ἐξ ἀνάγκης ἔσται καὶ ὁμοούσιος·

[01909] τοῦ ἴσου κατὰ τὸ ποσὸν ἐν ἀσωμάτῳ φύσει μὴ θεωρουμένου, ἀλλὰ μᾶλλον ἐν οὐσίας ταυτότητι.

[01910] ΑΛΛΟ.

[01911] Εἰ τὰ κατ' ἀλήθειαν, ἀλλ' οὐ θέσει, γεννώμενα, ὁμοούσια τῶν κατ' ἀλήθειαν γεννώντων ὡμολόγηται, ἔστι δὲ τῶν κατ' ἀλήθειαν γεννηθέντων ὁ Υἱὸς ἤπερ [75.137] τῶν κατὰ θέσιν, ὁμοούσιος ἄρα τῷ κατ' ἀλήθειαν αὐτὸν, ἀλλ' οὐ θέσει, γεγεννηκότι Θεῷ.

[01912] ΑΛΛΟ.

[01913] Εἰ τὸ οὐσιωδῶς γεννώμενον κληρονομεῖ τὴν τοῦ γεγεννηκότος οὐσίαν, ἔχον ταύτην ἐν ἑαυτῷ, ἔχει δὲ πάντα τὰ τοῦ Πατρὸς ὁ Υἱὸς, οὐσιωδῶς ἄρα γεγέννηται.

[01914] ΑΛΛΟ.

[01915] Εἰ μηδὲν τῶν μετὰ τὸν Υἱὸν ἐκ μὴ ὄντων οὐσίας ὑφίστησιν, ὑφίστησι δὲ ὁ Υἱὸς, οὐκ ἄρα τῶν μετ' αὐτὸν ἔσται συγγενὴς, ἀλλὰ τῷ ἐκ μὴ ὄντων ὑφιστῶντι ὁμοούσιος.

[01916] Τὰ γὰρ τῆς αὐτῆς ἐνεργείας ὄντα, καὶ τῆς αὐτῆς οὐσίας ὡμολόγηνται.

[01917] ΑΛΛΟ.

[01918] Εἰ τὰ τῆς αὐτῆς ἐνεργείας ἀπαραλλάκτως ὑπάρχοντα, καὶ τῆς αὐτῆς οὐσίας ὡμολόγηνται, ἔστι δὲ τῆς αὐτῆς τῷ Πατρὶ ἐνεργείας ὁ Υἱὸς, πάντα ὅσα ποιεῖ καὶ αὐτὸς ὁμοίως ποιῶν, ὁμολογουμένως ἔσται καὶ τῆς αὐτῆς οὐσίας, διὰ τὸ καὶ τῆς αὐτῆς εἶναι ἐνεργείας.

[01919] ΑΛΛΟ.

[01920] Εἰ φύσει Θεός ἐστιν ὁ Πατὴρ, ἀλλ' οὐ μετοχῇ, ἔστι δὲ φύσει Θεὸς καὶ ὁ Υἱός.

[01921] Εἴπερ τῶν κατὰ μετοχὴν ὑπερέχει, τῆς αὐτῆς ἄρα φύσεως ἔσται τῷ Πατρὶ, ἀλλ' οὐ τοῖς κατὰ μετοχήν.

[01922] ΑΛΛΟ.

[01923] Εἰ μετοχῇ, ἀλλ' οὐ φύσει, Θεὸς ὁ Υἱὸς, πολλοὶ δὲ οἱ κατὰ μετοχὴν θεοὶ, οὐδὲν ἄρα πλεονάζει τῶν πολλῶν εἰς ὑπεροχὴν οὐσίας.

[01924] Εἰ δὲ μὴ ἔσται μετοχῇ, ὅτι τῶν κατὰ μετοχὴν αὐτός ἐστι ποιητὴς, τῆς αὐτῆς ἄρα φύσεως ἔσται τῷ Πατρὶ, ἀλλ' οὐ τοῖς κατὰ μετοχήν.

[01925] ΑΛΛΟ.

[01926] Εἰ πᾶσα οὐσία λογικὴ, οὐ μόνῳ τῷ θέλειν, ἀλλὰ καὶ τῷ ἐνεργεῖν καὶ πάσχειν δημιουργεῖ, μόνη δὲ ἡ ἀγέννητος οὐσία τῷ θέλειν καὶ μὴ πάσχειν, θέλων δὲ καὶ μὴ πάσχων δημιουργεῖ ὁ Υἱός, τῆς ἐν θελήσει μόνῃ δημιουργούσης οὐσίας ἐστὶν, ἀλλ' οὐ τῆς ἐνεργούσης κατὰ πάθος.

[01927] ΑΛΛΟ.

[01928] Εἰ πᾶν τὸ γεννῆσαν οὐ νόθον, ὁμοούσιον ἑαυτῷ γεγέννηκε, γεγέννηκε δὲ ὁ Θεὸς τὸν Μονογενῆ, οὐκ ὄντα νόθον, ὁμοούσιον ἄρα ἑαυτῷ γεγέννηκεν.

[01929] Εἰ δὲ γεννᾷ μὲν, νόθον δὲ γεννήσας οὐ γεγέννηκε.

[01930] Χεῖρον γὰρ τὸ παρὰ φύσιν τοῦ μηδόλως γεγεννῆσθαι.

[01931] ΑΛΛΟ.

[01932] Εἰ τὸν Μονογενῆ γεννήσας ὁ Θεὸς καὶ Πατὴρ κρειττόνως ἡμῶν γεγέννηκε, γεννῶντες δὲ ἡμεῖς προϋπάρχομεν τῶν γεγεννημένων, Θεὸς ἄρα γεννῶν οὐ προϋπάρχει.

[01933] Εἰ δὲ ὡσαύτως ἡμῖν γεγέννηκεν [75.140] (οὐκ ἂν γὰρ εἴποι τις ἡττόνως), γεννῶμεν δ' ἡμεῖς ἐκ τῆς ἑαυτῶν οὐσίας, καὶ Θεὸς ἄρα ἐκ τῆς ἑαυτοῦ γεγέννηκεν οὐσίας.

[01934] Διόπερ ὁμοούσιον αὐτῷ τὸ ἐξ αὐτοῦ πάντως που καὶ ἀναγκαίως τίθεσθαι χρή.

[01935] ΑΛΛΟ.

[01936] Εἰ τῶν γενητῶν ὁ καθόλου κόσμος ὥσπερ τι γένος ἐστὶ, τοῦ δὲ γένους τὸ κατὰ μέρος εἶδος, ἔστι δὲ γενητὸς ὁ Υἱὸς, εἶδος ἄρα ἐστὶ τοῦ γένους, τουτέστι τοῦ κόσμου.

[01937] Εἰ δὲ μὴ ἔστιν εἶδος τοῦ κόσμου, διὰ τὸ καὶ προϋπάρχειν αὐτοῦ, τῷ μὴ ἐνδέχεσθαι προϋπάρχειν τὸ εἶδος τοῦ γένους, οὐδὲ ἐκ τοῦ κόσμου ὅλως ἐστίν.

[01938] Εἰ δὲ τοῦτο, τοῦ κοσμοποιοῦ, ἀλλ' οὐ τοῦ κόσμου, ἐξ ἀνάγκης ἔσται ὁμοούσιος.

[01939] ΑΛΛΟ.

[01940] Εἰ τῶν ὄντων τὸ μὲν ἐστὶ Θεὸς, τὸ δὲ κόσμος, ἐξ ἀνάγκης ὁ Υἱὸς ἢ κόσμου ἴδιός ἐστι κατὰ τὴν γένεσιν, ἢ Θεοῦ κατὰ τὴν οὐσίαν.

[01941] Ἐπειδὴ δὲ μὴ κόσμου ἴδιος τῷ μὴ ἐνδέχεσθαι τὸ ἴδιον ὑπὸ ἰδίου δημιουργεῖσθαί ποτε, τοῦ κοσμοποιοῦ ἄρα Θεοῦ ὁμοούσιός ἐστιν.

[01942] ΛΟΓΟΣ ΙΑʹ.

[01943] Ὅτι ὁμοούσιος ὁ Υἱὸς τῷ Πατρὶ, προκειμένου ῥητοῦ·

[01944] Ὁ Πατὴρ μείζων μού ἐστιν.

[01945] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[01946] Τὰ τὴν αὐτὴν οὐσίαν λαχόντα, φησὶν, ὁμοφυῆ τε ὄντα οὐκ ἔχουσι καθ' ἑαυτῶν φυσικῶς τὸ μεῖζον, ἀλλ' οὔτε τὸ ἔλαττον.

[01947] Οὐ γὰρ μείζων ἄνθρωπος ἀνθρώπου κατὰ τὸν τῆς οὐσίας λόγον, ἀλλ' οὐδὲ ἵππος ἵππου τυχόν.

[01948] Εἰ τοίνυν ἑαυτοῦ μείζονά φησιν ὁ Υἱὸς εἶναι τὸν Πατέρα, ὁμοούσιον δὲ ὁμοουσίου οὐκ ἂν εἴη μεῖζον κατὰ τὸν τῆς οὐσίας λόγον, οὐκ ἄρα ὁμοούσιος αὐτῷ ἐστιν.

[01949] Πρὸς τοῦτο λύσις.

[01950] Ἔδει τοὺς χριστομάχους πανταχόθεν τὴν ἐν ταῖς θείαις Γραφαῖς ἀλήθειαν θηρᾶσθαι σπουδάζειν, τὰ περὶ Πατρὸς καὶ Υἱοῦ γυμνάζοντας·

[01951] οὐ πρὸς τὰς οἰκείας ἡδονὰς ἑαυτοῖς ἀναπλάττειν συλλογισμοὺς, καὶ πλοκὰς ἐπινοεῖν νοημάτων διεστραμμένων.

[01952] Εἰ γὰρ σκανδαλίζονται λέγοντος τοῦ Υἱοῦ·

[01953] Ὁ Πατήρ μου μείζων μού ἐστιν, ὠφελείσθωσαν ἀκούοντες περὶ αὐτοῦ·

[01954] Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ.

[01955] Ὃ δὴ τρανότατα καὶ Ἰωάννης φησίν·

[01956] Ὅτι Πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ.

[01957] Εἰ τοίνυν, κατὰ τὴν τῶν ἁγίων φωνὴν, ἐν ἰσότητι τοῦ Πατρός ἐστι, πῶς ἔσται πρὸς αὐτὸν ἑτεροούσιος;

[01958] Ἐροῦμεν γὰρ αὐτοῖς καὶ ἡμεῖς ὅτι τὰ ἰσότητι πρὸς ἄλληλα φυσικῶς κείμενα ἔσται πάντως καὶ ὁμοούσια·

[01959] ὥσπερ ἄνθρωπος ἀνθρώπῳ, καὶ ἵππος ἵππῳ.

[01960] ΑΛΛΟ.

[01961] Ἐπὶ τῶν ἀσωμάτων τὸ μεῖζον καὶ τὸ ἔλαττον οὐ μεγέθει κρίνεται, σωμάτων γὰρ ἴδιον τοῦτο, ἀλλὰ [75.141] μόναις ἐννοίαις δοκιμάζεται.

[01962] Ἔστω δὲ ὑπόδειγμα τῶν λεγομένων τὸ παρὰ τῷ Παύλῳ κείμενον·

[01963] Τῷ μὲν γὰρ, φησὶ, δέδοται λόγος σοφίας παρὰ τοῦ Πνεύματος ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, καὶ πολλὰ πρὸς τούτοις ἕτερα θεὶς, ἐπάγει·

[01964] Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα.

[01965] Εἶτα πάλιν φησὶν ὅτι Ζηλοῦτε τὰ χαρίσματα τὰ μείζονα.

[01966] Ἆρ' οὖν διαφέρειν ὡς πρὸς ἑαυτὸ τὸ Πνεῦμα ἐροῦσιν, ἢ οὐχ ὅμοιον ἑαυτῷ κατὰ τὴν οὐσίαν εἶναι, ἐπειδὴ μικρὸν μὲν ἐν μικροῖς, μεῖζον δὲ ἐν μείζοσι φαίνεται, τὴν τῶν δεχομένων ἕξιν πληροῦν;

[01967] Ἀλλ' οἶμαι μὴ τοσοῦτον ἔξω φρενῶν γενέσθαι τινὰ, ὡς τολμῆσαι καὶ τοῦτο εἰπεῖν.

[01968] Οὐκοῦν τῆς ἀσωμάτου φύσεως οὐ δεχομένης ἐφ' ἑαυτῆς δι' ἑαυτὴν τὸ μεῖζον καὶ ἔλαττον, ὅταν λέγῃ Χριστὸς ἑαυτοῦ τὸν Πατέρα μείζονα, ἔσται πάλιν τῇ ἀνθρωπότητι πρέπων ὁ λόγος, οὐ τῆς θείας οὐσίας αὐτοῦ κατηγόρημα, ὡς ἐν ἐλάττοσι κειμένης, ἢ ἐν οἷς ἐστιν ὁ Γεννήσας αὐτόν.

[01969] ΑΛΛΟ, διηγηματικῶς εἰς τὸ ῥητόν.

[01970] Λέγει που Χριστός·

[01971] Ὁ Πατὴρ ὁ πέμψας με, μείζων μού ἐστι.

[01972] Μαρτυρεῖ δὲ πάλιν ἡ θεία Γραφὴ περὶ αὐτοῦ ὅτι Οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ.

[01973] Πῶς οὖν ἔσται καὶ ἴσος, καὶ μείζονα ἕξει τὸν Πατέρα, ζητητέον ἀκριβῶς·

[01974] ἐναντία γὰρ ἀλλήλοις τὰ τοιαῦτά ἐστιν.

[01975] Ἐπειδὴ δὲ δοκιμάζειν εὐσεβῶς πρόκειται τὰ ῥητὰ, οὔτε τὸ ἴσον ἐκβαλοῦμεν διὰ τὸ μεῖζον, οὔτε μὴν τὸ μεῖζον διὰ τὸ ἴσον ἀναιρήσομεν·

[01976] κρατήσει δ' ἀμφότερα θεωρίας εὐσεβῶς εἰσφερομένης ἐπ' αὐτοῖς.

[01977] Οὐκοῦν ἁπλῆ τις οὖσα καὶ ἀσύνθετος ἡ τῆς θεότητος φύσις, οὐκ ἂν ἐτμήθη ποτὲ ταῖς ἐπινοίαις εἰς δυάδα Πατρὸς καὶ Υἱοῦ, εἰ μή τις εὐδόκει προκεῖσθαι διαφορὰ, οὐ κατὰ τὴν οὐσίαν φημὶ, ἀλλ' ἔξωθεν ἐπινοουμένη, δι' ἧς τὸ ἑκατέρου πρόσωπον εἰσφέρεται ἐν ἰδιαζούσῃ μὲν ὑποστάσει κείμενον, εἰς ἑνότητα δὲ θεότητος διὰ ταυτότητος φυσικῆς σφιγγόμενον, ἵνα μή τις ἀνάχυσις καὶ οἱονεὶ φυρμὸς γένηται Πατρὸς καὶ Υἱοῦ, εἰς μόνην ἑνάδα τρεχούσης τῆς ὑποστάσεως, τῆς πολλῆς λίαν ὁμοιότητος οὐκ ἐώσης φαίνεσθαι δυάδα·

[01978] ὡς ἐντεῦθεν ἤδη καὶ τὸν αὐτὸν Πατέρα καὶ Υἱὸν ὑπονοεῖσθαι παρά τισιν εἰς δυάδα μηδαμόθεν χωριζομένους.

[01979] Ἐπειδὴ δὲ ἐχρῆν εἰδέναι καὶ τὴν γεννήσασαν φύσιν καὶ τὴν γεννηθεῖσαν ἐξ αὐτῆς, τέθεικεν ἡ θεία Γραφὴ τὸ τοῦ Πατρὸς ὄνομα καὶ τὸ τοῦ Υἱοῦ, ἵνα φῶς ἐκ φωτὸς νοῆται, καὶ ἑκάτερον ἐν ἰδίᾳ ὑποστάσει σωζομένης ἐπ' ἀμφοῖν τῆς ταυτότητος πρὸς τὸν ἕτερον.

[01980] Ἀκολουθοῦσα δὲ πάλιν τῇ καθ' ἡμᾶς συνηθείᾳ, τὸ μείζονα ἀποδίδωσι τῷ Πατρὶ, ἵνα πανταχόθεν ἡ δυὰς καὶ τὸ ἐξ οὗ σημαίνηται·

[01981] προσμαρτυρεῖ δὲ τὸ ἴσον, ἵνα μή τις περὶ τὴν οὐσίαν ἀνομοιότης νοῆται Πατρὸς καὶ Υἱοῦ.

[01982] Ἴσος τοιγαροῦν κατὰ τὸν τῆς οὐσίας λόγον ὑπάρχων ὁ Υἱὸς τῷ Πατρὶ καὶ ὅμοιος κατὰ πάντα, μείζονα αὐτόν φησιν ὡς ἄναρχον, ἔχων ἀρχὴν κατὰ μόνον τὸ ἐξ οὗ, εἰ καὶ σύνδρομον αὐτῷ τὴν ὕπαρξιν ἔχει.

[01983] [75.144] ΑΛΛΟ.

[01984] Τὰ τῆς αὐτῆς οὐσίας ὄντα καὶ φύσεως καὶ τὴν πρὸς ἄλληλα σύγκρισιν κυριωτέραν ἐπιδέχεται·

[01985] τὰ δὲ μὴ οὕτως ἔχοντα, ἑτεροφυῆ δὲ ὄντα, καὶ διὰ τοῦτο τεμνόμενα πρὸς ἀλλοτριότητα, οὐκ ἂν ἀλλήλοις συγκρίνοιτο·

[01986] ἀπαιδευσία γὰρ τοῦτό γε.

[01987] Οὐ γὰρ ἄν τις εἴποι νοῦν ἔχων, μείζονα τοῦ ἀνθρώπου τὸν βοῦν, τὴν ἀνθρώπου φύσιν ἐρευνῶν·

[01988] οὐδ' αὖ πάλιν τὴν τοῦ βοὸς ἐκμαθεῖν βούλοιτο, μείζονα τούτου τὸν ἄνθρωπον λέγοι.

[01989] Τὰ γὰρ ὁμοφυῆ τε καὶ ὁμοειδῆ, καθάπερ εἴρηται, τὴν πρὸς ἄλληλα σύγκρισιν ἀκόλουθόν τε καὶ πρέπουσαν ἔχει.

[01990] Εἰ τοίνυν συγκρίνεται, καθ' ὑμᾶς, ὁ Υἱὸς τῷ Πατρὶ κατὰ τὸ μεῖζον καὶ ἔλαττον, ὁμοούσιος ἄρα καὶ οὐκ ἀλλότριος αὐτοῦ ἐστιν.

[01991] Ὁμοούσιον δὲ ὁμοουσίου οὐκ ἂν γένοιτο μεῖζον καὶ ἔλαττον κατὰ τὸν τῆς οὐσίας λόγον·

[01992] οὐ γὰρ μείζων ἄνθρωπος ἀνθρώπου, καθὸ ἄνθρωπος.

[01993] Ἴσος ἄρα τῷ Πατρὶ καὶ ὁ Υἱὸς καὶ ὁμοούσιος·

[01994] οἰκονομικῶς δὲ εἰρῆσθαι πιστεύομεν ἐπὶ τοῦ Πατρὸς τὸ μεῖζον.

[01995] Ὅτε γὰρ ἐνανθρωπήσας φαίνεται, τότε καὶ τοῦτό φησιν ὡς ἄνθρωπος.

[01996] ΑΛΛΟ.

[01997] Ὅσα τὴν πρὸς ἄλληλα σύγκρισιν κυρίως ἐπιδέχεται, ταῦτα πάντως ἐστὶ καὶ ὁμοούσια·

[01998] ἄνθρωπος γὰρ ἀνθρώπῳ, καὶ ἵππος ἵππῳ συγκρίνεται.

[01999] Ἡ δὲ ἐν τοῖς ὁμοειδέσι διαφορὰ περὶ τὰ συμβεβηκότα ἐστί·

[02000] καὶ ταῦτα, ὡς ἐπὶ πλεῖστον, ἐκ πάθους γίνεται, ἢ ἐξ ἑτέρας τινὸς αἰτίας, οὐκ ἐν τῷ λόγῳ τῆς οὐσίας κείμενα, καθ' οὗπερ ἂν κατηγοροῖτό τι τῶν συμβεβηκότων.

[02001] Οἷον φέρε εἰπεῖν, ἄνθρωπος ἀνθρώπου μείζων, μεγέθει σώματος καὶ ἰσχῦϊ, ψυχῆς παραστήματι, διανοίας ὀξύτητι·

[02002] ἀλλ' εἷς μὲν ἅπασιν ὁ τῆς οὐσίας λόγος, καὶ οὐ μεμερισμένως ἐν ἑκάστῳ διάφορος.

[02003] Τὰ δὲ συμβεβηκότα ῥίζαν ἔχει τὸ πάθος·

[02004] ἐκ πάθους γὰρ ἀσθενὴς ὁ ἀσθενὴς, καὶ ὁ νωθρὸς τὴν διάνοιαν, καὶ ὁ δειλίαν ἔχων ἐν ψυχῇ.

[02005] Εἰ τοίνυν μία μὲν ἡ φύσις καὶ τῆς οὐσίας ὁ λόγος ὁ αὐτὸς τοῖς τὴν πρὸς ἄλληλα σύγκρισιν κυρίως ἐπιδεχομένοις, τὰ δὲ ὅσα περὶ τὰς οὐσίας εἰσὶν ἐκ πάθους γίνεται ἢ ἐκ τοῦ μὴ παθεῖν, συγκρίνεται δὲ ὁ Υἱὸς πρὸς τὸν Πατέρα κατὰ τὸ μεῖζον καὶ ἔλαττον εἰσφερομένου τοῦ περὶ αὐτὸν λόγου, καὶ ἔστι πάθους ἐκτὸς (ἀπαθὴς γὰρ ὡς Θεὸς), κατ' οὐδένα τρόπον ὁ Πατὴρ ὑπερέξει τοῦ Υἱοῦ καὶ τὴν αὐτὴν ἔχοντος οὐσίαν καὶ παθεῖν οὐδὲν δυναμένου.

[02006] Λέγεται δὲ μείζων ὡς ἀρχὴ τοῦ συναϊδίου γεννήματος.

[02007] Εἰς τὸ, Ὁ Πατὴρ ὁ πέμψας με μείζων μού ἐστιν.

[02008] Ἀντίθεσις ἐκ τῶν Εὐνομίου.

[02009] Αὐτὸς ὁ Σωτὴρ οὐκ ἐπικεκαλυμμένως, τρανότατα δὲ μείζονα ἑαυτοῦ τὸν Πατέρα φησὶ, διὰ τοῦ λέγειν·

[02010] Ὁ Πατὴρ ὁ πέμψας με μείζων μού ἐστιν.

[02011] Εἰ τοίνυν ἀληθεύειν δώσετε τὴν ἀλήθειαν, ἀλήθεια δὲ ὁ Χριστὸς, μείζονα ἔχει τὸν Πατέρα.

[02012] Καὶ εἰ τοῦτο, πάντως ἔσται καὶ ἀνόμοιος.

[02013] Ἐπειδὴ δὲ ἀνόμοιος, οὐδὲ ὁμοούσιος.

[02014] [75.145] Πρὸς τοῦτο λύσις.

[02015] Ἀναγκαῖον ὑμᾶς, ὦ χριστομάχοι, καὶ νῦν ἐρέσθαι, πότε τοῦ Υἱοῦ μείζων ὁ Πατὴρ ἢ γέγονεν ἢ εὑρέθη, ἢ ὅπερ ἂν βούλοισθε λέγειν.

[02016] Χρόνον μὲν οὖν ὁριζόντων ὑμῶν οὐκ ἄν τις ἀνάσχοιτο·

[02017] χρόνων γὰρ ποιητὴς ὁ Υἱὸς, καὶ πρὸ τῶν αἰώνων ἐστὶ, κατὰ τὰς ἀψευδεῖς τῶν ἁγίων φωνάς.

[02018] Χρόνου δὲ ἀνῃρημένου, πάντως λείπεται λέγειν κατὰ τὴν ὑμῶν πρότασιν ἀεὶ καὶ ἀνάρχως τὸν Πατέρα μείζονα τοῦ Υἱοῦ.

[02019] Ἀλλ', ὦ βέλτιστοι, μικρὸν ἀνανήψαντες ἐκεῖνο καθ' ἑαυτοὺς ἐνθυμήθητε, ὅτι τὸ διαφέρον τινὸς κατὰ τὸ εἶναι μεῖζον ἢ λέγεσθαι, παρακείμενον ἔχει καὶ συνεισφερόμενον ἑαυτῷ τὸ ἔλαττον, οὗ καὶ ἐστὶ μεῖζον.

[02020] Ὅταν γὰρ τὸ μεῖζον θελήσωμεν μαθεῖν, ἐπὶ τὴν τοῦ ἐλάττονος δραμόντες κατάληψιν, τὴν ἐκείνου βλέπομεν ὑπεροχήν.

[02021] Εἰ τοίνυν ἀεὶ μείζων ὁ Πατὴρ τοῦ Υἱοῦ, ἦν μὲν αὐτὸς ἀεί·

[02022] ἦν δὲ σὺν αὐτῷ καὶ ὁ Υἱὸς, οὗ καὶ μείζων εἶναι λέγεται, καθ' ὑμᾶς.

[02023] Τὸ δὲ ἀεὶ ὂν, τῷ ἀεὶ ὄντι πῶς ἀνόμοιον ἔσται;

[02024] Μεῖζον δὲ πῶς, συντρεχούσης τῷ γεγεννηκότι τῆς ὑπάρξεως τοῦ γεννήματος, καὶ πάντα ἔχοντος φυσικῶς ὅσα πρόσεστι τῷ Πατρί;

[02025] ΑΛΛΟ.

[02026] Ἐκ μαθημάτων ἡμῖν τῶν Ἀριστοτέλους ὁρμώμενοι, καὶ τῇ δεινότητι τῆς ἐν κόσμῳ σοφίας ἀποκεχρημένοι, κτύπους ἐγείρουσι ῥημάτων κενῶν, οὐκ εἰδότες ὅτι καὶ πρὸς ταύτην ἀμαθῶς ἔχοντες ἐλεγχθήσονται.

[02027] Θαυμάσαι γὰρ ὄντως ἀκόλουθον ὅτι δὴ τὸν περὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος ἐξετάζοντες λόγον, ἐπὶ τὸν περὶ τοῦ ὁμοίου καὶ ἀνομοίου μεταπεπτώκασιν, οὐκ εἰδότες ὅτι, κατὰ τὴν Ἀριστοτέλους τέχνην ἐφ' ᾗ μάλιστα μεγαλοφρονεῖν εἰώθασιν αὐτοὶ, οὐκ εἰς ταυτὸν κατατάττεται γένος τό τε ὅμοιον καὶ τὸ ἀνόμοιον, ὡς καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον.

[02028] Τὸ μὲν γὰρ μεῖζον καὶ τὸ ἔλαττον, τῶν πρός τι ἐχόντων παρ' ἐκείνοις λέγεται.

[02029] Τὸ δὲ ὅμοιον ἢ καὶ τὸ ἀνόμοιον ἑτέρας ἐστὶ κατηγορίας ἤτοι διαιρέσεως.

[02030] Πόθεν τοίνυν ὑμῖν ἀπὸ τοῦ μείζονος ἐπὶ τὸ ὅμοιον ἡ μετάβασις;

[02031] καὶ ἐξ ἐλάττονος ἤτοι τοῦ μείζονος τὴν πρότασιν ἐξυφαίνοντες, ἑτερογενὲς εἰσφέρετε τὸ συμπέρασμα, λέγοντες·

[02032] Εἰ ἐλάττων ἐστὶν ὁ Υἱὸς τοῦ Πατρὸς, ἀνόμοιος ἄρα·

[02033] ἐχρῆν γὰρ μᾶλλον εἰπεῖν, οὐκ ἴσος ἄρα, ἢ οὐ τοσοῦτος ἄρα, ἵνα μὴ πάλιν ἀμαθεῖς ὄντες ἐξελεγχθήσησθε τῷ τε μείζονι καὶ τῷ ἐλάττονι τὸ ποσὸν ἐπιφέροντες.

[02034] Οὐ γὰρ τὰ πρός τί πως ἔχοντα, ἀλλὰ τὸ μεῖζον ἢ ἔλαττον ὑποκεῖσθαι τῷ ποσῷ νενομοθέτηκεν ἡ Ἀριστοτέλους τέχνη.

[02035] Εἴδη δὲ αὐτῷ τίθησιν ἑπτὰ, ἀριθμὸν, καὶ λόγον, καὶ γραμμὴν, καὶ ἐπιφάνειαν, καὶ σῶμα, καὶ χρόνον, καὶ τόπον.

[02036] Μόνων τοιγαροῦν τῶν εἰρημένων δέχεσθαι τὸ ποσὸν πεφυκότων, πόθεν ὑμεῖς, ὦ οὗτοι, τῷ μείζονι καὶ τῷ ἐλάττονι τὸ ποσὸν ἐπιφέρετε, ἑτέρῳ γένει ταῦτα τοῦ Ἀριστοτέλους ἀνατεθεικότος;

[02037] Ἐπειδὴ τοίνυν τὸν περὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος ἐξετάζοντες λόγον, ἀπαιδεύτως ἐπὶ τὴν τοῦ ὁμοίου καὶ ἀνομοίου παράθεσιν ἐξεκλίνατε, λέγοντες·

[02038] Εἰ ἐλάττων ἐστὶν ὁ Υἱὸς τοῦ Πατρὸς, ἀνόμοιος ἄρα·

[02039] χαλεπωτέρῳ δὲ πάλιν ἀπαιδευσίας [75.148] ἐγκλήματι περιπίπτετε κατὰ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος τὸ ποσὸν τιθέντες, ὅταν λέγητε·

[02040] Εἰ ἐλάττων ἐστὶν ὁ Υἱὸς τοῦ Πατρὸς, οὐκ ἴσος ἄρα, οὐδὲ τοσοῦτος.

[02041] Οὐδαμόθεν δ' ὑμῖν ὑγιαίνοντος τοῦ λόγου, ματαία πάντως ἐστὶ καὶ [κούφη] ἡ πρότασις.

[02042] ΑΛΛΟ.

[02043] Διδάσκον ὅτι, προκειμένου τοῦ μείζονος καὶ τοῦ ἐλάττονος, ἀπαιδεύτως τὸ ἀνόμοιον εἰσφέρε ται, ἑτερογενὲς ὂν κατὰ τὴν Ἀριστοτέλους τέχνην.

[02044] Τὰ πρός τι ἔχοντα τῶν ὀνομάτων οὕτω τε παρ' ἐκείνοις καλούμενα, φανερὰ καθιστῶν ὁ τῆς τοιαύτης τέχνης εὑρετὴς Ἀριστοτέλης, τοιοῦτον ἐκφέρει τὸν ὅρον·

[02045] Πρός τι δὲ τὰ τοιαῦτα λέγεται, ὅσα αὐτὰ ἅπερ ἐστὶν, ἑτέρων εἶναι λέγεται ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον·

[02046] οἷον τὸ μεῖζον τοῦθ' ὅπερ ἐστὶν ἑτέρου λέγεται.

[02047] Καὶ τὸ διπλάσιον ἑτέρου λέγεται τοῦθ' ὅπερ ἐστί·

[02048] τινὸς γὰρ διπλάσιον λέγεται.

[02049] Τοῦτον τοιγαροῦν ἐχόντων τῶν πρός τι τὸν ὅρον, δεικνύτωσαν ἡμῖν οἱ τὴν Ἀριστοτέλους ἐρευγόμενοι τέχνην, καὶ τοῖς ἐκεῖθεν μαθήμασιν, οὐ τοῖς ἀπὸ τῆς Θείας Γραφῆς ἑαυτοὺς ἀποσεμνύνοντες, εἰ καὶ τὸ ὅμοιον τοῦθ' ὅπερ ἐστὶν ἑτέρου λέγεται, καθάπερ καὶ τὸ μεῖζον καὶ τὸ διπλάσιον.

[02050] Ἀντίκειται μὲν γὰρ τῷ ὁμοίῳ τὸ ἀνόμοιον, ὥσπερ καὶ τῷ μείζονι τὸ ἔλαττον, ἀλλ' οὐχ οὕτως οὐδὲ ὡσαύτως.

[02051] Τὸ μὲν γὰρ μεῖζον ὡς ἐλάττονος μεῖζον λέγεται.

[02052] Τὸ δὲ ὅμοιον οὐκ ἂν ὡς ἀνομοίου μεῖζον λεχθείη ποτὲ, οὐδὲ ὥσπερ τὸ μεῖζον διὰ τὸ ὑπερέχειν τοῦ ἀντικειμένου τοῦτό ἐστιν ὅπερ εἶναι λέγεται·

[02053] οὕτω καὶ τὸ ὅμοιον διὰ τὸ μεῖζον εἶναι τοῦ ἀνομοίου νοηθήσεται τοῦτο.

[02054] Οὐκοῦν ἑτερογενῆ πάντως ἔσται τὰ τὴν αὐτὴν διαίρεσίν τε καὶ ὅρον οὐκ ἐπιδεχόμενα.

[02055] ΑΛΛΟ.

[02056] Τὰ πρός τι ἔχοντα τῶν ὀνομάτων, ἢ καὶ ὅπως δή ποτ' οὖν πρὸς ἕτερόν τι λεγόμενα, ἅμα ἐστὶ καὶ τῇ νοήσει καὶ τῇ φύσει·

[02057] οἷον φέρε εἰπεῖν, τὸ διπλάσιον καὶ τὸ μέγα.

[02058] Τὸ μὲν γὰρ διπλάσιον, συνεισφέρει τι πάντως ἑαυτῷ οὗ καὶ ἐστὶ διπλάσιον, καὶ τὸ μέγα συνεισοίσει πάντως ἑαυτῷ τὸ μικρὸν πρὸς ὃ καὶ λέγεται μέγα.

[02059] Οὐ γὰρ ἂν εἴη διπλάσιον, ἡμίσεος οὐκ ὄντος, ἀλλ' οὐδὲ μέγα, μικροῦ μὴ νοουμένου τινός.

[02060] Τὰ μὲν οὖν πρός τι τοῦτον ἔχει τὸν ὅρον·

[02061] τὸ δέ γε ὅμοιον οὐκ ἐξ ἀνάγκης ἅμα τῷ ἀνομοίῳ νοεῖται, καθάπερ κἀκεῖνα·

[02062] ὥσπερ οὐδὲ τὸ δίκαιον ἅμα τῷ ἀδίκῳ, οὐδὲ ἡ ἀρετὴ ἅμα τῇ κακίᾳ.

[02063] Τὰ μὲν γὰρ τοιαῦτα στερήσεις μᾶλλόν εἰσι καὶ ἐκτροπαὶ τῶν ἐν ἕξει κειμένων, οὐ συνεισφέρεσθαι πάντως ὀφείλοντα, καθάπερ καὶ ἐπὶ τῶν πρός τι τὰ ἀντικείμενα.

[02064] Τοῦ μὲν γὰρ ὁμοίου ἐκτροπή τίς ἐστι τὸ ἀνόμοιον, τῆς δὲ δικαιοσύνης ἡ ἀδικία.

[02065] Ἐπειδὴ δὲ, κατὰ τὴν ἐκείνων τέχνην, αἱ στερήσεις τῶν ἕξεων δεύτεραι, οὐκ ἂν εἴη τῶν ἅμα νοουμένων τὸ ἀνόμοιον, στέρησις καὶ ἐκτροπὴ τοῦ ὁμοίου τυγχάνον.

[02066] ΑΛΛΟ.

[02067] Τὰ πρός τι ἔχοντα τῶν ὀνομάτων οἷον ἐν ἀλλήλοις ἔχει τὸ εἶναι, καὶ ἑνὸς ἀναιρεθέντος οὐκ ἔστι τὸ δεύτερον.

[02068] Ὥσπερ οὖν καὶ ἀναιρεθέντος τοῦ μείζονος, συναναιρεῖται πάντως τὸ ἔλαττον·

[02069] οὐ γὰρ ἂν ἔλαττον εἴη τι, μὴ ὄντος μείζονος, οὗ καὶ ἔστιν ἔλαττον.

[02070] Εἰ τοίνυν ὁμογενὲς εἶναί φατε τοῖς πρός τι καὶ τὸ ὅμοιον, [75.149] ἀναιρεθὲν αὐτὸν, συναναιρείτω τὸ ἀνόμοιον, καὶ συναναιρείσθω πάλιν ἐκείνῳ.

[02071] Ἀλλ' οὐ συναναιρεῖται, οὐδὲ μὴν ἀναιρεῖ·

[02072] ὄντος γάρ τινος ἀνθρώπου, τυχὸν ἔσται τι τὸ ἀνόμοιον αὐτῷ·

[02073] καὶ ἀναιρεθέντος τοῦ ἀνομοίου, οὐ συναναιρεῖται τὸ ὂν, τουτέστιν ὁ ἄνθρωπος, οὗ καὶ γέγονεν ἀνόμοιον τὸ ἀναιρεθέν.

[02074] Οὐκ ἄρα τῶν πρὸς ἄλληλα λεγομένων τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον.

[02075] ΑΛΛΟ.

[02076] Ἐπὶ τοῦ ὁμοίου καὶ τῆς ἀρετῆς καὶ τῶν ἀντικειμένων τούτοις χωρήσει τὸ μᾶλλον καὶ ἧττον.

[02077] Ἔστι γὰρ εἰπεῖν οὐ ψευδόμενον τόνδε τινὰ τυχὸν ὅμοιον τῷδε, καὶ ἧττον ἢ μᾶλλον ὅμοιον, καὶ μᾶλλον δίκαιον, καὶ δίκαιον ἧττον.

[02078] Ἐπὶ μέν τοι τοῦ μείζονος ἢ καὶ τοῦ ἐλάττονος, διπλασίονός τε καὶ ἡμίσεος, οὐκ ἂν εἴποι τις, μᾶλλον μεῖζον ἢ μᾶλλον ἔλαττον, ἢ μᾶλλον διπλάσιον ἢ μᾶλλον ἥμισυ.

[02079] Ἀνεπίδεκτα γὰρ τοῦ ποσοῦ τὰ τῆς ποιότητος εἴδη διὰ πολλῶν ἀποδέδεικται.

[02080] Εἰ τοίνυν τὸ ὅμοιον τοῦ ποσοῦ χωρητικόν ἐστι, καὶ δέχεται τὸ μᾶλλον καὶ τὸ ἔλαττον, οὐ δεχομένων αὐτὸ τοῦ ἡμίσεως καὶ διπλασίου, οὐχ ὁμογενὲς ἄρα τοῖς πρός τί ἐστιν.

[02081] ΑΛΛΟ.

[02082] Τὸ μᾶλλον ἤτοι τὸ μεῖζον ἐπίτασίς ἐστι καὶ ὑπερβολή τινος πράγματος οἱουδηποτοῦν, οὐκ ἀνομοίου τινὸς καὶ ἀντικειμένου δήλωσιν ἔχει.

[02083] Τὸ δὲ ὅμοιον οὐχ οὕτως.

[02084] Εἰσφέρει γὰρ τοῦ ἀνομοίου τὴν ἔμφασιν.

[02085] Ἄλλως τε τῷ μὲν ἀνομοίῳ στέρησις ἀκολουθεῖ.

[02086] Ἀποβολὴ γὰρ τοῦ ὁμοίου τὸ ἀνόμοιον ἐργάζεται.

[02087] Τὸ δὲ μᾶλλον καὶ μεῖζον ἐπίτασίς τινος ὄντα, ποίαν ἕξει τὴν ἀποβολὴν, ἢ πῶς ἐπ' αὐτοῦ στέρησις ἔσται, ὥσπερ καὶ ἐπὶ τοῦ ἀνομοίου;

[02088] Ἀλλ' οὐκ ἂν ἔχοι τις εἰπεῖν.

[02089] Ἑτερογενὲς ἄρα τῷ ὁμοίῳ τὸ μεῖζον.

[02090] ΑΛΛΟ, ἀπόδειξιν ἔχον ὅτι διὰ τοῦ λέγεσθαι μεί ζονα τὸν Πατέρα, συνεισφέρεται μὲν πάντως ὁ Υἱὸς, ἔστι δὲ οὐκ ἐλάττων αὐτοῦ.

[02091] Τὸ μεῖζον εἴ τις ὀνομάσαι, συνεισοίσει πάντως καὶ ἀναγκαίως ἕτερόν τι παρ' αὐτὸ οὗ καὶ ἔστι μεῖζον.

[02092] Οὕτω τοιγαροῦν ἔχοντος τοῦ νοήματος, φέρε κατ' αὐτὸ τὴν θείαν ἐξετάσωμεν γέννησιν, καὶ τὸν περὶ Πατρὸς καὶ Υἱοῦ γυμνάσωμεν λόγον.

[02093] Ὅταν τοίνυν λέγηται μείζων ὁ Πατὴρ, συνεισφέρει μὲν πάντως τὸ ἐν σχέσει τῇ πρὸς αὐτὸν, τὴν Υἱοῦ σημασίαν φημὶ, καθ' ἧς τὸ ἔλαττον νοοῦσιν οἱ χριστομάχοι.

[02094] Συνεισενεχθέντος τοιγαροῦν ἀναγκαίως τῷ Πατρὶ τοῦ Υἱοῦ, φέρε δοκιμάζωμεν πῶς ἕξει τὸ μεῖζον ὁ Πατήρ.

[02095] Εἰ γὰρ φύσει Θεὸς ὁ Υἱὸς, καθάπερ καὶ ὁ Πατὴρ, φύσει ἀγαθὸς, φύσει δημιουργὸς, φύσει βασιλεὺς, ποῖον ἔσται τὸ μεῖζον ἐν Πατρὶ, ἔχοντος αὐτὰ τελείως καὶ τοῦ Υἱοῦ;

[02096] Εἰ δὲ μὴ ἔχει τελείως, πῶς Θεός ἐστι τὸ ᾧ τι τῶν ἀγαθῶν ἐνδεεῖ;

[02097] Τὸ γὰρ οὔπω τῆς ὀφειλούσης προσεῖναι Θεῷ τελειότητος ἐπειλημμένον, οὐκ ἂν εἴη φύσει Θεός·

[02098] φύσει δὲ Θεὸς ὁ Υἱός·

[02099] τέλειος ἄρα καθάπερ καὶ ὁ Πατήρ.

[02100] Ἐπειδὴ δὲ τέλειος ὁ Πατὴρ, οὐκ ἐλάττων δηλαδή.

[02101] Οἰκονομικῶς δέ φησιν ἑαυτοῦ μείζονα τὸν Πατέρα, ἢ καθὸ γέγονεν ἄνθρωπος, παραχωρῶν τῇ τῆς θεότητος φύσει τὸ ὑπερέχειν τῶν γενητῶν·

[02102] καὶ τῷ κατὰ φύσιν Κυρίῳ τὸ ἄνω κεῖσθαι διδοὺς τῆς [75.152] τοῦ δούλου μορφῆς, εἰ καὶ ὅτι μάλιστα καὶ αὐτὸς κατὰ φύσιν Κύριος, ἢ τὸ μεῖζον παραχωρῶν ὡς Πατρὶ, οὐδὲν μὲν ἧττον ἔχων αὐτοῦ κατὰ τὸν τῆς οὐσίας λόγον.

[02103] Οὕτω γὰρ ἂν εἴη καὶ γνήσιον γέννημα καὶ εἰκὼν ὄντως τοῦ γεγεννηκότος, οὐ κατά τι παρακεχαραγμένη, ἀλλ' ὁλόκληρον πρὸς αὐτὸν σώζουσα τὴν ἐμφέρειαν·

[02104] διὰ δὲ μόνον τὸ πρέπον ὡς Υἱὸς τῷ Πατρὶ τιμὴν ἀπονέμων τὴν μείζονα.

[02105] Πρὸς τοὺς λέγοντας, ὅτι μείζων ὁ Πατὴρ τοῦ Υἱοῦ.

[02106] Ἀντίθεσις ὡς ἐκ τῶν αἱρετικῶν.

[02107] Ὁ Πατὴρ, φησὶν, ἦν ἀεὶ, οὐκ ἀεὶ δὲ ὁ Υἱός·

[02108] πῶς οὖν οὐκ ἔσται μείζων ὁ ἀεὶ ὑπάρχων τοῦ μὴ οὕτως ὄντος;

[02109] Πῶς δὲ οὐκ ἐλάττων τοῦ ἀϊδίως ὑπάρχοντος ὁ μὴ ἀΐδιος ὤν;

[02110] Εἰ δὲ μείζων ὁ Πατὴρ τοῦ Υἱοῦ, καὶ ἑτεροούσιος ἄρα πρὸς αὐτόν.

[02111] Πρὸς ταῦτα λύσις.

[02112] Ἐχρῆν, ὦ βέλτιστοι, μὴ λίαν οὕτω κακῶς μηδὲ ἀτέχνως προκεῖσθαι τὸ σοφὸν δὴ τοῦτο τῆς ὑμῖν πρεπούσης ἀμαθίας πρόβλημα.

[02113] Εἰσφέροντες γὰρ ἡμῖν ἐπί τε Πατρὸς καὶ Υἱοῦ τὸ ἑτεροούσιον, ἀπὸ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος τὴν ἀπόδειξιν ἀμαθῶς ποιεῖσθαι σπουδάζετε, ὥσπερ ἀναγκαίως ἐχόντων πρὸς ἄλληλα τὴν ἑτεροουσιότητα, τῶν ὅσα τούτων πέφυκεν εἶναι δεκτικά.

[02114] Καίτοι ξύλῳ μὲν παντὶ πρὸς ξύλον, καὶ λίθῳ πρὸς λίθον, καὶ ἀνθρώπῳ πρὸς ἄνθρωπον, τῆς μὲν οὐσίας ὁ λόγος ὁ αὐτός.

[02115] Πρόσεστι δὲ ὅμως καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον·

[02116] ξύλον γὰρ ξύλου μεῖζον κατά τι, καὶ πάλιν ὁμοίως ἔλαττον φαίνεται.

[02117] Ἐμβαίνοντος τοίνυν καὶ ἐπὶ τῶν ὁμοουσίων τοῦ τε μείζονος καὶ τοῦ ἐλάττονος, περιττῶς ὑμεῖς ἐπὶ Πατρὸς καὶ Υἱοῦ ταύτην ἀπόδειξιν ποιεῖσθε τοῦ ἑτεροουσίου·

[02118] καὶ διὰ τούτων δὲ οὐδὲν ἧττον ληροῦντες εὑρίσκεσθε.

[02119] Ἴσος γὰρ ὑπάρχων ὁ Υἱὸς τῷ Πατρὶ, τὸ ἔλαττον ἐφ' ἑαυτοῦ τίθησιν οἰκονομικῶς, ὡς δέδεικται.

[02120] ΑΛΛΟ.

[02121] Τὰ τῆς πρὸς ἄλληλα φυσικῆς ὁμοιότητος ἐστερημένα, καὶ κατὰ τὸν τοῦ πως εἶναι λόγον διεστηκότα, τῷ ὁμοίῳ καὶ τῷ ἀνομοίῳ κρίνεται μᾶλλον, καὶ οὐδέ που τῷ τε μείζονι καὶ τῷ ἐλάττονι.

[02122] Εἰ μὲν οὖν ἕν ἐστιν ὁ Πατὴρ ὡς πρὸς τὸν Υἱὸν κατὰ τὸν τῆς φύσεως λόγον, λεγέτωσαν ἡμῖν οἱ πικροὶ συζητηταὶ, κατὰ τίνα τρόπον χωρήσει ἐπ' αὐτῶν τὸ μεῖζον καὶ τὸ ἔλαττον;

[02123] Εἰ δὲ πάντη διεστηκὼς καὶ κεχωρισμένος τῆς τοῦ Πατρὸς οὐσίας ὁ Υἱὸς εἰσφέρεται, ἑτέρας τε φύσεως ὑπείληπται παρ' ὑμῖν, πῶς τὰ πάντη διεστηκότα κατὰ τὸν τοῦ πως εἶναι λόγον τὴν πρὸς ἄλληλα σύγκρισιν ἐπιδέξεται;

[02124] Οὐ γὰρ δή τις ἔξω γελοιότητος κείσεται τὰ κατὰ μηδὲν ἀλλήλοις κοινωνοῦντα συγκρίνων, καὶ ἥλιον ξύλου λέγων εἶναι λαμπρότερον.

[02125] Εἰ τοίνυν τὰ ἑτερογενῆ καὶ τὴν πρὸς ἄλληλα σύγκρισιν παραιτούμενα φαίνεται, ἀπαίδευτος ἡ πρότασις τὸ μεῖζον καὶ τὸ ἔλαττον ἐπὶ Υἱοῦ καὶ Πατρὸς εἰσφέρουσα, εἴπερ εἰσὶν οὐ τῆς αὐτῆς οὐσίας, καθ' ὑμᾶς, [75.153] καὶ ταύτην ἀπόδειξιν ποιουμένη τῆς ἑτεροουσιότητος, ἣν οὐκ οἶδα πόθεν ἐπινοοῦσιν ἐπὶ τῆς τὰ πάντα ὑπερκειμένης οὐσίας, καὶ τὸ ἔλαττον οὐδαμόθεν χωρεῖν δυναμένης·

[02126] ἀπαιτούσης δὲ μᾶλλον τὴν αὐτῇ πρέπουσαν τελειότητα, ἐπείπερ οὐδὲν ἔλαττον οὐδὲ ἀτελὲς ἐν τῷ κατὰ φύσιν Θεῷ, ὅπερ ἐστὶν ὁ Υἱός.

[02127] ΑΛΛΟ.

[02128] Μείζονά φασιν οἱ χριστομάχοι τοῦ Υἱοῦ τὸν Πατέρα δυσφημοῦντες ἀφυλάκτως, καὶ μὴ νοοῦντες, καθὰ γέγραπται, μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται.

[02129] Διὸ δὴ πάλιν ταῖς ἐκείνων μανίαις τὸν ὀρθὸν ἀντιστρατεύοντες λόγον, ἐρωτήσομεν αὐτούς·

[02130] Λέγετε πάλιν ἡμῖν, ὦ οὗτοι, πότερόν ποτε, καθάπερ ὑμεῖς φατε, μείζων ἦν ἀεὶ ὁ Πατὴρ τοῦ Υἱοῦ, ἢ γέγονεν ὕστερον;

[02131] Εἰ μὲν οὖν κατά τινα χρόνον μείζων ἐφαίνετο τοῦ Υἱοῦ, προσγέγονέ τι τῷ Θεῷ καὶ Πατρί·

[02132] καὶ ὃ μὴ πρότερον ὑπῆρχεν αὐτῷ, νῦν ἔχων φαίνεται·

[02133] πῶς οὖν τέλειος ἦν ὁ τούτου λειπόμενος ἐξ ἀρχῆς;

[02134] Ἀλλ' ἦν ἀεὶ τέλειος, οὐκ ἄρα ἐλείπετο τοῦ μείζονος·

[02135] ἦν δὲ ἀεὶ τοῦτο, καθ' ὑμᾶς.

[02136] Ἀλλ', ὦ βέλτιστοι, συνορᾶτε δή που καὶ ὑμεῖς ὅτι διὰ τὸ ἔλαττον καὶ τὸ μεῖζον ὑμῖν εὐλόγως κινδυνεύσει, καὶ δειχθήσεται λοιπὸν ἕωλος ὑμῶν ἡ πρότασις.

[02137] Τὸ γὰρ μεῖζόν τινος λεγόμενον, οὐκ ἂν εἴη μεῖζον, μὴ ἑτέρου τινὸς πάντως παρακειμένου καὶ ἐλάττονος, πρὸς ὃ δὴ καὶ μετρούμενον, μεῖζον ὡς πρὸς αὐτὸ φαίνεται.

[02138] Εἰ τοίνυν ἀεὶ μείζων ἦν ὁ Πατὴρ τοῦ Υἱοῦ, ἀνάγκη πᾶσα τὸν Υἱὸν συνεισφέρεσθαι τῷ Πατρὶ, πρὸς ὃν ὡς, καθ' ὑμᾶς, ἐλάττονα ὄντα συγκρινόμενος, μείζων ἐφαίνετο.

[02139] Εἰ τοίνυν, κατὰ τὴν ὑμετέραν πρότασιν, διὰ τοῦτο μείζων ἐστὶν ὁ Πατὴρ τοῦ Υἱοῦ, ἐπειδήπερ αὐτὸς ἀϊδίως μὲν ἦν, ὁ δὲ Υἱὸς οὐχ οὕτως, ἐπειδὴ δέδεικται συνὼν ἀεὶ καὶ συνυπάρχων τῷ Πατρὶ, οὐκ ἔσται κατά τι γοῦν ἐλάττων, ἢ ἑτεροούσιος αὐτοῦ.

[02140] Ὧ γὰρ λόγῳ μὴ συνὼν ἀπελείπετο τῆς ἰσότητος, τῷ αὐτῷ πάλιν καὶ ἐξ ἀντιστροφῆς λόγῳ, ἐπειδὴ συνυπάρχει, κατ' οὐδένα τρόπον ἀπολειφθήσεται.

[02141] Ἐπὶ δὲ τῶν ἀλλήλοις κατὰ πάντα προσεοικότων φυσικῶς, καὶ μεγέθει μὴ μετρουμένων, ποῦ χωρήσει τὸ μεῖζον καὶ τὸ ἔλαττον;

[02142] ΑΛΛΟ.

[02143] Εἰ μείζων ὁ Πατὴρ τοῦ Υἱοῦ, κατὰ τὴν ὑμετέραν πρότασιν, ὦ χριστομάχοι, πῶς αὐτῷ τὴν ἰσότητα Παῦλος ἀποδίδωσι, λέγων·

[02144] Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ·

[02145] ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν;

[02146] Εἰ τοίνυν ὁ τῆς ἐνανθρωπήσεως τρόπος τὴν ταπείνωσιν ἔχει, καὶ τὴν λεγομένην ἐνθάδε κένωσιν, ἀνάγκη πᾶσα σώζεσθαι τὸ τέλειον τῷ Υἱῷ κατ' ἰσότητα τὴν πρὸς τὸν Θεὸν καὶ Πατέρα πρὸ τῆς ἐνανθρωπήσεως.

[02147] Ἐντεῦθεν γὰρ ἡμῖν φανεῖται καὶ ἡ ταπείνωσις.

[02148] Εἰ γὰρ ἦν ἐλάττων ἐξ ἑαυτοῦ καὶ πρὸ τῆς ταπεινώσεως, ποῖ δὴ ἄρα καταβεβηκὼς ὀφθήσεται, καὶ τίς ἡμῖν ὁ τῆς ταπεινώσεως τρόπος;

[02149] [75.156] ΑΛΛΟ.

[02150] Εἰ διὰ τὸ πάθημα τοῦ θανάτου βλέπομεν ἠλαττωμένον τὸν Ἰησοῦν, κατὰ τὴν τοῦ Παύλου φωνὴν, πρὸ τοῦ πάθους ἄρα τὸ ἔλαττον οὐκ ἦν ἐν αὐτῷ.

[02151] Εἰπόντος δὲ τούτου, τὸ εἶναι τέλειον αὐτὸν εἰσβαίνειν ἀνάγκη.

[02152] Τέλειος δὲ ὢν ὁ Υἱὸς, καὶ τῇ τοῦ Πατρὸς τελειότητι παρισούμενος, οὐκ ἐπιδέξεται δηλονότι τῶν ἀνομοίων τὸ ἔλαττον.

[02153] ΑΛΛΟ.

[02154] Τὴν ἰσότητα τῷ Υἱῷ προσμαρτυρῶν ὁ Παῦλος ἣν ἔχει πρὸς τὸν Πατέρα, φησί που σαφῶς·

[02155] Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ.

[02156] Λέγει δὲ αὐτὸν καὶ ἠλαττῶσθαι διὰ τὸ πάθημα τοῦ θανάτου.

[02157] Οὐκ ἐνδεχομένου τοιγαροῦν ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ σημαίνεσθαι ὁμοῦ τό τε μεῖζον καὶ τὸ ἔλαττον φυσικῶς, ζητητέον ὅπως ἐπὶ τοῦ Θεοῦ Λόγου διασώσομεν ἀμφότερα, καὶ περὶ τὸν ἕνα καὶ μόνον τὰ δύο κεῖσθαι δώσομεν.

[02158] Οὐκοῦν καθὸ φύσει Θεὸς, ἴσος ἔσται τῷ γεγενηκότι Θεῷ·

[02159] καθὸ δὲ γέγονεν ἄνθρωπος, ἠλαττῶσθαι λέγεται.

[02160] Εἰ δέ τις ἀφέλοι τῆς φυσικῆς ὑπάρξεως αὐτοῦ τὴν ἰσότητα, καὶ μὴ ἐν τούτῳ ταύτην σώζεσθαι λέγοι, ποῖ δὴ λοιπὸν κείσεται;

[02161] Ἢ ποῖον ἕξει τὸν τόπον τοῦ Υἱοῦ τὸ ἐξαίρετον, μόνης τῆς ἐλαττώσεως φαινομένης περὶ τὸν τῆς ἐνανθρωπήσεως τρόπον;

[02162] Ἔτι εἰς τὸ αὐτό·

[02163] Ὅτι ἴσος ὁ Υἱὸς κατὰ πάντα τῷ Θεῷ καὶ Πατρὶ, προκειμένου καὶ ἐξεταζομένου ῥητοῦ·

[02164] Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βα πτιστοῦ, μετὰ τῶν ἐφεξῆς.

[02165] Ἀντίθεσις ὡς ἐκ τῶν δι' ἐναντίας.

[02166] Καὶ πῶς ἂν εἴη, φησὶν, ἢ ἴσος ἢ ὅμοιος ὁ Χριστὸς, τουτέστιν, ὁ Υἱὸς τῷ παντελείῳ Πατρὶ, ὅς γε σαφῶς πού φησιν ὡς.

[02167] Οὐκ ἐγήγερται μὲν ἐν γεννητοῖς γυναικῶν Ἰωάννου μείζων οὐδείς·

[02168] ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν.

[02169] Αὐτὸς γὰρ ὢν ὁ μικρότερος κατὰ τὸν ἐν τῷ γεγεννῆσθαι χρόνον διὰ τῆς ἁγίας Παρθένου, τότε μόλις καὶ τὸ τῶν εἰς ἄκρον ἡκόντων ἀρετῆς ὑπεραναβήσεσθαι μέτρον ἑαυτὸν ὁμολογεῖ, ὅταν ἡ τῶν οὐρανῶν βασιλεία παραγένηται, μισθὸν ὥσπερ τινὰ τοῦτον τῆς εἰς ἡμᾶς διακονίας ἀντικομιζόμενον.

[02170] Ὁ δὲ οὕτως ἔχων φύσεως, πῶς ἂν ἦν ὅμοιος, ἢ καὶ ἐν ἰσότητι φαίνοιτο τοῦ Θεοῦ καὶ Πατρός;

[02171] Πρὸς ταῦτα λύσις ἐφεξῆς.

[02172] Ἀνοήτως σφόδρα καὶ ἀμαθῶς οἱ τῆσδε διεσκεμμένοι τὴν τῶν εἰρημένων παρὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ διειλήφασι δύναμιν.

[02173] Οὐ γὰρ ἵνα τῆς οἰκείας κατηγορήσῃ φύσεως, τὰ τοιαῦτά φησιν, οὐδὲ ὡς μέγα τι καὶ ἀξιοζήλωτον καύχημα περιτίθησιν ἑαυτῷ τῶν Ἰωάννου μέτρων τὴν ὑπεροχὴν, ὁ τοῖς τοῦ Θεοῦ καὶ Πατρὸς ἐπικομπάζων ἀξιώμασι, καὶ πάντα ἔχων ἐν ἑαυτῷ τὰ ἐκείνου φυσικῶς, διά γε τοῦτο βοῶν·

[02174] Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν.

[02175] Ἔχει δὲ ὁ Πατὴρ τὸ παντέλειον·

[02176] ἀπροσδεὴς ἄρα καὶ τέλειος ἐξ [75.157] αὐτοῦ γεγεννημένος ὁ Υἱός.

[02177] Ὁ δὲ οὕτως ἔχων φύσεως κατὰ τὸν παρ' ἐκείνων λόγον, πῶς οὐκ ἂν εἴη λοιπὸν ὅμοιός τε καὶ ἴσος κατὰ πάντα τῷ φύσαντι;

[02178] ΑΛΛΟ, διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς, ἐνάγον εἰς ὁμολογίαν, ὅτι κίβδηλον τῶν δι' ἐναντίας τὸ θεώρημα·

[02179] καὶ ὅτι τὸ οὕτω νοεῖν, ἀμαθές.

[02180] Φησί που Χριστός·

[02181] Οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ·

[02182] ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν.

[02183] Ἀλλ' εἴπερ ἐνεχθὲν ἐπὶ τοῦ Χριστοῦ τὸ μικρότερον τὴν ἐν χρόνῳ ποσότητα σημαίνει, καὶ ἐπ' αὐτοῦ κρατήσει τοῦ ἁγίου Βαπτιστοῦ τὸ ἴσον ἀναλόγως τοῖς θεωρήμασι.

[02184] Σημαίνει δὲ ὁμοίως τὸν χρόνον τὸ, Οὐκ ἐγήγερται μείζων.

[02185] Ἀλλ' οὐκ ἀληθὴς ἡμῖν ὁ ἐπὶ τούτῳ λεχθήσεται λόγος, ἀντελεγχούσης τρόπον τινὰ τῆς θείας Γραφῆς καὶ βιῶναι λεγούσης τὸν μὲν τοῦ γένους ἡμῶν ἀρχηγέτην Ἀδὰμ ἐφ' ὅλοις ἔτεσιν ἐννεακοσίοις τὸν ἀριθμὸν καὶ πεντήκοντα·

[02186] ἑτέρους δὲ πάλιν ἐκείνῳ τιθείσης εἰς ποσότητα τὴν ἐν χρόνῳ γείτονας, γεννητοὺς ὄντας ἐκ γυναικῶν, κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, καίτοι τοῦ προκηρύττοντος Βαπτιστοῦ κομιδῇ νέον τὸν καθ' ἡμᾶς ἀναλύσαντος βίου.

[02187] Οὐκοῦν οὐ τὸν χρόνον ἐπ' αὐτοῦ τὸ μείζων δηλοῖ, μᾶλλον δὲ τὸν ἐν ἀρετῇ κεκτῆσθαι τὸ ὑψηλὸν, καὶ ἐπ' αὐτοὺς ἀναβῆναι λοιπὸν τῆς ἐνούσης ἀνθρώποις δικαιοσύνης τοὺς ὅρους·

[02188] τούτοις ἀκολούθως καὶ ἐπὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τὸ μικρότερος τῷ μείζονι ἀντιπαρακείμενον οὐ χρόνου δέξεταί τι σημαντικόν.

[02189] Εἴη γὰρ ἂν οὕτως καὶ γέλωτος ἄξιον τὸ ἐν χρόνῳ ποσὸν, τῶν κατὰ ἀρετὴν ὑψωμάτων ἔσεσθαι μεῖζον ἐννοεῖν.

[02190] Ποῖα γὰρ ὅλως τὰ τοιαῦτα πρὸς ἄλληλα τὴν σύγκρισιν ἐπιδέξεται;

[02191] δηλώσει δὲ μᾶλλον ὡς ἐξ ἀναγκαίου λόγου τὸ ἐν ἁγιασμῷ μειονέκτημα·

[02192] ἵνα λοιπὸν καὶ τῆς Ἰωάννου πολιτείας φαίνηται δεύτερος ὁ Υἱός.

[02193] Ἐχούσης δὲ οἴκοθεν τῆς δυσφημίας τὸν ἔλεγχον, τὸ οὕτω νοεῖν παραιτούμεθα.

[02194] Ὡς ἐκ τῶν δι' ἐναντίας.

[02195] Τὴν ἁπλῆν, φασὶ, καὶ ἀπεριεργοτέραν τοῖς παρὰ τοῦ Σωτῆρος εἰρημένοις θεωρίαν ἐπάγοντες, χαριέντως αὐτὸν εἰρηκέναι πιστεύομεν ὅτιπερ ὁ μικρότερος ὡς ἐν ποσότητι χρόνου τοῦ κατὰ τὴν γέννησιν τὴν μετὰ σαρκὸς, ἔσται μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν καὶ τοῦ τελείου πρὸς τὴν ἐν ἀνθρώποις ἀρετήν.

[02196] Οὐκοῦν τὸ μὲν μικρότερος τὸ Κυριακὸν εἰσοίσει πρόσωπον ἡμῖν·

[02197] τὸ δὲ ἐν τελειότητι τῇ κατ' εὐσέβειαν ἀνθρωποπρεπεῖ κεῖσθαι τὸν ἅγιον Βαπτιστὴν, τὸ, Ἐν γεννητοῖς γυναικῶν μὴ ἠγηγέρθαι μείζονα, μαρτυρεῖ·

[02198] ἀλλὰ καὶ τὸν οὕτω μέγαν ὑπεραλεῖται Χριστός.

[02199] Ποῖον ἐν τούτοις τὸ ἄτοπον;

[02200] Πρὸς ταῦτα λύσις.

[02201] Εἰ μηδὲν ἐν τούτοις τὸ ἄτοπον, οὐχ ἁπλῶς εἰπεῖν, ἀλλὰ ζητεῖν ἀναγκαῖον·

[02202] χρῆναι γὰρ οἶμαι γοργῶς τοῖς θείοις ἐπαγωνίζεσθαι λόγοις, οὐ πάντως τὴν ἐξ ἁπλουστέρων θεωρημάτων ἐρανίζειν διάγνωσιν, ὅτε δὴ μάλιστα πολλὴν ἡμῖν ἐμποιοῦσα τὴν ζημίαν ὁρᾶται.

[02203] Ἵνα γὰρ καὶ νοήσωμεν οὕτως τὸ εἰρημένον, ὡς ὑμεῖς φατε καὶ βουλεύεσθε, σημαινέσθω χαριέντως διὰ τοῦ Μικρότερος ὁ Σωτήρ.

[02204] Ὑπερκείσεται τοίνυν [75.160] κατά τινα τρόπον τὸν ἅγιον Βαπτιστὴν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἢ πῶς ἔσται μείζων αὐτοῦ;

[02205] Κατὰ μὲν οὖν τὸν ἐν ποσότητι τοῦ γεγεννῆσθαι χρόνον, οὐκ ἄν τις, οἶμαι, σωφρονῶν ἐννοήσειε.

[02206] Πῶς γὰρ ἄν τις καὶ φθάσαι τὸ ἀεὶ προβαδίζον αὐτοῦ, καὶ ταῖς τοῦ χρόνου περιόδοις ἀεὶ συντρέχον καὶ συνελκόμενον;

[02207] Ὅνπερ γὰρ τρόπον τὰ ἐν ταῖς τῶν κύκλων περιστροφαῖς ἀεὶ πρὸς τὸ πρόσω χωρεῖ τὴν τοῦ διώκοντος καὶ κατόπιν κειμένου παρεκνεύοντα θέσιν, οὕτως οἱ τὸ ἐν χρόνῳ τρίβοντες μέτρον, ἀεὶ μεῖζον ἐν αὐτῷ κατὰ τῶν ὕστερον κεκτήμεθα.

[02208] Οὐκοῦν οὐ κατὰ τοῦτο πλεονεκτήσει Χριστὸς τὸν ἅγιον Βαπτιστὴν, λείπει δὴ λοιπὸν ὡς ἐξ ἀνάγκης εἰπεῖν, ὅτι κατὰ τὸν τῆς ἁγιότητος τρόπον.

[02209] Πῶς γὰρ ἄν τις ἑτέρως ἐν αὐτοῖς ἐπινοήσειε τὸ μεῖζον;

[02210] Ἀλλ' εἰ τότε κατὰ τὸν τῆς βασιλείας δηλονότι καιρὸν μείζων ὀφθήσεται, νῦν ἄρα τὸ ἴσον ἢ τὸ ἔλαττον ἔχει.

[02211] Ἐπειδὴ δὲ, ὡς εἰκὸς, τὸ ἐν ἐλάττοσι τῶν Ἰωάννου κεῖσθαι Χριστὸν λογιοῦνται δυσσεβεῖς, ἀποδώσουσιν ἄρα τὸ ἴσον.

[02212] Ἀλλ' ὁράτωσαν καὶ τοῦτον αὐτοῖς ἀσθενοῦντα τὸν λογισμόν.

[02213] Ποία γὰρ ἰσότης αὐτοῖς ἐν ἁγιασμῷ σωθήσεται;

[02214] Πῶς δὲ οὐ νικήσει Χριστὸς ἀσυγκρίτοις ὑπεροχαῖς, ὅταν ἴδῃς τὸν μακάριον Ἰωάννην λέγοντα πρὸς αὐτόν·

[02215] Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι;

[02216] Χωρὶς δὲ πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται καὶ ἁγιάζεται.

[02217] ΑΛΛΟ.

[02218] Προσεφώνει τοῖς Ἰουδαίοις ὁ μακάριος Βαπτιστής·

[02219] Ἐγὼ ὑμᾶς ἐβάπτισα ἐν ὕδατι.

[02220] Ὀπίσω μου ἔρχεται ἀνὴρ, οὗ οὐκ εἰμὶ ἱκανὸς ἵνα κύψας λύσω τὸν ἱμάντα τοῦ ὑποδήματος.

[02221] Ἐκεῖνος ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί.

[02222] Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ.

[02223] Ποῖος οὖν ἄρα πρὸς ταῦτα γενήσεται λόγος τοῖς ἐν ἰσότητι τῶν Ἰωάννου μέτρων τιθεῖσι τὸν Κύριον;

[02224] Οὔπω γὰρ μείζων, εἴπερ ἔσται ποτὲ, κατὰ τὴν ἐκείνων διάληψιν, ὅτου χάριν ἑαυτὸν μὲν ὕδατι βαπτίζειν, τὸν δὲ τοῦ Πνεύματος ἔσεσθαι χορηγὸν διϊσχυρίζεται;

[02225] Καὶ αὐτὸς μὲν, ὡς οἰκέτης, οὐδ' ὅσον ἀποθίγειν τοῦ ἱμάντος ἀποτολμᾷ·

[02226] τὸν δὲ τῆς ἅλω Δεσπότην εἶναί φησι.

[02227] Τοῦτο γὰρ σημαίνει τὸ, Διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ.

[02228] Καὶ διανομέα τε καὶ οἱονεὶ σημάντορα τῶν ἑκάστῳ πρεπόντων ὀφθήσεσθαι λέγει·

[02229] ὡς τὸν μὲν δίκαιόν τε καὶ ἀγαθὸν σίτου δίκην ταῖς οὐρανίοις εἰσκομίζειν αὐλαῖς, πυρὸς δὲ ποιεῖσθαι τροφὴν ἀχύρου τρόπον ἀποτιναχθέντα τὸν ἄδικον.

[02230] Ἀλλ' εἴπερ ἦν ἐν ἴσῳ μέτρῳ τῷ μικρὸν ὕστερον ἐσομένῳ μείζονι, τί μὴ καὶ αὐτὸς βαπτίζει μὲν ἐν ἁγίῳ Πνεύματι·

[02231] διακαθαίρει δὲ τὴν ἅλωνα αὐτοῦ, καὶ τὸ Δεσποτικὸν ἀξίωμα περικείμενος κρίνει τὴν οἰκουμένην ἐν δικαιοσύνῃ;

[02232] Ἐπειδὴ δὲ τούτων οὐδὲν ὁ μακάριος Βαπτιστὴς Ἰωάννης ἐπιτελῶν εὑρίσκεται, πράττει δὲ ὁ Χριστὸς ἐν ἐξουσίᾳ θεοπρεπεῖ, οὐκ ἴσος ἄρα ἐκεῖνος τῷ τοσοῦτον ἐξαλλομένῳ καὶ ἀναβαίνοντι.

[02233] [75.161] ΑΛΛΟ.

[02234] Τὴν διὰ πίστεως ἄφεσιν ὑπισχνούμενος ἡμῖν ὁ τοῦ Θεοῦ Λόγος, διὰ τοῦ προφήτου φησὶν Ἡσαΐου·

[02235] Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου, καὶ οὐ μὴ μνησθήσομαι.

[02236] Ἐπειδὴ δὲ ἤδη παρῆν, καὶ διὰ τῆς ἁγίας ἐγεννήθη Παρθένου, ἐπὶ γῆς τε ὤφθη, καθὰ γέγραπται, καὶ τοῖς ἀνθρώποις συνανεστρέφετο, κατασημαίνει τοῖς ὁρῶσιν αὐτὸν ὁ κῆρυξ καὶ πρόδρομος, καὶ δὴ καί φησιν ὁ μακάριος Βαπτιστής·

[02237] Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

[02238] Εἴπερ οὖν ἔσται, κατά τινας, μείζων Ἰωάννου Χριστὸς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, καὶ τοῦτο ἐν ἐλπίσιν ἔχει τὸ γέρας, ἣν ἄρα πάντως οὐκ ἐν ἐλαττώσει, ἐν ἰσότητι δὲ, κατὰ τὸ εἰκός.

[02239] Εἶτα πῶς τὰ ἐν ἴσῳ μέτρῳ τοσοῦτον δι' ἀλλήλων ἀπολιμπάνεται, ὡς τὸν μὲν δύνασθαι τοῦ κόσμου τὴν ἁμαρτίαν ἀφαιρεῖν, καὶ τοῦτο ἐνεργεῖν ἐξουσιαστικῶς·

[02240] τὸν δὲ τοῦ καθαίροντος καὶ ἁγιάζοντος ἐπιδεᾶ καθεστάναι;

[02241] Χρείαν γὰρ ἐγὼ, φησὶν, ἔχω ὑπὸ σοῦ βαπτισθῆναι.

[02242] Ἐπειδὴ δὲ οὐκ ἐν τοῖς τινος δεομένοις, ἀλλ' ἐν τοῖς χορηγοῦσι τὸ μεῖζον ὁρᾶται, καὶ ὁ μὲν, ὡς Θεὸς, ἀφίησιν ἁμαρτίας, ὁ δὲ δύναται τοῦτο ποιεῖν οὐδαμῶς, οὐκ ἴσος ἄρα τῷ τοσοῦτον ἐξηλλαγμένῳ.

[02243] ΑΛΛΟ, ὡς ἐν ἐπιτομῇ καὶ ἁπλότητι.

[02244] Εἰ μείζων ἔσται τοῦ ἁγίου Βαπτιστοῦ, κατά τινας, ὁ Σωτὴρ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἢ ἴσος, ἢ ἐν ἐλαττώσει ἐστὶ κατὰ τὸν τῆς ἐνανθρωπήσεως χρόνον.

[02245] Ἐν μὲν οὖν ἐλαττώσει, οὐδαμῶς.

[02246] Ἐν ἰσότητι δέ·

[02247] τοῦτο γάρ πώς ἐστι τὸ πρεπωδέστερον.

[02248] Ἀλλ' εἴπερ ὄντως ὁ τῆς ἰσότητος ἐπ' ἀμφοῖν σώζεται λόγος, καλείσθω καὶ Ἰωάννης σοφία καὶ δύναμις τοῦ Πατρὸς, χρηματιζέτω δὲ εἰκὼν καὶ χαρακτὴρ, καὶ ἀπαύγασμα τῆς ὑποστάσεως αὐτοῦ.

[02249] Φερέτω καὶ αὐτὸς τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ·

[02250] ἀκουέτω καὶ αὐτὸς παρὰ τοῦ Πατρός·

[02251] Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε·

[02252] καί·

[02253] Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

[02254] Εἰσαγέσθω καὶ αὐτὸς ὡς πρωτότοκος εἰς τὴν οἰκουμένην, προσκυνείσθω παρὰ τῶν ἁγίων ἀγγέλων, λεγέτω δὲ ἀνεγκλήτως περὶ ἑαυτοῦ·

[02255] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.

[02256] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα·

[02257] καὶ πάλιν·

[02258] Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή·

[02259] καί·

[02260] Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.

[02261] Εἰ δὲ ταῦτα μὲν ἔστι πάντα Χριστὸς, οὐκέτι δὲ καὶ ὁ πρὸς ἰσότητα τὴν πρὸς αὐτὸν καλούμενος ἀμαθῶς, πῶς οὐ λίαν ἀπαίδευτον παντί τῳ φανεῖται λοιπὸν, τὸ μείζονά ποτε γενήσεσθαι νομίζειν αὐτοῦ, τὸν ἀεὶ τοῦτο ὑπάρχοντα φυσικῶς, ὡς Θεόν;

[02262] ΑΛΛΟ.

[02263] Εἰ ἐν τῷ ποτὲ τὴν Ἰωάννου πλεονεκτήσειν ἀρετὴν ἀξιάγαστος ὀφθήσεται Χριστὸς, οὐδὲν ἐν αὐτῷ τὸ μέγα·

[02264] ἐπεὶ καὶ ἄγγελοι κρείττους αὐτοῦ κατά γε τὸν λόγον τῆς οἰκείας φύσεως, καὶ τῆς εἰς Θεὸν εὐσεβείας τὴν ὑπεροχήν.

[02265] Εἶτα ποῖ ποτε βαδιεῖται Παῦλος [75.164] Ἡμῖν ὁ σοφώτατος τοσοῦτον ἀγγέλων ὑπερτιθεὶς τὸν Χριστὸν, ὅσον ἡ θεία φύσις τὴν γενητὴν ὑπερτρέχει.

[02266] Τίνι γὰρ, εἶπε, ποτὲ τῶν ἀγγέλων, φησί·

[02267] Κάθου ἐκ δεξιῶν μου;

[02268] Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα;

[02269] Πῶς οὖν ὁ τοσοῦτον τοὺς Ἰωάννου μείζονας ἀγγέλους ἀναβαίνων Υἱὸς, ὡς καὶ τοῖς τοῦ Πατρὸς ἐνιδρύσθαι θώκοις, ὡς μέγα τι καὶ ἀξιόπιστον ἐφ' ἑαυτῷ φησιν, ὡς ἔσται μείζων αὐτοῦ κατὰ τὸν τῆς βασιλείας καιρὸν, καίτοι τὸ μεῖζον ἔχων ἀεί;

[02270] Πῶς γὰρ οὐχ οὕτως ὁ ἐν ἰσότητι τοῦ Θεοῦ καὶ Πατρός;

[02271] ΑΛΛΟ.

[02272] Εἰ λύχνος ἦν ὁ μακάριος Βαπτιστὴς, φῶς δὲ ὁ Χριστὸς, πῶς ἐν ἰσότητι κείσεται τῇ λύχνῳ τὸ φῶς, καὶ τὸ φωτίζειν πεφυκὸς τῷ φωτὸς δεομένῳ;

[02273] Τὸ δὲ τοσοῦτον ἀεὶ πλεονεκτοῦν, πῶς ἐν ἐλαττώσει ὂν, ἐπὶ τὸ μεῖζον ἀναβήσεται;

[02274] ΑΛΛΟ.

[02275] Εἰ ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστὶ, τουτέστιν ὁ Χριστὸς, ὁ δὲ φίλος τοῦ νυμφίου ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, τουτέστιν ὁ μακάριος Βαπτιστὴς, ἕτερος ἄρα παρ' αὐτόν ἐστιν οὐ μόνον δηλονότι διαστελλόμενος ἀριθμῷ, ἀλλὰ τὸ ἴσον οὐκ ἔχων ἐν ἀξιώματι καὶ τιμῇ.

[02276] Εἴπερ ὁ μέν ἐστι πανηγυράρχης ἀληθῶς, ὁ δὲ τῆς ἑτέρου πανηγύρεως μέτοχος, καὶ διὰ τοῦτο λαμπρότερος.

[02277] ΑΛΛΟ.

[02278] Αὐτός πού φησιν ὁ μακάριος Βαπτιστὴς περὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ·

[02279] Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν.

[02280] Εἶτα τὸ οἰκεῖον ἐκκαλύπτων μέτρον·

[02281] Ὁ ὢν ἐκ τῆς γῆς, φησὶν, τὰ τῆς γῆς λαλεῖ.

[02282] Εἴπερ οὖν ἐν ἰσότητι κείσεται τῇ πρὸς αὐτὸν ὁ Σωτὴρ, ὡς οὔπω τὸ μεῖζον ἀπολαβὼν, οὐδὲν, ὡς εἰκὸς, διακωλύσει καὶ τὸ ἑκατέρῳ κυρίως προσὸν μεταβαίνειν ἐπὶ τὸν ἕτερον·

[02283] ὡς νοεῖσθαι μὲν, ἄνωθέν τε καὶ ἐπάνω πάντων τὸν ἅγιον Βαπτιστὴν, ἀπὸ δὲ τῆς γῆς τὸν Κύριον.

[02284] Ἀλλὰ τοῦτο ἄτοπον.

[02285] Ὁ μὲν γὰρ, ὡς κατὰ φύσιν ὑπάρχων Θεὸς, ἐπάνω πάντων ἐστίν·

[02286] ὁ δὲ τῆς κάτω καὶ ὑποκειμένης τῷ Θεῷ κτίσεως ἐκπεφυκὼς ἐκ τῆς γῆς ἐστιν.

[02287] Οὐκ ἴσος ἄρα, μᾶλλον δὲ ἀσυγκρίτοις ὑπεροχαῖς παραχωρήσει τὸ νικᾷν τῷ Χριστῷ.

[02288] Πῶς οὖν ἔσεσθαί ποτε προσδοκηθήσεται μείζων ὁ ἀεὶ τοσοῦτον ὑπερκείμενος;

[02289] ΑΛΛΟ.

[02290] Μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν ἀνακαινίζων ἐν ἡμῖν ὁ Σωτὴρ τὴν ἀρχαιοτάτην τοῦ Πνεύματος χάριν, ἐνεφύσησε τοῖς μαθηταῖς λέγων·

[02291] Λάβετε Πνεῦμα ἅγιον.

[02292] Καὶ πάλιν αὐτός πού φησι περὶ τοῦ Πνεύματος·

[02293] Ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει.

[02294] Ἀλλὰ καὶ Πνεῦμα Χριστοῦ τὸ ἅγιον Πνεῦμα καλεῖται παρὰ ταῖς θείαις Γραφαῖς, κατὰ τὸ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων κείμενον·

[02295] Διελθόντες δὲ Ἀσίαν καὶ τὴν Γαλατικὴν χώραν, ἐπείραζον εἰς τὴν Βιθυνίαν ἀπελ [75.165] θεῖν, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ Πνεῦμα Ἰησοῦ.

[02296] Εἴπερ οὖν ὡς ἐσόμενός ποτε μείζων Ἰωάννου Χριστὸς, ἐν ἰσότητι τέως τῇ πρὸς αὐτὸν εὑρεθήσεται, ἀνανεούτω κἀκεῖνος ἐν ἡμῖν τὴν τοῦ Πνεύματος χάριν, καὶ χορηγείτω καὶ αὐτὸς, ὥσπερ οὖν ἐποίει Χριστὸς, λεγέσθω δὲ καὶ αὐτοῦ Πνεῦμα τὸ ἐν Θεῷ καὶ Πατρὶ, βοάτω καὶ αὐτὸς περὶ τοῦ Πνεύματος·

[02297] Ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει.

[02298] Ἀλλὰ τοῦτο καὶ μόνον ἐννοεῖν, ἀσεβές.

[02299] Οὐκ ἄρα ἴσος ἐστὶ τῷ Χριστῷ, οὐδὲ ὀψὲ παραχωρήσει τὸ μεῖζον, ἀεὶ τὸ ἔλαττον ἔχων, καὶ τοσοῦτον ἡττώμενος, ὅσον ἄνθρωπος Θεοῦ.

[02300] ΑΛΛΟ.

[02301] Θεὸν ὄντα κατὰ φύσιν ἐπιδεικνύων ἑαυτὸν ὁ Υἱὸς, ἀντιδιαστέλλει τῇ κτίσει, καί φησιν·

[02302] Ἐγὼ ἐκ τῶν ἄνω εἰμὶ, ὑμεῖς ἐκ τῶν κάτω ἐστέ.

[02303] Οὐκοῦν λεγέτω τοῦτο καὶ ὁ μακάριος Βαπτιστὴς, ὡς οὔπω τὸ ἐν μείζοσιν εἶναι παραχωρῶν τῷ Χριστῷ, εἴπερ ἔσται τοῦτό ποτε, κατὰ τήν τινων ὑπόνοιαν.

[02304] Ἀλλὰ μὴν ἐκ τῆς γῆς εἶναί φησιν ἑαυτὸν, καὶ τὸ οἰκεῖον οὐκ ἠγνόησε μέτρον.

[02305] Μείζων ἄρα Χριστὸς, οὐκ ἐσόμενος τοῦτο ποτὲ, ἀλλ' ἔχων ἀεὶ τὸ πλέον ὡς Θεὸς ἐκ Θεοῦ·

[02306] τοῦτο γὰρ σημαίνει τὸ, Ἐκ τῶν ἄνω εἰμί.

[02307] ΑΛΛΟ.

[02308] Ὁ μακάριος εὐαγγελιστὴς Ἰωάννης τὸ φύσει προσὸν ἀξίωμα τῷ Υἱῷ διερμηνεύων ἀκριβῶς, καὶ τὸ Ἰωάννου μέτρον ὡς οἰκέτου γνησίου παρατιθεὶς, οὕτω φησίν·

[02309] Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης·

[02310] οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός.

[02311] Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.

[02312] Ποῖ ποτε οὖν ἄρα προκόψει Χριστὸς τοῖς Ἰωάννου συγκρινόμενος μέτροις;

[02313] Ἤπως οὐ μεῖζον ἀεὶ τὸ φωτίζειν εἰδὸς καὶ δυνάμενον, τοῦ δεομένου φωτίζεσθαι, καὶ τῆς ἀπὸ τοῦ λαμπρύνοντος χρῄζοντος χορηγίας;

[02314] Πῶς δὲ οὐχὶ πάντως ὁ πρὸς μόνην μαρτυρίαν παραληφθεὶς καὶ τοῦτο ἔχων ἀξίωμα, παραχωρήσει τὸ μεῖζον ἀεὶ τῷ δι' ὅν ἐστιν ἐξαίρετος;

[02315] ΑΛΛΟ.

[02316] Ἀναλεγόμενός ποτε τοῖς Ἰουδαίοις ἔφησεν ὁ Χριστός·

[02317] Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκε τῇ ἀληθείᾳ.

[02318] Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω.

[02319] Ἀλλ' εἴπερ ἐστὶ καὶ τῆς Ἰωάννου μαρτυρίας κρείττων ὁ Σωτὴρ, οὐκ ἄρα ἴσος, ἀλλὰ μείζων ἀεὶ καὶ ἀξιολογώτερος.

[02320] Ὁ δὲ οὕτως ἔχων ποῖ ποτε ἄρα προβήσεται, ἢ πρὸς ποῖον ἔτι μεῖζον ἀναβήσεται;

[02321] ΑΛΛΟ.

[02322] Ὁ μακάριος Ζαχαρίας ὁ τοῦ ἁγίου Βαπτιστοῦ, κατὰ σάρκα πατὴρ, ὅτε τὴν ὑπὲρ αὐτοῦ προσῆγεν εὐχαριστίαν ταῖς ἐκ προφητείας ἀναμεμιγμένην φωναῖς, ἀπεφθέγγετο·

[02323] Καὶ σὺ, παιδίον, προφήτης ὑψίστου κληθήσῃ·

[02324] προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι αὐτῷ λαὸν κατεσκευασμένον.

[02325] [75.168] Καὶ αὐτὸς δέ που παρὰ τῶν Ἰουδαίων τὸ τίς ἂν εἴη διερωτώμενος·

[02326] Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, φησίν·

[02327] Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου.

[02328] Λέγετε τοίνυν ἡμῖν οἱ προβεβλῆσθαί ποτε τὸν Χριστὸν ἐπὶ τὸ μεῖζον ἀμαθῶς ὑποπτεύοντες, καὶ τὸ Ἰωάννου μέτρον ὑπεραλεῖσθαι μόλις ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, πότε τοῦ Ὑψίστου προφήτης οὐκ ἂν ἐλάττων νοοῖτο δικαίως;

[02329] Πότε δὲ ὁ κῆρυξ καὶ πρόδρομος καὶ τὴν οἰκέτῃ πρέπουσαν διακονίαν ἀποπληρῶν, εἰς τὸ ἴσον ἀναβαίνει μέτρον τῷ κατὰ φύσιν Κυρίῳ;

[02330] Ἀλλ', οἶμαι, πᾶσίν ἐστιν ὁ λόγος εὐσύνοπτος.

[02331] Πῶς οὖν ὁ μείζων ἀεὶ, τοῦτο ἔσται κατὰ καιροὺς, εἴπερ ὡς ἐσόμενος μείζων Ἰωάννου Χριστὸς, Ὁ μικρότερος, φησὶν, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν;

[02332] Ἐξήγησις εὐσεβὴς ὅλου τοῦ κεφαλαίου, τὸν ἐν τῷ θεωρήματι σκοπὸν ἀπογυμνοῦσα γοργῶς.

[02333] Ἐξαρκούντως ἤδη κατά γε τὸν ἡμέτερον νοῦν τὸν ἐν τοῖς προλαβοῦσι βασανίσαντες λόγον, καὶ τῶν θεωρημάτων ἕκαστον μετὰ τῆς δεούσης ἀκριβείας διευκρινησάμενοι τόν τε τῶν δι' ἐναντίας ὡς οὐκ ἔχοι καλῶς διελέγξαντες σκοπὸν, ἐπ' αὐτὰ δὴ λοιπὸν ἰέναι προσήκειν ἐνενοήσαμεν τὰ ἐξ ἀληθείας θεωρήματα καὶ τὴν ἐν τῷ παροισθέντι ῥητῷ διαπτύσσειν διάνοιαν.

[02334] Οὐ γὰρ οἶμαι δεῖν, ὡς οὐκ ἄριστα νοοῦσι, μόνον ἐπιτιμᾷν τοῖς ὅτι μείζων ἔσται Χριστὸς Ἰωάννου κατά τινα χρόνον διειληφόσιν, ἀλλὰ καὶ αὐτῇ τῇ παραθέσει τῶν ἀληθεστέρων ἐννοιῶν ἀποκρούεσθαι τῷ μὴ δοκεῖν οὐ δεόντως ἐπισκήπτειν αὐτοῖς.

[02335] Φέρε δὴ οὖν ἐπ' αὐτὸ λοιπὸν ἴωμεν τὸ ἀνάγνωσμα, καὶ τῶν εἰρημένων παρὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τὴν αἰτίαν ἀνακεφαλαιούμενοι, τοὺς ἀκροωμένους διδάσκωμεν, τίς ἂν εἴη λοιπὸν ὁ τοῦ λόγου σκοπός.

[02336] Οὐκοῦν, ἐντεῦθεν γὰρ ἤδη τὴν ἀρχὴν ποιησόμεθα, ὁ Ἰωάννης ἐν τῷ δεσμωτηρίῳ ἀκούσας τὰ ἔργα τοῦ Χριστοῦ, πέμψας δύο τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ·

[02337] Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;

[02338] Πρὸς ταῦτα Χριστὸς ἀπεκρίνατο·

[02339] Πορευθέντες εἴπατε Ἰωάννῃ ἃ ἠκούσατε καὶ βλέπετε, καὶ τὴν τῶν σημείων καταλέγει μεγαλουργίαν.

[02340] Ἐπειδὴ δὲ πρὸς τὸν μακάριον Βαπτιστὴν πάλιν ἀνεκομίζοντο οἱ μαθηταὶ, λέγει πρὸς τὴν περιεστῶσαν πληθὺν τῶν Ἰουδαίων ὁ Σωτήρ·

[02341] Τί ἐξήλθετε εἰς τὴν ἔρημον ἰδεῖν, κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον;

[02342] ἀλλ' ἐν μαλακοῖς ἱματίοις ἄνθρωπον ἠμφιεσμένον;

[02343] ἀλλὰ προφήτην;

[02344] Ναὶ λέγω ὑμῖν καὶ περισσότερον προφήτου.

[02345] Οὗτος γάρ ἐστι περὶ οὗ γέγραπται·

[02346] Ἰδοὺ ἀποστελῶ τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.

[02347] Εἶτα πρὸς τούτοις φησὶ ζητούμενον·

[02348] Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ·

[02349] ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστι.

[02350] Καὶ οὐ μέχρι τούτων ὁ λόγος.

[02351] Ἐπιφέρει γὰρ εὐθύς·

[02352] Ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ Βαπτιστοῦ ἕως ἄρτι ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν.

[02353] Ὅλον ἐν τούτοις, ὡς ἔπος εἰπεῖν, τὸ κεφάλαιον τὴν [75.169] συμπλήρωσιν ἔχει.

[02354] Χρῆναι δὲ οἶμαι τῶν νοημάτων ἕκαστον ἐπιδρομάδην διεξιόντας εἰπεῖν, τίς μὲν αἰτία δεσμώτην ἐποίει τὸν ἅγιον Βαπτιστὴν, ὅτου δὲ χάριν ἀνεπυνθάνετο τοῦ Χριστοῦ διὰ τῶν οἰκείων μαθητῶν, εἴπερ εἴη σαφῶς αὐτὸς ὁ ἐρχόμενος·

[02355] καὶ τίς ἢ πόθεν ἡ πρὸς τοὺς ὄχλους ἀπόκρισις γέγονε τοῦ Χριστοῦ.

[02356] Ἢ τί τὸ πεπεικὸς ὡς Ἐγήγερται μὲν οὐδεὶς ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου λέγειν, εἶναί γεμὴν τοῦ τοσούτου μείζονα τὸν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μικρότερον;

[02357] Οὐκοῦν ἐπ' αὐτὴν ἰτέον τὴν τῶν προτεθέντων ἐξήγησιν.

[02358] Παράδοξόν τινα καὶ ξένην ἐπιτηδεύσας πολιτείαν ὁ μακάριος Βαπτιστὴς, καὶ βίου τρίβον ἐλάσας ἀσυνήθη τοῖς ἄλλοις καὶ οὐ τοῖς τυχοῦσι βατὴν, ἐθαυμάζετο μὲν, καὶ λίαν εἰκότως, παρὰ τῶν Ἰουδαίων·

[02359] τὸν δὲ ὅσον οὐδέπω, μᾶλλον δὲ ἤδη παρόντα, κηρύττων Χριστὸν, μονονουχὶ καὶ χεῖρα προτείνει λέγων·

[02360] Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

[02361] Ἐπειδὴ δὲ ὁ παρ' αὐτοῦ μαρτυρούμενος Κύριος, λιπεῖν ἐδόκει τὴν ἐκ νόμου διὰ Μωσέως λατρείαν, τὴν εὐαγγελικὴν ἀντ' ἐκείνης πολιτείαν εἰσφέρων, μᾶλλον δὲ τὰ ἐν τύπῳ καὶ σκιᾷ μεταρυθμίζων εἰς ἀλήθειαν, οὐκ ἔξω μομφῆς ὁ μακάριος ἔκειτο Βαπτιστὴς, ἅτε δὴ συνηγορεῖν ἀναπεπεισμένος τῷ τὴν νομικὴν ἀνατρέποντι παίδευσιν, κατά γε τοὺς τῶν ἀνοήτων λόγους.

[02362] Εἰ γὰρ ἦν οὗτος παρὰ Θεοῦ, ἔφασκον, ὁ ἄνθρωπος, οὐκ ἂν ἔλυε τὸ Σάββατον.

[02363] Τί οὖν ἄρα μηχανᾶται πρὸς τοῦτο;

[02364] Τὰς τῶν Ἰουδαίων οὐ πάντως ἀποκρουόμενος, ἀλλ', ἵν' οὕτως εἴπω, διαχλευάζων ἐννοίας, συναγορεύειν προσποιεῖται τῷ νόμῳ, καὶ Μωσαϊκῶν ὑπεραγωνίζεσθαι προσταγμάτων.

[02365] Πολλῶν γὰρ τῷ τηνικάδε κατὰ ποικίλους παρανομούντων τρόπους, πρόσεισι μόνον τὸν Ἡρώδην διελέγχων, καὶ ῥιψοκινδύνως περὶ τῆς Ἡρωδιάδος βοῶν·

[02366] Οὐκ ἔξεστί σοι ἔχειν αὐτήν·

[02367] οὐδένα γὰρ ὅλως τοῦ παθεῖν ἐποιεῖτο λόγον, ἄχρις ἂν αὐτῷ κατὰ τὸν προτεθέντα σκοπὸν διεξίοι τὰ πράγματα.

[02368] Δεσμώτης τοίνυν ὁ δίκαιος ἐκ τυραννικῶν ἐγίνετο προσταγμάτων, καὶ τὸ πάθος ἐδυσώπει τὸν φιλεγκλήμονα τῶν Ἰουδαίων λαόν.

[02369] Ὡς γὰρ ὑπὲρ νόμου πάσχοντα λοιπὸν, ἀγαπᾷν ἠναγκάζετο, ἑτοιμότερός τε ἤδη τοῖς παρ' αὐτοῦ κηρυττομένοις πρὸς τὸ πιστεύειν ἐγίνετο.

[02370] Οὐκοῦν τὰς τῶν Ἰουδαίων εὐνοίας, καὶ τὴν τῶν σκληροτέρων ἀπείθειαν ἀγοράζειν ὥσπερ ὁ Βαπτιστὴς διὰ τοῦ πάσχειν ἠπείγετο.

[02371] Ἐπειδὴ δὲ Πνεύματος ἁγίου μέτοχος ὢν, καὶ προφητικῆς ἀναπεπλησμένος χάριτος ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ, τὸ τυραννικὸν ἐθεώρει ξίφος ἀπογυμνούμενον ἤδη, καὶ τὸν τοῦ σώματος ἀπαστράπτον θάνατον, ἐζήτει τοὺς οἰκείους μαθητὰς βεβαιῶσαι πρὸς τὴν πίστιν τὴν ἐπὶ τῷ Σωτῆρι Χριστῷ·

[02372] εἰδέναι τε καὶ μάλα σαφῶς ἐπεθύμει κατ' οὐδὲν ἐνδοιάζοντας, ὅτιπερ αὐτός ἐστιν ὁ ἐπὶ σωτηρίᾳ πάντων ἥξειν προσδοκώμενος.

[02373] Προσποιεῖται τοίνυν οἰκονομικῶς ἀγνοεῖν, ἵνα πιστεύσαντι σύνδρομοι πάλιν οἱ μαθηταὶ πρὸς τὸ πιστεύειν εὑρίσκοιντο.

[02374] Ἦν γὰρ δὴ καὶ φρονήματος οὐ μικρὰν ἐν ἑαυτῷ τὴν ἀλαζονείαν ὠδίνοντος, μὴ ταῖς τοῦ διδασκάλου μᾶλλον, ἀλλὰ ταῖς οἰκείαις παιδαγωγεῖσθαι βουλαῖς Οὐκοῦν οἰκονομικῶς, καὶ ἵν' οὕτως εἴπω [75.172] μεν, ὥσπερ ἐπὶ σκηνῆς τὸ τῶν ἀγνοούντων προσωπεῖον ἑαυτῷ περιθεὶς, πέμπει τῶν οἰκείων μαθητῶν, οἵπερ ἦσαν συνετώτεροι, καὶ δὴ καὶ ἀναπυνθάνεσθαι κελεύει, καὶ διὰ ζώσης τοῦ Σωτῆρος φωνῆς ἐκμαθεῖν, εἰ αὐτός ἐστιν προσδοκώμενος.

[02375] Ἐπειδὴ δὲ ἧκον ἤδη πρὸς τὸν Ἰησοῦν οἱ ἀπεσταλμένοι, τοῦτο συνεὶς, ἅτε δὴ Θεὸς ὑπάρχων ἀληθινὸς, πλουσιωτέραν ἐποιεῖτο τὴν ἐπὶ τοῖς κάμνουσι φιλοτιμίαν, καὶ παραδόξων ηὑρίσκετο ποιητὴς τότε μᾶλλον ἢ πρότερον·

[02376] ἐκεῖνα δὲ οἰκονομικῶς εἰργάζετο κατ' ἐκεῖνο μάλιστα καιροῦ, ἅπερ αὐτὸν ἐπιτελέσειν, ὅταν ἥκοι πρὸς ἡμᾶς, οἱ προφῆται διήγγελλον.

[02377] Ἐρωτώμενος τοίνυν, οὐκ εὐθὺς ὑπαντᾷ καί φησι τὸ, Ἐγώ εἰμι, ἀλλὰ τοῖς προφητικοῖς κηρύγμασι τὴν ἐν τοῖς ἀποτελεσθεῖσι παραθεὶς μεγαλουργίαν·

[02378] Πορευθέντες, φησὶν, ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε καὶ ἠκούσατε·

[02379] ἠκούσατε μὲν γὰρ διὰ τῶν προφητῶν, εἴδετε δὲ πληρωθέντα δι' ἐμοῦ.

[02380] Ἀλλὰ τούτων πορευομένων, ὡς αὐτός φησιν ὁ εὐαγγελιστὴς, ἤρξατο ὁ Χριστὸς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου·

[02381] Τί ἐξήλθετε ἰδεῖν;

[02382] καὶ τὰ τούτοις ἐφεξῆς κείμενα.

[02383] Ἀναγκαῖον δὲ πάλιν καὶ τὸν περὶ τούτου λόγον ἐποιήσατο Χριστός.

[02384] Ἐπειδὴ γὰρ ἐμάνθανεν ἡ περιεστῶσα τῶν ἀκροωμένων πληθὺς, ὡς ἦσαν μὲν τῶν Ἰωάννου μαθητῶν οἱ τὴν πεῦσιν προσάγοντες, ἧκον δὲ οὐκ ἰδίας ὥσπερ ἀγνοίας ζητοῦντες ἀπαλλαγὴν, ἀλλὰ τῆς αὐτοῦ πεπομφότος καὶ διερωτᾷν ἀναπείθοντος, κατενόησεν ἅτε δὴ καὶ καρδίας εἰδὼς, καὶ τὰ ἐν τῷ ἀνθρώπῳ γιγνώσκων, ὅτι πάντως ἐροῦσί τινες καὶ λογιοῦνται καθ' ἑαυτούς·

[02385] Εἰ μέχρι σήμερον ἀγνοεῖ τὸν Ἰησοῦν ὁ μακάριος Ἰωάννης, πῶς ἡμῖν αὐτὸν ἐδείκνυε λέγων·

[02386] Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου;

[02387] Καὶ ἦν οὐ μικρὸν ἐντεῦθεν ὑπολαβεῖν ἔσεσθαι τοῖς ὄχλοις τὸ βλάβος.

[02388] Οὐκοῦν τὸ συμβεβηκὸς αὐτοῖς θεραπεύων πάθος, καὶ τὴν ἀπὸ τοῦ σκανδάλου ζημίαν ἀποῤῥιζῶν, λέγει πρὸς αὐτούς·

[02389] Τί ἐξήλθετε εἰς τὴν ἔρημον ἰδεῖν;

[02390] κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον;

[02391] Ἐθαυμάσατε, φησὶ, τὸν μακάριον Βαπτιστὴν, καὶ δὴ καὶ τὴν πρὸς αὐτὸν ἀποδημίαν ἐπονίσασθε πολλάκις, τὰς οὕτω μακρὰς τῆς ἐρήμου κατατρίβοντες ὁδοὺς, καὶ ἱδρῶτι πολλῷ τὴν ἐντεῦθεν ὠφέλειαν ὠνούμενοι.

[02392] Ἆρ' οὖν εἰκῇ καὶ προχείρως, φησὶν, ἐθαυμάζετε, εἴπερ οὕτως αὐτὸν ἐλαφρὸν ἔχειν οἴεσθε τὸν νοῦν, ὡς προσεοικέναι καλάμῳ τῷ λίαν ἑτοίμως ἐφ' ὅπερ ἂν συνωθῇ τὸ πνεῦμα συννεύοντι.

[02393] Πῶς γὰρ οὐχὶ τοιοῦτος ὢν εὑρεθήσεται, εἴπερ ὄντως, ὃν οἶδεν, ἀγνοεῖν ὁμολογεῖ, ἐκ πολλῆς τινος τοῦτο παθὼν ἐλαφρίας;

[02394] Ἀλλ' οὐ κάλαμον μέν·

[02395] Τί δὲ ὅμως ἰδεῖν ἐξήλθετε;

[02396] Ἄνθρωπον ἐν μαλακοῖς ἠμφιεσμένον;

[02397] Ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν.

[02398] Οἷς δὴ καὶ μᾶλλον ἂν εἴη, φησὶν, ἁρμοδιώτερον τὸ ἐν φρεσὶν ὑπάρχειν ἐλαφραῖς.

[02399] Πόθεν γὰρ ὁ σύντονος οὕτω περὶ τὴν ἄσκησιν, βέβαιός τε καὶ πολὺς εἰς τὸ καὶ αὐτῶν τῶν τῆς σαρκὸς καταγωνίζεσθαι παθῶν, εἰς τοσαύτην ἀμαθίαν ἐκβήσεται;

[02400] Τὸ γὰρ ἐν τοιαύτῃ κεῖσθαι διανοίας κουφότητι, ψυχῆς ἂν εἴη, φησὶν, οὐ σκληραγωγίαις μᾶλλον, ἀλλὰ ταῖς [75.173] ἐν κόσμῳ τρυφαῖς ἡδομένης.

[02401] Εἰ μὲν οὖν ὡς οὐκ ὄντα ἐν μαλακοῖς θαυμάζετε, δότε τῇ ἀσκήσει τὴν αὐτῇ πρέπουσαν ἀσφάλειαν.

[02402] Εἰ δὲ ἐν τῷ βιοῦν ἄριστα τὸ πλέον οὐδὲν, ἐν δὲ ἴσῃ τάξει τὸν πονοῦντα τῷ τρυφῶντι θήσετε, τί τὸ σεμνύνειν ἀφέντες τοὺς οἵπερ εἰσὶν ἐν μαλακοῖς ἀμφίοις καὶ ἐν αὐλαῖς βασιλέων, τὰς ἐν ἐρήμῳ διατριβὰς, καὶ περιβόλαιον εὐτελὲς, μᾶλλον δὲ τὰς ἐκ καμήλων τρίχας θαυμάζετε;

[02403] Ἀλλ' οἶμαι δυσωπήσειν ὑμᾶς τὸ ἐν τούτοις ἄτοπον, ἀξιοζήλωτον δὲ ὄντως ἐρεῖτε τὸν μακάριον Βαπτιστήν.

[02404] Ἆρ' οὖν οἴεσθε προφήτην ὑπάρχειν αὐτόν;

[02405] Ναὶ προφήτην, μᾶλλον δὲ καὶ προφήτου πλεονεκτοῦντα τὸ μέτρον.

[02406] Οἱ μὲν γὰρ ὡς ἥξει προεκήρυττον, οὔπω παρόντα θεώμενοι·

[02407] ὁ δὲ τὸ συναμφότερον.

[02408] Πανταχόθεν τοιγαροῦν ὁ Σωτὴρ ἀξιάγαστον οὖσαν ἐπιδεικνύει τὴν ἐπὶ τῷ προδρόμῳ διάληψιν, ἵνα φαίνηται κηρύξας ἀληθῆ·

[02409] καὶ μαρτυρεῖ μὲν αὐτὸς εἰς ὑψηλὸν ἀναφέρων ἀξίωμα, καὶ προφητικῶν ἐξάλλεσθαι τόπων τὸν ἄνδρα διαβεβαιούμενος.

[02410] Παρατίθησι δὲ εὐθὺς ὡς τοῖς ἑαυτοῦ λόγοις ἐποιεῖτο γείτονα τοῦ Πατρὸς τὴν φωνὴν, ἵνα τρόπον τινὰ καὶ ἐκ νομικοῦ δικαιώματος ἡ ἐπ' αὐτῷ μαρτυρία σφραγίζηται.

[02411] Οὗτος γάρ ἐστι, φησὶ, περὶ οὗ γέγραπται·

[02412] Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.

[02413] Εἶτα τί φησιν ἐπὶ τούτοις περὶ αὐτοῦ;

[02414] Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ, ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν.

[02415] Ὅρα δὴ πάλιν ἐν τούτοις ὅσην ἐποιήσατο τὴν οἰκονομίαν ὁ Σωτήρ.

[02416] Πολὺς αὐτῷ καὶ μακρὸς περὶ τοῦ ἁγίου Βαπτιστοῦ κεκίνηται λόγος.

[02417] Τὴν μὲν γὰρ, ὅθεν ἦν εἰκὸς ἀδικηθήσεσθαί πως αὐτὸν, ἀπεκρούσατο δόξαν.

[02418] Προφήτου δέ τι πλέον ἔχειν εἰπὼν, ἀξιοθαύμαστον ἤδη καὶ ἀξιεραστότατον τοῖς ἀκροωμένοις ἐδείκνυεν.

[02419] Εἶτα πρὸς τούτοις οὐκ ἐγηγέρθαι φησὶν ἐν γεννητοῖς γυναικῶν μείζονα.

[02420] Εἰκόνα τοιγαροῦν ὥσπερ αὐτὸν ἀναθεὶς τῆς ἐνούσης ἀρετῆς ἐν γεννητοῖς γυναικῶν ἔχουσαν τὸ ἀκρότατον, ἀντιπαρατίθησιν τὸ μειζόνως ἀγαθὸν, τουτέστι, τὸν ἄρτι τῆς βασιλείας ἁψάμενον, καὶ εἰς υἱὸν ἀναγεννηθέντα Θεοῦ διὰ τοῦ Πνεύματος·

[02421] ἵν' ἐξ ὧν ἐκεῖνος τὸ ἔλαττον ἔχων θαυμάζεται, ἀξιολογώτατοι φαίνοιντο τῆς βασιλείας οἱ μέτοχοι, βαδίζοιεν δὲ προθύμως τινὲς ἐπὶ τὸ ἁρπάζειν αὐτὴν, ἐκ τῆς Ἰωάννου τιμῆς τὸ ὑπερφέρον αὐτῆς ἀναμετρούμενοι κάλλος.

[02422] Οὐ γὰρ τὸ μικρῷ τινι φιλονεικοῦν εἰς ποσότητα, τὴν τοῦ μεγάλου δόξαν ἀποίσεται, ἀλλ' εἴ τι πρὸς μέγα τὴν σύγκρισιν ἔχοι, τῷ πλείονι μέτρῳ νικᾷ καὶ ὑπερτείνεται.

[02423] Βασιλείαν δὲ οὐρανῶν τὴν τοῦ Πνεύματος δόσιν εἶναί φαμεν, κατὰ τὸ εἰρημένον παρὰ Χριστοῦ·

[02424] Ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστι.

[02425] Μείζων οὖν ἄρα παντὸς γεννητοῦ γυναικὸς ὁ τῇ τοῦ Πνεύματος ἀναγεννήσει τετιμημένος.

[02426] Οἱ μὲν γὰρ ἔτι τέκνα καλοῦνται σαρκὸς, οἱ δὲ Πατέρα τὸν τῶν ὅλων ἐπιγραφόμενοι Θεὸν, ὡς υἱοὶ προσεύχονται, λέγοντες·

[02427] Ἀββᾶ, ὁ Πατήρ.

[02428] Οὐκοῦν εἰ καὶ ἐνυπάρχῃ, φησὶ, γεννητῷ γυναικὸς τὸ ἐν ἔρ [75.176] γοις ἐξαίρετον, ἀλλ' ἕξει τὸ μεῖζον ὁ πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν κεκλημένος διὰ τὸ μηκέτι χρηματίζειν υἱὸν γυναικὸς, ἀλλὰ θείας μὲν φύσεως γενέσθαι κοινωνὸν, τέκνον δὲ ἤδη καλεῖσθαι Θεοῦ, καὶ εἰ μικρότερος εἴη τῶν ἐν ἕξει τελειοτέρων, βρέφος τε ἔτι νοοῖτο βραχὺ καὶ ἀρτιγενές.

[02429] Ὅτι δὲ τῶν Ἰωάννου μέτρων, ἢ καὶ παντὸς γεννητοῦ γυναικῶν ἡ διὰ τοῦ Πνεύματος ἀναγέννησις οὐκ ὀλίγῳ διοίσει τόπῳ, οὐ θύραθεν ἡμῖν ὁ μάρτυς, ἀλλ' αὐτὸς ἀσεβήσεται λέγων πρὸς τὸν Ἰησοῦν·

[02430] Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι.

[02431] Ἰδοὺ γὰρ, ἰδοὺ καίτοι τὸ τέλειον ἔχων ἐν ἀρετῇ, τῆς διὰ τοῦ Πνεύματος ἀναγεννήσεως τὴν χάριν αἰτεῖ, ὡς εἰς τὸ μεῖζον ἢ καθ' ἑαυτὸν δι' αὐτῆς ἀναβησόμενος, καὶ τὸ μὲν εἶναι γεννητὸς γυναικὸς οὐχ ἕξων ἔτι, πρὸς δὲ τὴν θείαν εὐγένειαν ἀναμορφούμενος.

[02432] Βεβαιοῖ δὲ μάλιστα τὴν ἐπὶ τούτῳ πίστιν ὁ Σωτήρ·

[02433] Ἔχεις, ὦ οὗτος, τὸ τέλειον ἐν ἀγαθοῖς, οὐκ εἰπὼν, καὶ δίχα τοῦ διὰ βαπτίσματος ἁγιασμοῦ, ἀλλ' ὡς ἐν χρείᾳ μὲν αὐτοῦ καὶ λίαν ὑπάρχοι συννεύων καὶ συντιθέμενος, οἰκονομικῶς δὲ τὴν χάριν ἑτέρῳ φυλάττων καιρῷ.

[02434] Τοῦτο γὰρ δὴ καὶ νομίζω τὸ, Ἄφες ἄρτι, δηλοῦν.

[02435] Ὅτι δὲ πάλιν οὐρανῶν βασιλείαν ἀποκαλεῖ τὴν τοῦ θείου Πνεύματος δόσιν, καὶ τὴν δι' αὐτοῦ τοῖς πιστεύουσιν εἰς Θεὸν ἀναγέννησιν, οὐ μακρῶν ἡμῖν δεήσει πόνων, εἰς ἐναργεστάτην ἀπόδειξιν, ἀλλ' ἐξ αὐτῶν εἰσόμεθα τῶν τοῦ Σωτῆρος ῥημάτων·

[02436] Ἀπὸ γὰρ τῶν ἡμερῶν Ἰωάννου ἕως ἄρτι, φησὶν, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν.

[02437] Ἰωάννου γὰρ δὴ τὸ, Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, βοῶντος, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ, πολλοὶ τῶν ἀκροωμένων, τὸν ἐν ἁμαρτίαις ἔτι καὶ ἀσχήμονα παραιτούμενοι βίον, ἐφέσει τε τῇ πρὸς τὸ ἄμεινον σὺν βίᾳ καὶ τόνῳ τὸν οἰκεῖον εἰς ἀρετὴν ἀναρυθμίζοντες τρόπον, γεννητοὶ Θεοῦ διὰ Πνεύματος ἀνεδείκνυντο, πεφωτισμένοι τὸν νοῦν καὶ κεκαθαρμένοι διὰ τοῦ ἁγίου βαπτίσματος.

[02438] Ἢ εἴπερ οὐκ ὀρθῶς τε καὶ ἀναγκαίως εἰρῆσθαι τὰ τοιαῦτα δοκεῖ τοῖς τὴν ἑτέραν πρεσβεύουσι δόξαν, διδασκέτωσαν ὅτου δὴ χάριν ἐκ τῶν Ἰωάννου φησὶν ἡμερῶν τὴν τῶν οὐρανῶν βασιλείαν ἁρπάζεσθαι, ὡς οὐδενὸς ἄρα πρὸ αὐτοῦ τὴν τῶν οὐρανῶν βασιλείαν ἁρπάσαντος.

[02439] Ποῖ ποτε οὖν ἄρα τῶν προφητῶν ἡ ἐλπὶς οἰχήσεται;

[02440] Τί δὲ ὁ τοσοῦτος τῶν ἁγίων πράξει χορὸς, εἴπερ ἔξω τῆς τῶν οὐρανῶν βασιλείας κείσεται;

[02441] τότε δὴ πρῶτον τοῦ ἁρπάζεσθαι λαβούσης ἀρχὴν, ὅτε χρόνοις ὑστερήσας μακροῖς, ἀνεδείχθη μόλις ὁ Βαπτιστὴς, Μετανοεῖτε, λέγων·

[02442] ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

[02443] Ἀλλ' ἔστιν εὐσύνοπτον, ὡς ηὐτρέπιστο μὲν τοῖς ἁγίοις τὸ ἐν βασιλείᾳ γίνεσθαι, καὶ πάλαι, ἅτε δὴ καὶ συμμόρφοις ὑπάρχουσι τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, καὶ διὰ τοῦτο προεγνωσμένοις παρὰ τῷ Θεῷ καὶ Πατρί.

[02444] Κατὰ δὲ τὸν Ἰωάννου καιρὸν, καὶ λοιπὸν ἐφεξῆς, ἡ τοῦ Πνεύματος δόσις καὶ ἡ διὰ τοῦ ἁγίου βαπτίσματος εἰς Θεὸν ἀναγέννησις, διὰ πίστεως ἁρπάζεται.

[02445] Πανταχόθεν τοίνυν ἀποδεδειγμένου σαφῶς τοῦ θεωρήματος, περιττὸν ἤδη φαίνεται τὸ μείζονά ποτε τοῦ Σωτῆρος ἔσεσθαι τὸν Ἰωάννην ὑπολαμβάνειν.

[02446] Εἰ δὲ τοῦτο ἀληθὲς, λελύσθω πάλιν τῶν δι' ἐναντίας πρόβλημα.

[02447] ΛΟΓΟΣ ΙΒ.

[02448] Εἰς τὸ, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ, καὶ, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.

[02449] Ἀντίθεσις ὡς ἐκ τῶν αἱρετικῶν.

[02450] Οὐδὲν, φασὶ, θαυμαστὸν, εἰ ὁ Πατήρ ἐστιν ἐν Υἱῷ, καὶ ὁ Υἱὸς ἐν Πατρὶ, ὅπου καὶ περὶ ἡμῶν αἱ θεῖαι λέγουσι Γραφαὶ ὅτι Ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα, καὶ ἐσμέν.

[02451] Ὥσπερ οὖν καὶ ἡμεῖς ἐν αὐτῷ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμὲν, καθάπερ εἴρηται, οὕτω καὶ ὁ Υἱός ἐστιν ἐν Πατρί.

[02452] Πῶς γὰρ οἷόν τε μείζονα ὄντα τοῦ Υἱοῦ χωρεῖν ἐν αὐτῷ τὸν Πατέρα;

[02453] Ἢ πῶς κατὰ πολὺ τοῦ Πατρὸς ἐλαττούμενος ὁ Υἱὸς, ἐν αὐτῷ χωρῆσαι δυνήσεται καὶ πληρῶσαι τὸ μεῖζον;

[02454] Πρὸς τοῦτο λύσις.

[02455] Εἰ καθάπερ σῶμα ἐν σώματι χωρεῖν οἴεσθε τὸν Υἱὸν ἐν Πατρὶ, εἰκότως ἂν, οἶμαι, καὶ ζητεῖν ἔλοισθε τὸν εἰς ἀλλήλους ἀντεμβιβασμόν.

[02456] Ἐπὶ μὲν γὰρ σκεύους ὀστρακίνου τυχὸν ἢ ἐξ ἑτέρας τινὸς ὕλης κατεσκευασμένου, οὐκ ἄκομψον ἴσως τὸ λέγειν μὴ δύνασθαι τὸ μεῖζον τῷ ἐλάττονι γενέσθαι χωρητὸν, μηδ' αὖ πάλιν τὸ ἔλαττον ἀναπληροῦν τὸ μεῖζον.

[02457] Ἐπὶ δὲ τῶν ἀσωμάτων, καὶ ὧν ἡ φύσις τὸ ἔκ τινος ὕλης εἶναι διαπέφευγε, ποῖον ἂν ἔχει λόγον ἡ πρότασις;

[02458] Καὶ ταῦτά φαμεν ὡς πρὸς τὸ παρὸν, τὸ παρ' ὑμῖν ἀμαθῶς ὑπονοούμενον συγχωρήσαντες, καὶ καθάπερ αὐτοὶ πλανώμενοι πεπιστεύκατε, μείζονα τοῦ Υἱοῦ εἶναι λέγειν τὸν Πατέρα·

[02459] ὁ δὲ τῆς ἀληθείας λόγος οὐχ οὕτως ἔχει.

[02460] Ἔστι γὰρ ἴσος τῷ Πατρὶ κατὰ πάντα.

[02461] Οἶμαι δ' αὖ οὐκ ἂν ὑμᾶς ὅλως τούτοις χρήσασθαι τοῖς λόγοις, εἴπερ ᾔδειτε τί ἐστιν ἀληθινὸς ὁ Πατὴρ, καὶ ἀληθινὸς ὁ Υἱὸς, καὶ τί φῶς ἀόρατον καὶ ἀΐδιον, καὶ τὸ ἀπαύγασμα αὐτοῦ, καὶ τί πάλιν ἐστὶν ἀσώματος ὑπόστασις καὶ χαρακτὴρ ἀσώματος.

[02462] Εἰ γὰρ τὰς περὶ τῶν τοιούτων μνήμας κατὰ τὴν ἀκριβῆ κατάληψιν εἰς νοῦν ἐμφορεῖτε, πάντως ἂν καὶ τὴν τοῦ Θεοῦ φύσιν ἐννοήσαντες, οὐκ ἂν ὡς περὶ σωμάτων ἐφαντάζεσθε, ἀλλ' ἀκολούθως τοῖς εἰρημένοις ἀκριβῶς ἐζητεῖτε, πῶς μὲν ὁ Υἱὸς ἐν Πατρὶ, πῶς δέ ἐστιν ὁ Πατὴρ ἐν Υἱῷ.

[02463] Ὡς γὰρ χαρακτὴρ, καὶ εἰκὼν, καὶ ἀπαύγασμα καὶ ὁμοιότης, οὕτος ἐν ἐκείνῳ κἀκεῖνος ἐν τούτῳ φαίνεται.

[02464] Ἐπειδὴ δέ φατε μηδὲν εἶναι θαυμαστὸν, εἰ καὶ ὁ Υἱός ἐστιν ἐν Πατρὶ, διὰ τὸ καὶ ἡμᾶς ἐν αὐτῷ κινεῖσθαι καὶ ζῆν, ἀναγκαῖον ὑμᾶς κἂν τούτῳ πολὺ πλανωμένους ἐπιδεῖξαι καὶ τῆς ἀληθείας ἐκβεβηκότας τὸν ὅρον.

[02465] Οὐ γὰρ καθάπερ ἐν ἑκάστῳ τῶν ἁγίων γινόμενος ὁ Θεὸς ἁγιάζει τούτους, οὕτως ἐστὶ καὶ ἐν τῷ Χριστῷ.

[02466] Ἀλλ' αὐτὸς ὁ Υἱὸς δύναμίς ἐστι καὶ σοφία τοῦ Πατρὸς, ἁγιάζων πάντα τὰ μετέχοντα αὐτοῦ ἐν Πατρὶ, αὐτὸς δὲ πάλιν οὐ κατά τινα μετουσίαν ἅγιος ὢν ὥσπερ ἡμεῖς, οὐδὲ κατὰ χάριν Υἱὸς κεκλημένος, ἀλλὰ γέννημα τῆς τοῦ Πατρὸς οὐσίας ὑπάρχων ἀΐδιον.

[02467] Οὐκ ἔστι δὲ πάλιν οὕτως ὁ Υἱὸς ἐν Πατρὶ καθάπερ ἡμεῖς·

[02468] ἡμεῖς μὲν γὰρ ἐν Θεῷ ζῶμεν καὶ κινούμεθα, καὶ ἐσμέν·

[02469] ὁ δὲ κατὰ φύσιν Υἱὸς, ὥσπερ ἀπό τινος πηγῆς ἀεὶ ζώσης, [75.180] ἐκ τῆς τοῦ Πατρὸς οὐσίας προελθὼν, ζωὴ κατὰ φύσιν ἐστὶ, πάντα ζωογονῶν·

[02470] οὐ κατὰ μετοχὴν ζωῆς ζωογονούμενος ὥσπερ ἡμεῖς.

[02471] Ἢ γὰρ ἂν οὐκ ἂν εἴη κατὰ φύσιν ζωή.

[02472] Τὸ γὰρ ἐπείσακτον καὶ ἔξωθεν προσπορισθὲν, οὐκ ἂν νοοῖτο κατὰ φύσιν προσὸν τῷ κεκτημένῳ.

[02473] Λέγει δὲ ὁ Υἱός·

[02474] Ἐγώ εἰμι ἡ ζωή.

[02475] Οὐκ ἄρα, καθάπερ ἡμεῖς ἐν Θεῷ ζωογονούμεθα, ταυτὸν δὴ καὶ αὐτὸς τὸν τρόπον ζῇ καὶ ἔστιν·

[02476] ἀλλ' ὄντως τοῦτο κατὰ φύσιν ὑπάρχων ὅπερ εἶναι φησὶν ἑαυτὸν, τουτέστι, ζωὴν, καὶ ὢν ἐν Πατρὶ φυσικῶς, ἕν τε ὑπάρχων ὡς πρὸς αὐτὸν διὰ τὴν ταυτότητα τῆς οὐσίας, ἥτις ἐστὶν ἡ θεότης.

[02477] ΑΛΛΟ.

[02478] Ὡς ἐξ ἀντιθέσεως τῶν αἱρετικῶν.

[02479] Ἑαυτὸν εἶναί φησιν ἐν Πατρὶ, καὶ ἐν αὑτῷ τὸν Πατέρα, διὰ τὸ μήτε τὸν λόγον, ὃν ἐποιεῖτο πρὸς ἅπαντας, μήτε μὴν τὰ ἔργα ἴδια αὐτοῦ εἶναι·

[02480] ἀλλὰ τοῦ τὰ τοιαῦτα λαλεῖν ἐντειλαμένου Πατρὸς, καὶ τοῦ δεδωκότος τὴν δύναμιν εἰς, τὴν τῶν ἔργων συμπλήρωσιν.

[02481] Πρὸς ταῦτα λύσις.

[02482] Οὐκοῦν ἐξέστω, καθ' ὑμᾶς, ὦ αἱρετικοὶ, καὶ ἑκάστῳ τῶν ἁγίων τὴν τοιαύτην ἀποφθέγγεσθαι φωνήν·

[02483] ἐπεὶ καὶ αὐτοὶ θείων γεγόνασι ῥημάτων διάκονοι, καὶ τὸ δύνασθαι λαβόντες ἄνωθεν, ἔργων παραδόξων γεγόνασι ποιηταί.

[02484] Ὁ μὲν γὰρ μακάριος Δαβὶδ, Ἀκούσομαι, φησὶ, τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός.

[02485] Ὁ δὲ σοφώτατος Σολομὼν·

[02486] Οἱ ἐμοὶ λόγοι εἴρηνται ὑπὸ Θεοῦ.

[02487] Καὶ Μωσῆς ὁ μακάριος τῶν τοῦ Θεοῦ ῥημάτων πιστὸς γέγονε διάκονος, καὶ ἀπαξαπλῶς ἕκαστος τῶν προφητῶν οὐ τοῖς ἰδίοις ἐκέχρητο λόγοις, ἀλλὰ, Τάδε λέγει Κύριος, εἶχεν ἐπὶ γλώττης ἀεί.

[02488] Ἔστι μὲν οὖν ἐκ τούτων ἰδεῖν, ὅτι καὶ πολλοί τινες ἕτεροι τοὺς παρὰ Θεοῦ διακονησάμενοι φαίνονται λόγους·

[02489] εἰργάζοντο δὲ παράδοξα καὶ αὐτοὶ, παρὰ Θεοῦ δὲ, καθάπερ εἴρηται, λαβόντες τὸ δύνασθαι.

[02490] Καὶ γοῦν οἱ τοῦ Σωτῆρος μαθηταὶ πρὸς τοὺς ἀποθαυμάζοντας τὰ παρ' αὐτῶν γινόμενα λέγουσιν·

[02491] Ἄνδρες ἀδελφοὶ, τί ἡμῖν προσέχετε ὡς ἰδίᾳ δυνάμει καὶ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν τὸν χωλόν.

[02492] Ἐξέστω τοιγαροῦν καὶ ἑκάστῳ τούτων τῇ τοῦ Κυρίου κεχρῆσθαι φωνῇ καὶ λέγειν·

[02493] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί·

[02494] ἐπειδὴ καὶ αὐτῶν, καθάπερ ἤδη προείρηται, ἕκαστος καὶ λόγοις ἐχρήσατο θείοις, καὶ δυνάμεις πεποίηκε παρὰ Θεοῦ τὸ δύνασθαι λαβών.

[02495] Καὶ οὕτως οὐδὲν ἐξαίρετον ἐν Υἱῷ, ἀλλὰ ἔσται καὶ αὐτὸς τῶν πάντων εἷς, μάτην, ὡς ἔοικε χρηματίζων Υἱὸς, εἰ τὸ περιττὸν οὐδὲν ἐν αὐτῷ.

[02496] Ἀλλὰ τοῦτο ἄτοπον, κρατήσει πάντως τὸ ἕτερον.

[02497] ΑΛΛΟ.

[02498] Εἰ πᾶσιν ἐξῆν τοῖς ἁγίοις ἢ καὶ ὅλως ἑτέρῳ τινὶ κτιστὴν ἔχοντι τὴν φύσιν εἰπεῖν, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ, εἶπεν ἂν ὁ ἐπιστάμενος τοῦτο Σωτὴρ, εἴπερ ἦν ἀληθές·

[02499] Κἀγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ δὲ ἐν ἐμοί ἐστιν·

[02500] ἵνα φαίνηται διδάσκων, ὅτι καθάπερ ἐν ἑτέροις ἐστὶν, οὕτω καὶ ἐν ἐμοί·

[02501] καὶ ὥσπερ ἄλλοι τινὲς ἐν αὐτῷ εἰσιν, οὕτω κἀγώ.

[02502] Νυνὶ δὲ προσλαβὼν οὐδένα τῶν ἄλλων, ἑαυτῷ δὲ μόνῳ προσὸν ἐπιστάμενος τοῦτο διὰ τὸ ἐκ τῆς [75.181] οὐσίας εἶναι τοῦ Πατρὸς, μετὰ πολλῆς τινος τῆς ἐπιτηρήσεως, Ἐγὼ, φησὶν, ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί.

[02503] Οὐκ ἄρα κοινὸν ἔχει μετὰ πάντων τὸ ἀξίωμα, ἀλλ' ἰδιάζον καὶ ἐξαίρετον ὡς Υἱὸς, καὶ Λόγος, καὶ Θεός.

[02504] ΑΛΛΟ, διδάσκον ὅπως χρὴ νοεῖν τὸ προκείμενον ῥητόν.

[02505] Ὁ Υἱὸς ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ νοηθήσεται κατὰ τοῦτον τὸν τρόπον.

[02506] Ἐκ τῆς τοῦ Πατρὸς οὐσίας προῆλθεν ὁ Υἱὸς, οὐ καθάπερ τὰ κτίσματα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρελθὼν, ἢ ἔξωθέν ποθεν τὴν τοῦ εἶναι σύστασιν ἔχων, ἀλλ' ἔστι τῆς τοῦ γεννήσαντος οὐσίας τὸ ἴδιον·

[02507] ὥσπερ οὖν ἐκ φωτὸς ἀπαύγασμα, ἢ καὶ ἀπό τινος πηγῆς ἐκβαίνει ποταμός.

[02508] Ἔστιν οὖν τοῖς ὁρῶσι τὸν Υἱὸν, τὴν τοῦ Πατρὸς οὐσίαν ὁρᾷν, καὶ τὸ τοῦ γεννήσαντος ἴδιον ἀπὸ τούτου νοεῖν.

[02509] Ὅτιπερ ἐπειδὴ σύμπαν τὸ εἶναι τοῦ Υἱοῦ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας πρόεισιν, οὕτως ἐστὶν ἐν Πατρὶ, καὶ πάλιν ἐκ τῶν ἐναντίων, ὁ Πατὴρ ἐστιν ἐν Υἱῷ, ἐπειδήπερ ὅπερ ἐστὶν αὐτὸς φύσει, τοῦτο καὶ ὁ ἐξ αὐτοῦ προελθὼν Θεὸς Λόγος.

[02510] Φαίνεται δὲ καὶ ἔστιν ἐν Υἱῷ, ὥσπερ οὖν καὶ ἐν τῷ παρ' αὐτοῦ προελθόντι ἀπαυγάσματι ὁ ἥλιος, καὶ ἐν τῷ λόγῳ ὁ νοῦς, καὶ ἐν τῷ ποταμῷ ἡ τοῦτον ἀναβλύζουσα πηγή.

[02511] Τὸ γὰρ ἴδιον τῆς τοῦ Πατρὸς οὐσίας ἐν Υἱῷ κείμενον, καὶ τῆς θεότητος, ἵν' οὕτως εἴπω, τὸ εἶδος δεικνύει πᾶσιν αὐτὸν ἐν αὐτῷ.

[02512] Ἐπιτηρῆσαι δὲ χρὴ καὶ ἀναγκαίως εἰδέναι ὅτιπερ οὐ τῆς τυχούσης οἰκονομίας ἕνεκα τὴν τοιαύτην ὁ Σωτὴρ εἴρηκε φωνήν.

[02513] Ἐπειδὴ γὰρ τὴν ταυτότητα τῆς φύσεως ἣν ἔχει πρὸς τὸν γεννήσαντα, δεῖξαι βουληθεὶς, εἶπεν, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ἵνα μή τις τὸν αὐτὸν εἶναι Πατέρα καὶ Υἱὸν ὑπολάβῃ, μόνοις ὀνόμασι διαστελλομένους εἰς δυάδα, ὄντας δὲ οὐχ οὕτως ἐν ὑποστάσει, ἀναγκαίως ἐπεξηγούμενος ὅπερ εἴρηκε, καὶ σαφέστερον τοῖς ἀκροωμένοις αὐτὸ καθιστῶν, ἐπιφέρει τὸ, Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ, ἵνα διὰ μὲν τοῦ, τοῦτον ἐν ἐκείνῳ, κἀκεῖνον ἐν τούτῳ φαίνεσθαι, τὴν ταυτότητα τῆς θεότητος καὶ τῆς οὐσίας τὴν ἑνότητα δείξῃ·

[02514] διὰ δὲ τοῦ ἕτερον ἐν ἑτέρῳ εἶναι, μὴ ἕν τι ὂν ἐν ἀριθμῷ νοηθῇ, ὃ ποτὲ μὲν Πατὴρ, ποτὲ δὲ Υἱὸς λέγεται ἀλλ' ὄντως ὑφεστῶτα Πατέρα, καὶ ὑφεστῶτα Υἱὸν ἐναργέστερον ἀποδείξῃ.

[02515] ΑΛΛΟ.

[02516] Ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἓν μέν εἰσι κατὰ φύσιν, δύο δὲ ἐν ἀριθμῷ, οὐχ ὡς ἑνός τινος εἰς δύο καταδιαιρεθέντος μέρη, ὡς εἶναι λοιπὸν τῆς πρὸς ἄλληλα κοινωνίας τε καὶ σχέσεως ἀμέτοχα, οὔτε μὴν ὡς τοῦ αὐτοῦ καὶ ἑνὸς διττοῖς ὀνόμασιν ἀποκαλουμένου, ἵνα ἐν μόνῃ προσηγορίᾳ φαίνηται τῆς δυάδος ἡ δύναμις·

[02517] οὐδὲ ὡς τοῦ αὐτοῦ ποτὲ μὲν Πατρὸς, ποτὲ δὲ Υἱοῦ λεγομένου, τοῦτο γὰρ Σαβελλίου τὸ δόγμα, ἀλλ' εἰσὶ μὲν ἀριθμῷ δύο·

[02518] ἔστι γὰρ ὁ Πατὴρ ἀεὶ Πατὴρ, οὐδέ ποτε εἰς Υἱὸν μεταποιούμενος·

[02519] καὶ πάλιν, ὁ Υἱὸς οὐδέποτε εἰς Πατέρα μεταβαλλόμενος.

[02520] Οὕτω δὲ ὄντος τοῦ πράγματος, καὶ ἐν δυάδι κειμένου τοῦ ἀριθμοῦ, μία φύσις ἀμφοτέροις καὶ ἡ αὐτὴ θεότης, ἐοικότος ἀεὶ τοῦ γεννήματος τῷ γεγεννηκότι φυσικῶς.

[02521] Εἰκὼν γάρ ἐστι, καὶ ἀπαύγασμα, καὶ χαρακτὴρ τῆς ὑποστά [75.184] σεως τῆς τοῦ Πατρὸς οὐσίας ὁ Υἱός.

[02522] Οὕτω γὰρ ἕνα φαμὲν εἶναι Θεὸν διὰ τὴν ταυτότητα τῆς φύσεως Πατρὸς πρὸς Υἱὸν, καὶ Υἱοῦ πρὸς Πατέρα.

[02523] ΑΛΛΟ.

[02524] Ὥσπερ τὸ ἐκ τοῦ ἡλίου πεμπόμενον ἀπαύγασμα οὐκ ἄν τις εἴποι κατὰ φύσιν ἕτερον εἶναι φῶς παρ' ἐκεῖνον, ἢ κατὰ μετουσίαν τινὰ καὶ σχέσιν τὴν ἐξ αὐτοῦ τοιοῦτο γίνεσθαι, ἀλλ' ὄντως φύσει προϊὸν ἐξ αὐτοῦ, καὶ δύο μὲν ταῦτα φῶτα κατ' ἐπίνοιαν ὁρᾶται, ἓν δέ εἰσι κατὰ φύσιν·

[02525] οὕτως οὐκ ἄν τις εὐλόγως, εἰ καὶ εἰς δυάδα τέμνοιτο Πατρός τε καὶ Υἱοῦ ὁ ἀριθμὸς, ἑτερόν τι παρὰ τὸν Πατέρα ἐρεῖ τὸν Υἱὸν, ὅσον εἰς τὴν θεότητα καὶ τὴν ταυτότητα τῆς οὐσίας.

[02526] Ἀλλ' ὥσπερ ὁ ἥλιος ἐν τῷ ἀπαυγάσματί ἐστι τῷ ἐξ αὐτοῦ προελθόντι, καὶ τὸ ἀπαύγασμα ἐν τῷ ἡλίῳ ἀφ' οὗ καὶ ἐξῆλθεν, οὕτως ἐστὶ Πατὴρ ἐν Υἱῷ, καὶ Υἱὸς ἐν Πατρὶ, ἀριθμῷ μὲν εἰς δυάδα τεμνόμενοι, καὶ ὄντες οὕτως ἐν ὑποστάσει, τῇ δὲ ταυτότητι τῆς φύσεως εἰς μίαν σφιγγόμενοι θεότητα.

[02527] ΑΛΛΟ.

[02528] Εἴ τις ἀκριβῶς ἐξετάσαι τὴν θείαν Γραφὴν, εὑρήσει τοσούτοις ὀνόμασιν ἀποκαλούμενον τὸν Υἱὸν, ὅσοισπερ ἂν ἴδοι καὶ τὸν Πατέρα, δίχα μόνον τοῦ λέγεσθαι Πατέρα·

[02529] καὶ πάλιν ἐπὶ Πατρὸς τὴν ἴσην ἀντιστροφὴν, τοσούτοις ὀνόμασιν ἀποκαλούμενον αὐτὸν, ὅσοις καὶ ὁ Υἱὸς, δίχα μόνον τοῦ λέγεσθαι Υἱόν.

[02530] Ἥξει δὲ ἡμῖν καὶ δι' ἐναργῶν ἀποδείξεων ὁ λόγος.

[02531] Παντοκράτωρ ὁ Πατὴρ, φέρεται καὶ ἐφ' Υἱοῦ·

[02532] Τάδε λέγει ὁ ἦν, ὁ ἐρχόμενος, ὁ παντοκράτωρ.

[02533] Κύριος ὁ Πατὴρ, καὶ Εἷς Κύριος.

[02534] Ἰησοῦς Χριστός.

[02535] Φῶς ὁ Πατὴρ, λέγει καὶ ὁ Υἱός·

[02536] Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου.

[02537] Ὁ Πατὴρ ἀφίησιν ἁμαρτίας·

[02538] ποιεῖ τοῦτο καὶ ὁ Υἱός·

[02539] Ἵνα γὰρ, φησὶν, εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας.

[02540] Ἐπειδὴ τοίνυν πάντα πρόσεστι τῷ Υἱῷ ὅσα καὶ ἐν τῷ Πατρὶ, ἀληθεύων λέγει·

[02541] Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι.

[02542] Καὶ πάλιν πρὸς τὸν ἑαυτοῦ Πατέρα τοὺς λόγους ποιούμενος φάσκει·

[02543] Τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά.

[02544] Εἰ τοίνυν ὅσα πρόσεστι τῷ Πατρὶ, ταῦτα καὶ τῷ Υἱῷ·

[02545] καὶ πάλιν, ὅσα πρόσεστι τῷ Υἱῷ, ταῦτα καὶ τῷ Πατρὶ, οὐ ψεύδεται λέγων·

[02546] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί·

[02547] τῆς τῶν προσόντων ταυτότητος ἐν τῇ δυάδι φαινομένης ἀπαραλλάκτως.

[02548] Ἐπειδὴ δὲ τοῦτο ἀληθὲς, ἴδιον ἂν εἴη γέννημα τοῦ Πατρὸς ὁ Υἱός·

[02549] οὐ γὰρ ἂν ἐφόρεσε κατὰ φύσιν τὰ τοῦ γεννήσαντος, οὐκ ὢν ἐξ αὐτοῦ, οὐδ' αὖ προσῆν τῷ Πατρὶ τὰ τοῦ γεννήματος, εἰ μὴ τῆς οὐσίας αὐτοῦ ἴδιον ὑπῆρχε τὸ γεννηθέν.

[02550] Ἄλλως ὡς ἐξ ὑποδείγματος.

[02551] Ὥσπερ ἂν εἴ τις εἰς εἰκόνα διαγεγραμμένην ἄριστα βλέποι, καὶ ἀποθαυμάζοι μὲν τὸ τοῦ βασιλέως σχῆμα, καὶ ὅσαπερ ἐν ἐκείνῳ φαίνεται, ταῦτα καὶ ἐν τῇ γραφῇ δυνάμενός τε καὶ ἔχων ὁρᾷν, εἰς ἐπιθυμίαν ἔλθοι τοῦ καὶ αὐτὸν ἰδεῖν τὸν βασιλέα·

[02552] εἴποι δ' ἂν εἰκότως πρὸς αὐτὸν ἡ γραφή·

[02553] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν βασιλέα, καὶ πάλιν·

[02554] Ἐγὼ καὶ ὁ βασιλεὺς [75.185] ἕν ἐσμεν, ὅσον εἰς ὁμοιότητα καὶ ἀκριβεστάτην ἐμφέρειαν, καὶ πάλιν·

[02555] Ἐγὼ ἐν τῷ βασιλεῖ, καὶ ὁ βασιλεὺς ἐν ἐμοὶ, κατὰ τὸ τῆς μορφῆς σχῆμα (τὸ γὰρ εἶδος τὸ ἐκείνου πάντως φορεῖ ἡ γραφὴ, καὶ τὸ τῆς γραφῆς εἶδος ἐν ἐκείνῳ πάντως σώζεται)·

[02556] οὕτως ἐστὶ καὶ ὁ Υἱὸς λέγων·

[02557] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.

[02558] Κἀγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.

[02559] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί.

[02560] Τὸ γὰρ ἴδιον τῆς τοῦ Πατρὸς οὐσίας ἀπαραλλάκτως ἔχων ὁ Υἱὸς, εἰκών ἐστι τοῦ Πατρὸς ἀκριβὴς, καὶ μορφὴ τοῦ γεννήσαντος, ὅλον ἐν ἑαυτῇ δεικνύουσα τὸν γεγεννηκότα.

[02561] Οὕτω γὰρ νοήσεις καὶ τὸ παρὰ τῷ Παύλῳ κείμενον·

[02562] Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ.

[02563] Ἴσος γὰρ ἦν τῷ Θεῷ ὅλος ὢν Θεὸς, ὥσπερ καὶ ὁ Πατήρ·

[02564] οὕτως ἦν ἐν Χριστῷ κόσμον ἑαυτῷ καταλλάττων ὁ Θεός·

[02565] οὕτως ἅπερ ἐργάζεται ὁ Υἱὸς, τοῦ Πατρός ἐστιν ἔργα.

[02566] Οὐδεμιᾶς γὰρ ἐν αὐτοῖς οὔσης διαφορᾶς ὅσον εἰς θεότητα καὶ φύσιν, τὸ κωλύον οὐδὲν ἔργα τοῦ Πατρὸς λέγεσθαι τὰ τοῦ Υἱοῦ, καὶ τὸ ἀντικείμενον.

[02567] ΑΛΛΟ.

[02568] Εἰ πάντα ὅσα πρόσεστιν ἐξαίρετα τῷ Πατρὶ, ταῦτα προσόντα καὶ τῷ Υἱῷ φαίνεται, οὐ κατὰ χάριν ἐπιγεγονότα, οὐδὲ κατά τινα μετοχὴν, ἀλλὰ φυσικῶς, ὥσπερ καὶ τῷ γεγεννηκότι, καὶ τὸ μεσολαβοῦν οὐδὲν, ἢ τὸ μερίζον εἰς ἀνομοιότητα, δῆλον ἂν εἴη καὶ παντί τῳ σαφὲς, ὅτιπερ αὐτὸ τῆς πατρικῆς οὐσίας τὸ ἴδιον ὑπάρχων ὁ Υἱὸς, ὅλον ἐν ἑαυτῷ φορεῖ τὸν Πατέρα·

[02569] καὶ ὅλος ἐστὶν ἐν Πατρὶ κατὰ τὴν ταυτότητα τῆς οὐσίας·

[02570] καὶ διά τοι τοῦτο καλῶς τε καὶ ἀκολούθως ἐρεῖ·

[02571] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί.

[02572] Καὶ, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.

[02573] Διὰ γὰρ τοῦ μηδὲν αὐτῷ παραλελεῖφθαι τῶν ὅσα πρόσεστι τῷ Πατρὶ, τοιοῦτος ἔσται πάντως ὁποῖος ἂν εἴη καὶ ὁ γεννήσας αὐτόν.

[02574] ΑΛΛΟ.

[02575] Πατὴρ καλεῖται Θεὸς, συνεισφερομένης αὐτῷ πάντως τῆς ὑπάρξεως τοῦ Υἱοῦ·

[02576] οὐ γὰρ ἂν εἴη Πατὴρ, οὐκ ἔχων τὸν ἐξ ἑαυτοῦ προελθόντα Λόγον.

[02577] Καὶ πάλιν ἡ τοῦ Υἱοῦ προσηγορία συνεισάγει πάντως τὴν τοῦ Πατρὸς ὕπαρξιν.

[02578] Τοῦτο γὰρ ὡς πρὸς ἐκεῖνο σημαίνεται.

[02579] Εἰ τοίνυν ἀναγκαίως θάτερόν ἐστιν ἐν θατέρῳ, καὶ Πατὴρ μὲν σημαίνεται μετὰ τοῦ ἰδίου γεννήματος·

[02580] Υἱὸς δὲ πάντως μετὰ τοῦ γεννήσαντος αὐτὸν, προσαληθεύει, λέγων·

[02581] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί.

[02582] ΑΛΛΟ.

[02583] Εἰ πᾶς ὁ πιστεύων εἰς τὸν Υἱὸν, εἰς τὸν Πατέρα πιστεύει, καὶ ὁ τιμῶν τὸν Υἱὸν, τιμᾷ τὸν Πατέρα, καὶ πάλιν, ὁ προσκυνῶν τῷ Πατρὶ, προσκυνεῖ τῷ Υἱῷ, πῶς οὐχ οὗτος ἐν ἐκείνῳ, κἀκεῖνος ὢν ἐν τούτῳ δειχθήσεται κατὰ τὸ τῆς οὐσίας ἀπαράλλακτον;

[02584] Διὰ γὰρ τοῦτο καὶ μία προσκύνησις ἡ ἐν Υἱῷ καὶ Πατρὶ γινομένη σὺν ἁγίῳ Πνεύματι, καὶ εἷς Θεὸς παρὰ πάντων ὁμολογεῖται, καὶ ἔστιν, ὡς οὐδεμιᾶς μεταξὺ κειμένης διαφορᾶς Πατρός τε καὶ Υἱοῦ, ἀλλ' ἐν ταυτό [75.188] τητι τῆς οὐσίας ὄντων καὶ οὐδὲν ἐχόντων ὃ τῆς φυσικῆς ἰδιότητος ἀποτέμνει τὸν ἕτερον.

[02585] ΑΛΛΟ.

[02586] Δόγμα, ὡς ἐξ ἀντιθέσεως τῶν χριστομάχων.

[02587] Ὁ Πατὴρ, φασὶν, ἐν τῷ Υἱῷ, καὶ ὁ Υἱός ἐστιν ἐν τῷ Πατρὶ, κατὰ τόδε τὸ σχῆμα.

[02588] Ἐπειδὴ γὰρ κατὰ οὐδένα τρόπον διαφωνοῦσιν ἐν τοῖς κρίμασιν, ἢ ἐν τοῖς νοήμασιν, ἀλλ' ἅπερ ἂν ὁ Πατὴρ βούληται, καὶ ὁ Υἱὸς ταῦτα, καὶ πάλιν ἅπερ ἂν ὁ Υἱὸς ἐθελήσῃ, ταῦτα καὶ ὁ Πατὴρ, καὶ συμφωνία τις καὶ ταυτότης θελημάτων καὶ γνώμης ἐν αὐτοῖς φαίνεται, κατὰ τοῦτο Πατὴρ ἐν Υἱῷ, καὶ Υἱός ἐστιν ἐν Πατρί.

[02589] Πρὸς τοῦτο λύσις.

[02590] Ἆρ' οὖν ἐξέσται καὶ ἀγγέλοις ἢ καὶ ἄλλαις λογικαῖς δυνάμεσι, περὶ ὧν ἐν Ψαλμοῖς εἴρηται·

[02591] Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ, λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ, ταῖς τοῦ Σωτῆρος κεχρῆσθαι φωναῖς, ὡς ἕκαστον εἰπεῖν·

[02592] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ, καὶ Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.

[02593] Καίτοι παντί τῳ δῆλον, ὅτι πάντα ὅσα βούλεται Θεὸς, ταῦτα πάντως καὶ Ἄγγελοι βούλονται, καὶ Ἀρχάγγελοι, καὶ Θρόνοι, καὶ Κυριότητες, καὶ Ἐξουσίαι, καὶ τούτων οὐδὲν διαφωνοῦν εὑρίσκεται πρὸς τὴν θείαν βούλησιν.

[02594] Οὐ γὰρ ἂν ἔμεινεν ἐν τῇ οἰκείᾳ τάξει, μὴ τοῦτον ἔχοντα τὸν σκοπόν.

[02595] Ὁ γὰρ ἕτερόν τι παρὰ τὸ τοῦ Θεοῦ θέλημα ζητήσας, ἤκουσε·

[02596] Νῦν δὲ εἰς ᾅδην καταβήσῃ, καὶ εἰς τὰ θεμέλια τῆς γῆς.

[02597] Εἰ τοίνυν ἕκαστον τῶν εἰρημένων θέλει μὲν ὅσα βούλεται Θεὸς, ἕστηκε δ' ἐν τούτῳ, καὶ σώζει τὴν οἰκείαν ἀρχὴν, καὶ οὐδαμοῦ φαίνεται ταῖς τοῦ Υἱοῦ κεχρημένον φωναῖς, οὐχὶ συμφωνία τῆς γνώμης, οὐδὲ τὸ βούλεσθαι τὰ αὐτὰ, δεικνύει τὸν Υἱὸν ἐν Πατρὶ καὶ τὸν Πατέρα πάλιν ἐν Υἱῷ, ἀλλ' ἡ τῆς οὐσίας ἀπαράλλακτος ὁμοιότης, καὶ ἡ ταυτότης τῆς κατὰ φύσιν ἰδιότητος.

[02598] ΑΛΛΟ.

[02599] Ἐπειδὴ μένουσιν ἀκλόνητον ἔχοντες τὴν στάσιν καὶ σώζοντες τὴν οἰκείαν ἀρχὴν Ἄγγελοί τε καὶ Ἀρχάγγελοι, καὶ αἱ τούτων ἀνωτέρω λογικαὶ δυνάμεις, πρόδηλον δήπουθεν ὡς οὐ στασιάζουσι κατὰ τῶν τοῦ Θεοῦ θελημάτων, ἀλλ' εἴκουσί τε καὶ ὑποτάσσονται τοῖς τοῦ πεποιηκότος νόμοις, καὶ σύμφωνον ἔχουσι πρὸς Θεὸν τὴν γνώμην, ὡς πάντα βούλεσθαί τε καὶ ποιεῖν ὅσαπερ αὐτῷ δοκεῖ.

[02600] Οὕτω τοίνυν ἔχοντος τοῦδε, καὶ συνομολογουμένου παρὰ πᾶσιν, ὅτου δὴ χάριν μόνος ὁ Υἱὸς Μονογενὴς, καὶ Λόγος καὶ σοφία ἐστίν;

[02601] Ἔδει γὰρ, εἴπερ ὄντως τὸ θέλειν ὅσα καὶ ὁ Πατὴρ βούλεται, Μονογενῆ καλεῖσθαι ποιεῖ, καὶ σοφίαν, καὶ Λόγον, καὶ τοῖς ἄλλοις λογικοῖς κτίσμασι ταῦτα ὑπάρχειν, καὶ τοσούτοις ὀνόμασιν ἀποκαλεῖσθαι καὶ αὐτὰ, ὅσοισπερ ἂν καὶ ὁ Υἱός.

[02602] Εἰ δὲ τούτων οὐδὲν, οὔτε Μονογενής ἐστιν Υἱὸς, οὔτε Λόγος, οὔτε σοφία, οὔτε φῶς, οὔτε ἀπαύγασμα, οὔτε μορφὴ, οὔτε εἰκὼν τοῦ Πατρὸς, ἀναγκαῖον εἰδέναι λοιπὸν, ὅτιπερ οὐ τὸ βούλεσθαι τὰ αὐτὰ τῷ Πατρὶ, [75.189] οὐδὲ τὸ μίαν ἔχειν πρὸς αὐτὸν τὴν γνώμην παρασκευάζει λέγειν τὸν Υἱόν·

[02603] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ, καὶ πάλιν·

[02604] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν·

[02605] ἀλλ' ὅτι, τῆς τοῦ Πατρὸς οὐσίας γνήσιον ὑπάρχων γέννημα, φέρει μὲν ἐν ἑαυτῷ τὸν Πατέρα, φαίνεται δὲ καὶ αὐτὸς ἐν Πατρί.

[02606] Κρατοίη δ' ἂν ὁ αὐτὸς οὗτος λόγος καὶ ἐπ' ἀνθρώπων ἁγίων, οἷς τὸ ἀκολουθεῖν τοῖς θείοις θελήμασι σκοπὸς, καὶ οὐκ ἔστιν εἰπεῖν·

[02607] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί.

[02608] ΑΛΛΟ.

[02609] Ὡς ἐξ ἀντιθέσεως τῶν αἱρετικῶν.

[02610] Εἰ τὸ καλεῖσθαι, φασὶν, Υἱὸν καὶ εἰκόνα τοῦ Πατρὸς, ἕνα αὐτῷ κατὰ φύσιν ἐργάζεται τὸν τοιούτοις ὀνόμασιν ἀποσεμνυνόμενον, τί κωλύσει καὶ ἡμᾶς ἀνθρώπους ὄντας, ἐπειδήπερ καὶ υἱοὶ κεκλήμεθα, καὶ κατ' εἰκόνα γεγόναμεν Θεοῦ, ὁμοίους εἶναι κατ' οὐσίαν αὐτῷ;

[02611] Πρὸς τοῦτο λύσις.

[02612] Ἀλλ' ἡμῖν μὲν, ὦ βέλτιστοι, κατὰ χάριν·

[02613] τῷ δὲ Θεοῦ Λόγῳ κατὰ φύσιν τοῦτο ὑπάρχει.

[02614] Καὶ περὶ μὲν ἐκείνου λέγεται·

[02615] Τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε;

[02616] ὡς οὐκ ἐπείσακτον ἔχοντος, ἀλλὰ φυσικὸν τὸ ἀξίωμα.

[02617] Περὶ δὲ ἡμῶν·

[02618] Ἐγὼ εἶπα·

[02619] Θεοί ἐστε, καὶ Υἱοὶ Ὑψίστου πάντες.

[02620] Ὑμεῖς δὲ δὴ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.

[02621] Ὡς εἰ μὴ πᾶσαν ποιησαίμεθα σπουδὴν εἰς τὸ παραιτεῖσθαι τὸ φαῦλον, ῥᾳδίως ἐξ ὧν εἰλήφαμεν ἀποπεσεῖν δυνάμεθα.

[02622] Εἰλήφαμεν δὲ κατὰ χάριν τὸ καλεῖσθαι καὶ υἱοὶ καὶ θεοὶ, ἃ δὴ φυσικῶς πρόσεστι τῷ Υἱῷ.

[02623] Εἰκὼν δὲ πάλιν χρηματίζομεν Θεοῦ, ἐπειδήπερ τὴν ἀληθινὴν εἰκόνα τὸν Λόγον αὐτοῦ ἐδεξάμεθα, καὶ ᾤκησεν ἐν ἡμῖν, ἣ καὶ ἐν τελευταίοις καιροῖς ἐνηνθρώπησε διὰ τὴν ἡμετέραν σωτηρίαν.

[02624] Πολλή τις οὖν καὶ ἄμετρος ἡ διαφορὰ, μεταξύ τε ἡμῶν τῶν κατὰ χάριν κεκλημένων υἱῶν καὶ τοῦ κατὰ φύσιν ὄντος καὶ ἀληθινῶς.

[02625] Καὶ φλυαρία μᾶλλον ὑμῶν ἡ πρότασις ἢ νόημα χρήσιμον δέδεικται.

[02626] ΑΛΛΟ.

[02627] Εἰ ταύτης ἕνεκα καὶ μόνης τῆς αἰτίας ὅμοιον εἶναι τῷ Πατρί φατε τὸν Υἱὸν, ὦ χριστομάχοι, ὅτι δὴ πάνθ' ὅσα βούλεται ὁ Πατὴρ, ταῦτα καὶ αὐτὸς, οὐκ ἔσται τῷ Πατρὶ μᾶλλον προσεοικὼς, ἀλλὰ τοῖς τοῦ Πατρὸς θελήμασι.

[02628] Καὶ ὁ μὲν Πατὴρ, καθ' ὑμᾶς, ὀνόματι μόνον τοῦτό ἐστιν·

[02629] ὁ δὲ Υἱὸς, οὔτε υἱὸς, οὔτε ἀπαράλλακτος τοῦ γεννήσαντος εἰκὼν, ἀλλὰ μόνων τῶν θελημάτων αὐτοῦ μιμητής.

[02630] Ἐπεὶ καὶ ὁ Παῦλος μιμητὴς ὑπάρχων τοῦ Χριστοῦ καὶ προσεοικὼς αὐτῷ κατά τε τὸ βούλεσθαι πάνθ' ὅσα καὶ αὐτὸς ἐβούλετο, καὶ κατὰ τὸν τῆς διδασκαλίας λόγον, ἔχει μὲν εἰκόνα τῶν θελημάτων αὐτοῦ, οὐκ ἔστι δὲ κατὰ φύσιν ὁ αὐτὸς τῷ Υἱῷ τοῦ Θεοῦ.

[02631] Εἰ δὲ τοῦτο ἄτοπον ὁμοῦ καὶ ἀσεβὲς, ἀνάγκη φέρειν τὴν ὁμοιότητα κατὰ μόνης τῆς οὐσίας καὶ τοὺς τῆς φύσεως χαρακτῆρας.

[02632] Οὕτω γὰρ ὄντως ἀληθέστερον εἰκὼν τοῦ Πατρὸς ὁ [75.192] Υἱὸς ἀναδειχθήσεται, ὡς καὶ δύνασθαι λέγειν·

[02633] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ, καὶ πάλιν·

[02634] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.

[02635] ΑΛΛΟ, τρόπῳ διηγηματικῷ.

[02636] Οὕτως ἕν εἰσιν ὁ Πατὴρ καὶ ὁ Υἱός, καὶ κατὰ τόνδε τὸν τρόπον ἐμφερής ἐστιν αὐτῷ, ὡς ἂν ἐφ' ἡμῶν νοηθείη υἱὸς πρὸς τὸν ἑαυτοῦ πατέρα κατά γε τὸν τῆς οὐσίας λόγον, καὶ ὡς ἂν ἴδοι τις πρὸς τὸν ἥλιον τὸ ἐξ αὐτοῦ προϊὸν ἀπαύγασμα.

[02637] Διὰ γὰρ τοῦτο καὶ διὰ τὸ οὕτως ἔχειν τὸν Υἱὸν πρὸς τὸν ἑαυτοῦ Πατέρα, ἐργαζομένου τοῦ Υἱοῦ, ὁ Πατὴρ ἐργάζεται, καὶ πρὸς τοὺς ἁγίους ἐρχομένου πάλιν αὐτοῦ, ὁ Πατήρ ἐστιν ὁ ἐρχόμενος, ὡς αὐτὸς ἔφησεν·

[02638] Ἐλευσόμεθα, ἐγὼ καὶ ὁ Πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.

[02639] Πάντα γὰρ, καθάπερ ἤδη προείρηται, παρὰ Πατρὸς δι' Υἱοῦ γίγνεται·

[02640] καὶ γοῦν εἴ ποτέ τισιν ἁγίοις δέδοται χάρις, ταύτην ὁ Πατὴρ δι' Υἱοῦ χορηγήσας φαίνεται.

[02641] Καὶ μάρτυς ὁ Παῦλος γράφων πρός τινας·

[02642] Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

[02643] Πάλιν ὁ αὐτὸς ἑτέροις ἐπιστέλλων·

[02644] Αὐτὸς δὲ ὁ Πατὴρ καὶ Θεὸς ἡμῶν, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς.

[02645] Ἀλλ' εἰ μή τις ἦν ἑνότης Πατρὶ πρὸς Υἱὸν, εἶπεν ἂν, Κατευθύνοιεν τὴν ὁδὸν ἡμῶν, ἵνα τοὺς δύο σημάνῃ.

[02646] Νυνὶ δὲ τοῦτο μὲν οὐ ποιεῖ·

[02647] τὴν δὲ ἑνότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τηρήσας σαφῶς, τὸ κατευθύναι τέθεικεν ἑνικῶς·

[02648] οὐχ ὡς ἰδίᾳ μὲν τοῦ Πατρὸς, ἰδίᾳ δὲ χορηγοῦντος τοῦ Υἱοῦ, ἀλλ' ὡς Πατρὸς δι' Υἱοῦ ἐν ἁγίῳ Πνεύματι ἐκ τῆς μιᾶς θεότητος πεμπομένων τῶν χαρισμάτων εἰς τοὺς ἁγίους.

[02649] ΑΛΛΟ.

[02650] Εἰ κεχώριστο κατὰ φύσιν τῆς τοῦ Πατρὸς οὐσίας ὁ Υἱὸς, καὶ εἰ μή τις ἑνότης ἀδιάστατος ἦν ἐν αὐτοῖς ὁποίαν ἔχει τὸ ἀπαύγασμα πρὸς τὸν ἥλιον, ἐξήρκει καὶ μόνον τὸν Πατέρα τοῖς ἁγίοις ἐπιδιδόναι τὰ χαρίσματα, μὴ συμπαραλαμβανομένου πρὸς τοῦτο καὶ τοῦ Υἱοῦ.

[02651] Εἰ γὰρ κτιστῆς ἐστιν οὐσίας, καὶ ἕτερόν τι παρὰ τὸν Θεὸν, ποῖον ἔχει λόγον οὐδενὸς τῶν ἄλλων κτισμάτων ἐπικοινωνοῦντος Θεῷ πρὸς τὴν δόσιν τῶν θείων χαρισμάτων, μόνον αὐτὸν παραλαμβάνεσθαι;

[02652] Οὐ γὰρ ἀνέξεταί τις λέγοντός τινος·

[02653] Δοίη σοι τὰ αἰτήματά σου Θεὸς τυχὸν ὁ Πατὴρ καὶ ὁ ἄγγελος·

[02654] ἀλλ' οὐδὲ εἴ τι μεῖζον ὀνομάσειεν ἀγγέλου.

[02655] Μόνῳ γὰρ τὸ διδόναι πρέπει Θεῷ.

[02656] Εἰ δὲ δίδωσιν, οὐ μετά τινος ἑτέρου τῶν κτισμάτων, ἀλλὰ μόνῳ σὺν Υἱῷ καὶ δι' Υἱοῦ ἐν ἁγίῳ Πνεύματι, δῆλον ἐντεῦθεν ἂν εἴη καὶ παντί τῳ γνώριμον, ὅτιπερ τῆς οὐσίας τοῦ Πατρὸς ἴδιόν ἐστι γέννημα, καὶ τὸν Πατέρα ἔχων ἐν ἑαυτῷ, αὐτός τε ὁμοίως ὑπάρχων ἐν τῷ Πατρὶ, πάντα ἐνεργεῖ καὶ ἐργάζεται καὶ χορηγεῖ τοῖς ἁγίοις τὰς δωρεάς.

[02657] Καὶ μάρτυς ὁ Παῦλος λέγων·

[02658] Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ.

[02659] ΑΛΛΟ.

[02660] Ὡς ἐξ ἀντιθέσεως τῶν αἱρετικῶν.

[02661] Εἰρήκατε, φασὶ, μηδὲν τῶν κτισμάτων συμπαρα [75.193] λαμβάνεσθαι τῷ Θεῷ ἐν ταῖς τῶν χαρισμάτων ἐπιδόσεσι.

[02662] Τί οὖν ἄρα ποιήσετε τὸν πατριάρχην Ἰακὼβ εὑρίσκοντες ἐν ταῖς θείαις Γραφαῖς τοὺς ἐξ Ἰωσὴφ εὐλογοῦντα τόν τε Ἐφραῒμ δηλονότι καὶ τὸν Μανασσῆ, καὶ λέγοντα·

[02663] Ὁ Θεὸς ὁ τρέφων με ἐκ νεότητός μου ἕως τῆς ἡμέρας ταύτης, καὶ ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν μου, εὐλογήσαι τὰ παιδία ταῦτα;

[02664] Ἰδοὺ, φησὶν, ὀνομάσας Θεὸν, προστέθεικε καὶ τὸν ἄγγελον, ὡς εὐλογεῖν σὺν αὐτῷ δυνάμενον.

[02665] Πρὸς ταῦτα λύσις.

[02666] Εἰ προφητικὸν ἐνυπάρχειν πνεῦμα τῷ τὰ τοιαῦτα λέγοντι ἐνομολογοῦσιν οἱ χριστομάχοι, καὶ πιστεύουσιν ὄντως ἅγιον ἄνδρα γεγενῆσθαι τὸν Ἰακὼβ, ὅτου δὴ χάριν τοσαύτην αὐτῷ περιτιθέντες πλάνην, οὐκ αἰσχύνονται ὡς ἄγγελον συνάπτειν τῷ πάντων Θεῷ, καὶ δύνασθαι συνευλογεῖν τῷ πεποιηκότι τὸ δι' αὐτοῦ γενόμενον νομίζειν;

[02667] Εἰ δὲ τοῦτο ἄτοπον, ἀκουέτωσαν καὶ παρ' ἡμῶν.

[02668] Εἰ μὲν ἅγιον ὄντως πιστεύετε γεγενῆσθαι τὸν Ἰακὼβ, παύσασθε δυσφημοῦντες αὐτόν·

[02669] ζητεῖτε δὲ μᾶλλον τῶν εἰρημένων παρ' αὐτοῦ τὴν ἀληθῆ διάνοιαν.

[02670] Εἰ δὲ οὐκ ἦν ἅγιος, πρὸς δὲ τοῖς ἄλλοις ἅπασι καὶ τοῦτο λέγειν τολμᾶτε, τί πρὸς ἀνατροπὴν, ὡς οἴεσθε, τῶν τοσούτων καὶ τηλικούτων, ἀνδρὸς οὐχ ἁγίου φέρετε φωνήν;

[02671] Παρελθόντες τοιγαροῦν τὰς ὑμῶν ἀμαθίας, ἑρμηνεύσομεν καθ' ὃν δεῖ τρόπον τοῦ πατριάρχου τοὺς λόγους.

[02672] Ὡς γὰρ ἀνὴρ ἅγιος καὶ Πνεύματι θείῳ πρὸς τὴν γνῶσιν τῶν τῆς εὐσεβείας δογμάτων παιδαγωγούμενος, πρῶτον μὲν ἔφησεν·

[02673] Ὁ Θεὸς ὁ τρέφων με ἐκ νεότητός μου, εὐλογήσαι τὰ παιδία ταῦτα.

[02674] Εἶτά φησι·

[02675] Καὶ ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν μου·

[02676] ἵνα διὰ μὲν τοῦ λέγειν, Ὁ Θεὸς, σημαίνῃ τὸν Πατέρα·

[02677] διὰ δὲ τοῦ λέγειν, Ὁ ἄγγελος, τὸν ἐξ αὐτοῦ Λόγον.

[02678] Ἤδει γὰρ ὅτι καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς Ἄγγελος.

[02679] Ὅτι δὲ τὸν Υἱὸν ἐνθάδε φησὶ, καὶ οὐ τοιοῦτον ἄγγελον, ὁποῖον ἡ συνήθεια δίδωσι νοεῖν, ἐντεῦθεν ἔσται καταφανές.

[02680] Εἰρηκὼς γὰρ, Ὁ ἄγγελος, οὐχ ἵστησι μέχρι τούτου τὸν λόγον, ἀλλὰ προστέθεικεν·

[02681] Ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν μου.

[02682] Ἴδωμεν τοίνυν ἐκ τῶν αὐτοῦ ῥημάτων, εἰ μὴ ὁ Θεὸς ἦν ὁ ῥυόμενος αὐτὸν, ἀλλά τις τῶν γενητῶν ἀγγέλων.

[02683] Ἀπόδειξις ἐφεξῆς, ὅτι Θεὸς ἦν ὁ ῥυόμενος ἐκ πάντων τῶν κακῶν τὸν πατριάρχην Ἰακώβ.

[02684] Λέγεται παλαῖσαι πρὸς τὸν πατριάρχην Ἰακὼβ ἄγγελος, καὶ τοῦτο κεῖται παρὰ τῇ θείᾳ Γραφῇ.

[02685] Ἀλλὰ συσχὼν αὐτὸν ὁ ἅγιος ἔφασκεν·

[02686] Οὐ μή σε ἀνῶ, ἐὰν μή με εὐλογήσῃς.

[02687] Ἦν δὲ οὗτος ὁ Θεός.

[02688] Αὐτοῦ τε τοῦ πατριάρχου φέρεται φωνή·

[02689] Εἶδον Θεὸν πρόσωπον πρὸς πρόσωπον.

[02690] Τοῦτον τὸν ὡς ἄγγελον αὐτῷ ὀφθέντα παρεκάλει τοῖς ἐκγόνοις ἐπιπέμψαι τὴν εὐλογίαν.

[02691] ΑΛΛΟ, ἐκ τῶν αὐτῶν.

[02692] Ὤφθη τῷ πατριάρχῃ Κύριος ὁ Θεὸς, ὡς γέγραπται, καὶ εἶπεν αὐτῷ·

[02693] Ἰδοὺ ἐγὼ μετὰ σοῦ, δια [75.196] φυλάσσων σε ἐν τῇ ὁδῷ οὗ ἐὰν πορευθῇς.

[02694] Οὐκοῦν Θεὸς ἦν ὁ ῥυόμενος, καὶ οὐκ ἄγγελος.

[02695] Καὶ πάλιν, ὅτε Λάβαν κατεδίωξε τὸν Ἰακὼβ καὶ κατέλαβε, τότε πάλιν Θεὸς κεκώλυκε τὴν ἐπήρειαν, οὐ συγχωρήσας λαλῆσαι ῥήματα πρὸς τὸν Ἰακώβ.

[02696] Ὅτι δὲ Θεὸς αὐτῷ καὶ τοῦτο ἐξήνυσεν, αὐτὸς ἔσται μάρτυς λέγων πρὸς τὰς ἑαυτοῦ γυναῖκας·

[02697] Οὐκ ἔδωκεν ὁ Θεὸς τῷ Λάβαν κακοποιῆσαί με.

[02698] Καὶ πάλιν ἐπιβουλευόμενος παρὰ τοῦ ἀδελφοῦ Ἡσαῦ, οὐκ ἄγγελον ἐπεκαλεῖτο, ἀλλὰ Θεὸν παρεκάλει βοῶν·

[02699] Ἐξελοῦ με, Κύριε, ἐκ χειρὸς τοῦ ἀδελφοῦ μου Ἡσαῦ, ὅτι φοβοῦμαι αὐτόν.

[02700] ΑΛΛΟ, ἀποδεικτικῶς, ὅτι ὁ Λόγος τοῦ Θεοῦ, τὸ εἶδος αὐτοῦ ἐστιν.

[02701] Λέγει που πρὸς Ἰουδαίους λίαν ἀπειθοῦντας ὁ Σωτήρ·

[02702] Ὁ πέμψας με Πατὴρ, ἐκεῖνος μεμαρτύρηκε περὶ ἐμοῦ, οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε, καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε ἐν ὑμῖν μένοντα, ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε.

[02703] Τοίνυν ὅτι μὴ πεπιστεύκασι τῷ ἐκ τοῦ Πατρὸς ἀποσταλέντι Λόγῳ, οὔτε τῆς φωνῆς ἀκηκοέναι λέγονται τοῦ Θεοῦ, οὔτε μὴν τὸ εἶδος αὐτοῦ τεθεᾶσθαι πώποτε, ἀλλ' οὔτε ἔχειν ἐν αὐτοῖς ἐνοικοῦντα τὸν λόγον.

[02704] Ἔστι δὴ λοιπὸν ἅπασι σαφὲς καὶ εὐσύνοπτον, ὅτιπερ, εἰ ἐδέξαντο τὸν ἀπεσταλμένον, ἤκουσαν ἂν καὶ τῆς φωνῆς τοῦ Θεοῦ, καὶ τὸ εἶδος ἐθεάσαντο αὐτοῦ, καὶ εἶχον ἐνοικοῦντα τὸν Λόγον.

[02705] Ταῦτα τοίνυν πάντα ἐστὶν ὁ Υἱὸς, φωνὴ καὶ εἶδος, καὶ Λόγος τοῦ Πατρός.

[02706] Εἰ δὲ εἶδός ἐστι, δῆλον ὅτι καὶ εἰκὼν καὶ χαρακτήρ.

[02707] Ἔχων οὖν ὡς χαρακτὴρ κατὰ φύσιν ἐν ἑαυτῷ τὸ πρωτότυπον, οὗ καὶ ἔστι χαρακτὴρ, ἀληθεύσει λέγων·

[02708] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί·

[02709] καὶ, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.

[02710] ΑΛΛΟ, σημαῖνον ὅτι εἶδος Θεοῦ καλεῖται ὁ Λόγος.

[02711] Ὁ πατριάρχης Ἰακὼβ μετωνομάσθη παρὰ τοῦ Θεοῦ καὶ κέκληται κατά τινα χρόνον Ἰσραὴλ, ὅτε, καθά φησιν ἡ θεία Γραφὴ, Ἀνέτειλεν αὐτῷ ὁ ἥλιος, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ Θεοῦ.

[02712] Εἶδος δὲ Θεοῦ τί ἂν ἕτερον εἴη, εἰ μὴ πάντως ὁ μετὰ παῤῥησίας βοῶν·

[02713] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.

[02714] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί·

[02715] καὶ, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν;

[02716] Ἀντίθεσις ὡς ἀπὸ τῶν χριστομάχων, ἀσεβείας μεστή.

[02717] Εὑρίσκεται, φασὶν, αὐτὸς ὁ Σωτὴρ τὸν ἑαυτοῦ Πατέρα παρακαλῶν ὑπέρ τε τῶν ἑαυτοῦ μαθητῶν, καὶ ὑπὲρ πάντων τῶν εἰς αὐτὸν πεπιστευκότων, καὶ οὕτω λέγων·

[02718] Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσιν ἓν καθὼς καὶ ἡμεῖς.

[02719] Καὶ μεθ' ἕτερα·

[02720] Οὐ περὶ τούτων δὲ μόνων ἐρωτῶ, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ·

[02721] ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ, Πατὴρ, ἐν ἐμοὶ, κἀγὼ ἐν σοὶ, ἵνα καὶ αὐτοὶ ἐν [75.197] ἡμῖν ἓν ὦσιν·

[02722] ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας.

[02723] Κἀγὼ τὴν δόξαν ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἕν.

[02724] Ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοὶ, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν·

[02725] ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέσταλκας.

[02726] Οὐκοῦν ὥσπερ ἄνθρωποι τὴν φύσιν ὄντες ἡμεῖς ἐν τῷ Πατρὶ γινόμεθα, οὕτω καὶ αὐτὸς ὁ Υἱὸς ἕν ἐστι πρὸς τὸν Πατέρα.

[02727] Καὶ αὐτὸς δὲ πάλιν ὁ Πατὴρ, οὕτως ἕν ἐστι πρὸς τὸν Υἱὸν, καθάπερ καὶ πρὸς ἡμᾶς.

[02728] Καὶ ὥσπερ οὐδεὶς ἀναγκάζει λόγος ὁμοίους ἡμᾶς εἶναι κατὰ φύσιν τῷ Πατρὶ, ὅτι δὴ καὶ πρὸς αὐτὸν ἓν γίνεσθαι λεγόμεθα, οὕτως οὐκ ἀνάγκη πᾶσα λέγειν ἐκ τῆς οὐσίας εἶναι τοῦ Πατρὸς τὸν Υἱὸν, ἐπειδήπερ φησίν·

[02729] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί.

[02730] Ὡς γὰρ προλαβόντες εἰρήκαμεν, οὕτως ἐστὶν ἐν Πατρὶ, καθὰ καὶ ἡμεῖς.

[02731] Ἢ τοίνυν καὶ ἡμᾶς ἀκόλουθον ὁμολογεῖν ἐκ τῆς οὐσίας εἶναι τοῦ Πατρὸς, διὰ τὸ ἓν γίνεσθαι πρὸς Θεὸν, ἢ εἰ μένομεν ἄνθρωποι, κἂν ἓν γενώμεθα πρὸς τὸν Πατέρα, δίκαιον καὶ ἐφ' Υἱοῦ τοῦτο φρονεῖν.

[02732] Μένει γὰρ ἐπὶ τῆς ἑαυτοῦ φύσεως, οὐκ ἀναβαίνων εἰς τὴν τοῦ Πατρὸς οὐσίαν, κἂν ὡς ἓν ὑπάρχειν λέγηται πρὸς αὐτόν.

[02733] Λύσις ἐφεξῆς.

[02734] Ταῦτα καὶ ὁ τῶν χριστομάχων πατὴρ καὶ τῆς φλυαρίας αὐτῶν χορηγὸς διάβολος εἰρηκὼς ἤκουσε·

[02735] Νῦν δὲ εἰς ᾅδην καταβήσῃ καὶ εἰς τὰ θεμέλια τῆς γῆς.

[02736] Ὡς γὰρ τετόλμηκεν εἰπεῖν ἐκεῖνος·

[02737] Ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ·

[02738] τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι, πολὺ τῆς ἀνθρώπων φύσεως τοὺς ὅρους ὑπερβαινόμενοι καὶ τῆς οὐσίας ἀναβάντες τὸ μέτρον, οὐ φοβοῦνται λέγοντες·

[02739] Ἐσόμεθα ὅμοιοι τῷ Ὑψίστῳ.

[02740] Ὥσπερ οὐ̓ναληθεύει ὁ τοῦ Θεοῦ Λόγος βοῶν, ὅτι Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, διὰ τὸ τῆς οὐσίας ἀπαράλλακτον, οὕτω καὶ οἱ χριστομάχοι εἴποιεν ἂν ἀληθεύοντες·

[02741] Ἡμεῖς καὶ ὁ πατὴρ ἡμῶν ὁ διάβολος ἕν ἐσμεν, διὰ τὸ τῆς γνώμης ἀπαράλλακτον.

[02742] Εἰς τοῦτο δὲ ἤδη μωρίας ἐλαύνουσιν ὡς οἴεσθαι κατὰ χάριν ἔχοντας τὸ καλεῖσθαι θεοὺς, ὁμοίους εἶναι δύνασθαι κατὰ τὴν φύσιν τοῦ τὴν χάριν ἐπιδεδωκότος.

[02743] Καὶ υἱοὶ κεκλημένοι, καθ' ὁμοιότητα τοῦ κατὰ φύσιν Υἱοῦ, ἴσους ἑαυτοὺς εἶναι πιστεύουσι τοῦ πρὸς υἱοθεσίαν ἀναγαγόντος, καὶ τὸ ἴδιον αὐτοῦ κατὰ φύσιν ἀξίωμα, κατὰ χάριν αὐτοῖς ἐπιθέντος διὰ πολλὴν φιλανθρωπίαν.

[02744] Ἀντίθεσις ὡς ἐκ τῶν αἱρετικῶν.

[02745] Κἂν λέγῃ, φασὶν, ὁ Υἱὸς, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, οὐ πάντως ἔσται τῆς αὐτῆς οὐσίας τῷ Πατρὶ, ἐπεὶ καὶ ἡμεῖς ἄνθρωποι κατὰ φύσιν ὄντες, ἓν ὡς πρὸς τὸν Θεὸν γινόμεθα·

[02746] καὶ μάρτυς αὐτὸς λέγων ὁ Υἱός·

[02747] Θέλω, Πάτερ, ἵνα ὥσπερ ἐγὼ καὶ σὺ ἕν ἐσμεν, οὕτω καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν.

[02748] Πρὸς τοῦτο λύσις.

[02749] Εἰ οὕτως εἰσὶν ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἓν, ὡς καὶ ἡμεῖς πρὸς τὸν Πατέρα, καὶ ὁ Πατὴρ πρὸς ἡμᾶς, οὐδὲν ἄρα τὸ μεταξὺ τοῦ Θεοῦ Λόγου καὶ ἡμῶν, ἀλλ' ἔσται κατὰ φύσιν ἡμῖν ὁ αὐτὸς, διοίσει δὲ μόνον τῷ [75.200] χρόνῳ, ἐπεὶ καὶ αὐτός ἐστι πρὸ πάντων·

[02750] ἀλλὰ κἂν ἔχῃ τὸ προτερεύειν κατὰ τὸν χρόνον, ἔσται πάλιν ἡμῖν κατ' οὐσίαν ὁ αὐτός.

[02751] Τί γὰρ κωλύσει τὸν Ἀδὰμ εἰς τὸ εἶναι κατὰ φύσιν ὅμοιον τῷ Παύλῳ τύχον, ἢ ἑτέρῳ τινὶ τῶν μετ' αὐτὸν γεγονότων, τὸ πρὸ πάντων αὐτὸν πεποιῆσθαι παρὰ Θεοῦ;

[02752] Εἰ τοίνυν οὐδὲν ἐν τούτοις ὁ χρόνος ὠφελεῖ, τί κωλύει καὶ τὸν Υἱὸν πρὸ ἡμῶν γεγονότα, τῆς αὐτῆς οὐσίας ἡμῖν ὑπάρχειν, εἰ μηδὲν ἔστιν ἕτερον τὸ μεταξὺ ἡμῶν τε καὶ αὐτοῦ;

[02753] Καὶ εἰ τοῦτο καθ' ὑμᾶς ἐστιν ἀληθὲς, ὅτου δὴ χάριν αὐτὸς μόνος καλεῖται Ποιητὴς, ἡμῶν οὐκ ἐχόντων τοῦτο;

[02754] Καὶ ἡμεῖς μὲν δι' αὐτοῦ γεγόναμεν, αὐτὸς δὲ τὴν τοῦ Δημιουργοῦ δόξαν φέρει.

[02755] Ἦν δὲ ὄντως ἀκόλουθον εἰ ταυτόν ἐσμεν κατὰ φύσιν αὐτῷ, τὴν αὐτὴν ἐκείνῳ χώραν ἐπέχειν παρὰ τῷ Πατρὶ καὶ ἡμᾶς, καὶ ἕκαστον ἡμῶν καλεῖσθαι καὶ Μονογενῆ, καὶ Λόγον, καὶ σοφίαν τοῦ Πατρός.

[02756] Ὧν γὰρ ἡ φύσις μία, τούτοις ἔσται καὶ τὸ ὄνομα κοινόν·

[02757] καὶ ὅπερ ἑνὶ κατὰ φύσιν ὑπάρχει, τοῦτο πάντως ἐγκείσεται καὶ τοῖς τῆς αὐτῆς μετέχουσιν οὐσίας.

[02758] Εἰ δὲ τοῦτο ἄτοπον, καὶ οὔτε δημιουργοί ἐσμεν ἢ κεκλήμεθα, οὔτε μὴν σοφία, ἢ Λόγος, ἢ ἀπαύγασμα·

[02759] μόνος δὲ ταῦτά ἐστιν ὁ Υἱός, οὐκ ἄρα κατὰ φύσιν ἔσται πρὸς ἡμᾶς ὁ αὐτὸς, ἀλλ' ἰδιάζουσαν ἐκ τοῦ Πατρὸς ἔχει τὴν γέννησιν, καὶ οὕτως ἐστὶν ἓν πρὸς τὸν ἑαυτοῦ Πατέρα, οὐ καθάπερ ἡμεῖς τῇ πρὸς αὐτὸν σχέσει τὴν ἑνότητα κερδαίνοντες μετοχικῶς τε καὶ μεταληπτικῶς, ὥσπερ ἂν εἰ καὶ σίδηρος πυρὶ ὁμιλήσας περιθερμαίνοιτο παρ' αὐτοῦ.

[02760] ΑΛΛΟ, μετὰ γοργῆς ἀποδείξεως διδάσκον ὅτι τὰ ἐξομοιούμενά τισιν, οὐ πάντως καὶ κατὰ φύσιν ἔνεισιν οἷς ἐξομοιοῦνται, ἀλλ' ὥσπερ τινὲς εἰκόνες τὰ φύσει προσόντα τισὶ γίνονται τῶν κατὰ προαίρεσιν ἡμῶν κινημάτων.

[02761] Λέγει πρός τινας ἡ θεία Γραφή·

[02762] Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις.

[02763] Καὶ πάλιν περὶ ἑτέρων·

[02764] Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.

[02765] Καὶ πάλιν·

[02766] Ἵπποι θηλυμανεῖς ἐγενήθησαν.

[02767] Ὁ δέ γε Σωτὴρ πρὸς τοὺς ἑαυτοῦ μαθητὰς τρανότερον λέγει·

[02768] Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.

[02769] Καὶ πάλιν·

[02770] Γίνεσθε οἰκτίρμονες καθὼς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν.

[02771] Εἰ μὲν οὖν τὸ τοῖς ἀλόγοις ζώοις ἐξομοιοῦσθαί τινας, ὅτι τὴν αὐτὴν ἐκείνοις ἐνόσησαν ἀβουλίαν, καὶ κατὰ φύσιν εἶναι τοῦτο ποιεῖ ὅπερ ἐστὶν ἐκεῖνα·

[02772] καὶ πάλιν, εἰ τὸ μιμεῖσθαι τοὺς μαθητὰς τὸ τοῦ ὄφεως φρόνιμον, καὶ τὸ τῆς περιστερᾶς ἀκέραιον, καὶ τὸ τοῦ Πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς πρόχειρον περὶ τὸ πάντας ἐλεῖν, καὶ ὄφεις αὐτοὺς καὶ περιστερὰς καὶ κατὰ φύσιν ὁμοίους γίνεσθαι παρασκευάζει τῷ Θεῷ·

[02773] ὅταν λεγώμεθα γίνεσθαι πρὸς Κύριον ἓν, οὐδὲν κωλύει λέγειν, ὅτι δὴ κατὰ τὸν τῆς οὐσίας λόγον ἓν γεγόναμεν πρὸς τὸν Θεὸν, ὥσπερ ἐστὶ καὶ ὁ Υἱὸς πρὸς τὸν ἑαυτοῦ Πατέρα.

[02774] Εἰ δὲ μέχρι μόνης ἐννοίας ἢ πράξεως ἡ ὁμοιότης ἡμῖν πρὸς τὰ ἀντιπαραβαλλόμενα πέφυκε γίνεσθαι, οὐκ ἐσμὲν ἄρα [75.201] κατ' οὐσίαν οἱ αὐτοὶ πρὸς τὸν Θεὸν, ὅταν ἓν πρὸς αὐτὸν γίνεσθαι λεγώμεθα.

[02775] Ἀλλ' ὥσπερ αὐτὸς ἕν ἐστι φύσει πρὸς τὸν ἑαυτοῦ Λόγον, οὕτω καὶ ἡμεῖς ἓν ὡς πρὸς ἀλλήλους γινόμεθα τῇ τε γνώμῃ, καὶ ὁμονοίᾳ, καὶ τῷ κατὰ μηδένα τρόπον στασιάζειν πρὸς ἀλλήλους, ἀλλ' ἑνὶ δεσμῷ τῆς ἁγίας ἀγάπης ὥσπερ εἰς ταυτότητα περισφίγγεσθαι.

[02776] ΑΛΛΟ.

[02777] Ἔθος τῷ Σωτῆρι Χριστῷ τὰ κατὰ φύσιν αὐτῷ προσόντα ἀγαθὰ προφέρειν ἀεὶ, καὶ τούτοις ἐξομοιοῦσθαι κελεύειν, ὡς πρὸς τὴν θείαν ἡμᾶς ἀναπλάττων εἰκόνα, καθ' ἣν καὶ πεποιήμεθα.

[02778] Ὅτε γοῦν πράους καὶ ἡμᾶς διδάξαι βούλεται, λέγει·

[02779] Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ.

[02780] Καὶ οὐχ ὅταν ἐξ αὐτοῦ μαθόντες γενώμεθα πρᾶοι, πάντως ἐξομοιούμεθα κατὰ φύσιν αὐτῷ, ἀλλὰ μόνον κατὰ τὸ τῆς πραότητος σχῆμα.

[02781] Οὐκοῦν ὅταν λέγῃ περὶ ἡμῶν, Ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς ἕν ἐσμεν, ἐξ ἑαυτοῦ λαβὼν τὸ παράδειγμα, οὐ πάντως ἵνα κατὰ φύσιν ἓν ὡς πρὸς τὸν Θεὸν γενώμεθα τοῦτό φησιν, ἀλλ' ἵνα ὥσπερ φυσικῶς ἕν ἐστιν αὐτὸς πρὸς τὸν Πατέρα, οὕτω καὶ ἡμεῖς τῇ ὁμοψυχίᾳ καὶ τὰ αὐτὰ φρονεῖν εἰς ἀλλήλους ἓν γενώμεθα, τὴν φυσικὴν ταυτότητα τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν εἰκόνα λαμβάνοντες τῆς ἀδιαστάτου γνώμης·

[02782] ὥσπερ ἓν ἡμᾶς σῶμα καὶ μίαν ψυχὴν δυναμένης ἀποτελεῖν.

[02783] Οὕτω γὰρ περὶ τῶν πιστευσάντων γέγραπται, ὅτι Τοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ψυχὴ μία.

[02784] ΑΛΛΟ.

[02785] Τὰ φύσει προσόντα τισὶν ὥσπερ εἰκόνες ἀμετάβλητοι γίνονται τοῖς πρὸς αὐτὰ τὴν οἰκείαν προαίρεσιν διαπλάττειν βουλομένοις·

[02786] ὁποῖόν ἐστι τὸ, Γίνεσθε ὡς οἱ ὄφεις, καὶ ὡς αἱ περιστεραί.

[02787] Οὐκοῦν εἰκόνα τινὰ ὑπογραμμὸν τῆς ὀφειλούσης ἐν ἡμῖν ἑνότητος γίνεσθαι προαιρετικῶς, προτείνει καὶ νῦν ὁ Υἱὸς, ἣν ἔχει πρὸς τὸν Πατέρα φυσικὴν ταυτότητα.

[02788] Ὅταν οὖν λέγῃ περὶ ἡμῶν·

[02789] Ἵνα καὶ αὐτοὶ ἓν ὦσι, καθὼς καὶ ἡμεῖς ἕν ἐσμεν, οὐχ ἵνα τὴν φύσιν ἀφέντες τὴν ἑαυτῶν, εἰς τὴν τοῦ Υἱοῦ μεταποιηθῶμεν, τοῦτό φησιν (ἀδύνατον γὰρ), ἀλλ' ἵνα καθάπερ ἤδη προείρηται, τοῦτο κατὰ γνώμην ὡς πρὸς ἀλλήλους γενώμεθα ὅπερ ἐστὶ κατὰ φύσιν αὐτὸς πρὸς τὸν Πατέρα·

[02790] ἓν δηλαδή.

[02791] Εἰ δὲ οὐκ ἔστιν εἰκὼν καὶ ὑπόδειγμα τὸ λεγόμενον, ἀλλὰ πάντως φυσικὴν ἔσεσθαί τινα μεταβολὴν οἴεταί τις, ἑαυτὸν ἐξαπατᾷ τὸ ἀληθὲς οὐχ ὁρῶν.

[02792] Εἰ γὰρ ἐβούλετο γενέσθαι κατὰ φύσιν ἡμᾶς ὁ Υἱὸς ὅπερ ἐστὶν αὐτὸς πρὸς τὸν Πατέρα, ἐχρῆν εἰπεῖν·

[02793] Ἵνα δὴ, ὥσπερ ἐγὼ πρὸς σὲ, Πάτερ, ἕν εἰμι, οὕτω καὶ αὐτοί.

[02794] Νυνὶ δὲ τοῦτο μὲν οὐκ εἰπὼν, τῷ δὲ πληθυντικῷ χρησάμενος ἀριθμῷ, καὶ λέγων·

[02795] Ἵνα ὥσπερ ἐγὼ καὶ σὺ ἕν ἐσμεν, οὕτω καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι, διδάσκει σαφῶς ὅτιπερ οὐκ εἰς τὴν τῆς θεότητος φύσιν μεταποιηθῆναι βούλεται τοὺς εἰς αὐτὸν πιστεύοντας (ἀπίθανον γὰρ), ἀλλ' εἰκόνα τῆς κατὰ προαίρεσιν ἑνότητος λαβόντας [75.204] τὸ φύσει προσὸν αὐτῷ, τοῦτο εἶναι κατὰ γνώμην ἐπείγεσθαι, ὅ ἐστιν αὐτὸς φυσικῶς πρὸς τὸν γεννήσαντα.

[02796] ΑΛΛΟ, δεικνύον ὅτι τὸ ἐν Θεῷ γίνεσθαι, οὐ φύ σεως σημαίνει μεταβολὴν, ἀλλ' ὅτι δι' αὐτοῦ ἢ παρ' αὐτοῦ.

[02797] Εὑρίσκεταί που λέγων ὁ Ψαλμῳδός·

[02798] Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν.

[02799] Καὶ πάλιν·

[02800] Ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος.

[02801] Ἀλλ' ἔστι δῆλον ὅτιπερ οὐκ ἐν τῷ Θεῷ γενόμενος φυσικῶς καὶ τεῖχος ὑπερβήσεσθαι καὶ κερατιεῖν, ἀλλ' ὅτι ἐν τῷ ὀνόματι τοῦ Θεοῦ καὶ ἐν τῇ δυνάμει αὐτοῦ τοῦτο ποιήσει.

[02802] Οὐκοῦν ὅταν ὁ Υἱὸς λέγῃ·

[02803] Ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν, οὐχ ἵνα κατὰ φύσιν ἓν γένωνται πρὸς τὸν Θεὸν οἱ πιστεύοντες, τοῦτό φησιν, ἀλλ' ἵνα ἐν ὀνόματι Πατρὸς καὶ Υἱοῦ, μίαν

ἔχοιεν εἰς ἀλλήλους τὴν γνώμην, καὶ εἰς φιλίας ἑνότητα περισφίγγωνται.

[02804] Ἐπειδὴ δὲ προστίθησι τὸ, καθὼς ἡμεῖς ἕν ἐσμεν, δῆλός ἐστιν οὐ φυσικὴν τοῖς πιστεύουσι χαριζόμενος μεταβολὴν, ἀλλ' ὡς εἰκόνα καὶ ὑπόδειγμα τὸ φύσει προσὸν αὐτῷ τιθεὶς τῆς προαιρετικῆς ἡμῶν ἑνότητος.

[02805] Τὸ γὰρ, καθὼς, οὐ πάντως ἀλήθειαν, ἀλλ' ὁμοίωσίν τινα παραδηλοῖ.

[02806] ΑΛΛΟ, δι' οὗ μανθάνομεν ὅπως προσήκει νοεῖν τὸ ῥητὸν, τουτέστιν, Ἵνα ὥσπερ ἐγὼ καὶ σὺ ἕν ἐσμεν, οὕτω καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν·

[02807] ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοὶ, ἵνα ὦσι τετε λειωμένοι εἰς ἕν.

[02808] Μεγάλην τινὰ καὶ ὑπερφυῆ τῷ γένει τῶν ἀνθρώπων καταθέσθαι χάριν βουλόμενος ὁ τοῦ Θεοῦ Λόγος, ἕλκει σύμπαντας ὡς πρὸς ἑνότητα τὴν πρὸς ἑαυτόν.

[02809] Φορέσας μὲν γὰρ τὸ σῶμα τὸ ἀνθρώπινον, γέγονεν ἐν ἡμῖν.

[02810] Ἔχει δὲ ἐν ἑαυτῷ τὸν Πατέρα, ὡς Λόγος αὐτοῦ καὶ ἀπαύγασμα.

[02811] Ὥσπερ οὖν, φησὶν, ἐγώ εἰμι ἐν αὐτοῖς, διὰ τὸ τὴν αὐτὴν αὐτοῖς φορέσαι σάρκα, καὶ σὺ, Πάτερ, ἐν ἐμοὶ, διὰ τὸ εἶναί με τῆς σῆς οὐσίας τὸ ἴδιον, οὕτω βούλομαι ἵνα καὶ αὐτοὶ εἰς ἑνότητά τινα συναφ[θ]έντες ἀλλήλοις ἀνακραθῶσι, καὶ ὥσπερ ἓν σῶμα γενόμενοι ἐν ἐμοὶ πάντες ὦσιν ὡς πάντας φοροῦντι διὰ τοῦ ἑνὸς ἀναληφθέντος ναοῦ, οὕτω τε εἶεν καὶ φαίνοιντο τετελειωμένοι.

[02812] Καὶ γὰρ ἐγὼ τέλειός εἰμι καὶ ἄνθρωπος γεγονώς.

[02813] ΑΛΛΟ, δεικνύον ἀκριβῶς ὅτιπερ οὐ τὴν ἑαυτῶν ἀφέντες φύσιν, πρὸς τὴν θείαν μεταποιού μεθα, ὅταν ἓν γίνεσθαι πρὸς τὸν Θεὸν λεγώ μεθα, ἀλλ' ὅτι μέτοχοι γεγονότες αὐτοῦ, τοῦτο καλούμεθα.

[02814] Ὁ μακάριος Ἰωάννης φησίν·

[02815] Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ ἔδωκεν ἡμῖν.

[02816] Εἰ τοίνυν διὰ τὸ μετέχειν τοῦ Πνεύματος ἓν γινόμεθα πρὸς Θεὸν, καὶ ἡμεῖς μὲν ἐν αὐτῷ, αὐτὸς δὲ ἐν ἡμῖν εἶναι λέγεται·

[02817] ὁ δὲ τοῦ Θεοῦ Λόγος οὐκ ἔστι τῶν μετεχόντων τὸ Πνεῦμα, ἀλλὰ μᾶλλον τοῦ Πνεύματος χορηγὸς, πρόδηλον ἂν εἴη ὅτιπερ οὐχ ὡς αὐτός ἐστιν ἐν Θεῷ καὶ Πατρὶ, οὕτω καὶ ἡμεῖς.

[02818] Ἀλλ' αὐτὸς μὲν ἐν τῇ φύσει τοῦ γεγεννηκότος ἐστὶν, ὡς Λόγος αὐτοῦ [75.205] καὶ ἀπαύγασμα.

[02819] Ἡμεῖς δὲ δι' αὐτοῦ τῆς τοῦ Πνεύματος μετοχῆς ἀξιούμενοι, ἓν ὡς πρὸς Θεὸν γίνεσθαι λεγόμεθα.

[02820] ΑΛΛΟ, τὴν αὐτὴν ἔχον διάνοιαν.

[02821] Λέγει πού πάλιν ὁ μακάριος Ἰωάννης·

[02822] Ὃς ἂν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ.

[02823] Εἰ τοίνυν ὁμολογοῦντες, ὅτιπερ Υἱός ἐστιν Ἰησοῦς τοῦ Θεοῦ, ἐν Θεῷ γινόμεθα, καὶ αὐτὸς ὁμοίως ἐν ἡμῖν·

[02824] ὁ δὲ Υἱὸς οὐχ οὕτως ἐστὶν ἐν Πατρὶ, οὐ γὰρ δῶρον ὁμολογίας ἔχει τὸ εἶναι ἐν αὐτῷ, δῆλόν ἐστι καὶ πᾶσιν εὐσύνοπτον ὅτιπερ ἄνθρωποι μὲν καλοῦνται χάριτι πρὸς ἑνότητα τὴν εἰς Θεὸν, καὶ γέρας ὁμολογίας καὶ πίστεως ἔχουσι τοῦτο.

[02825] Ὁ δὲ τοῦ Θεοῦ λόγος δίχα τινὸς τοιούτου φυσικῶς ἐστιν ἐν Πατρὶ, καὶ ἐν ἑαυτῷ τὸν Πατέρα φέρει, καὶ ὄντως ἕν ἐστι πρὸς αὐτόν.

[02826] ΑΛΛΟ.

[02827] Κατὰ τὴν Ἰωάννου φωνὴν, ὁ ὁμολογήσας ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ἔχει τὸν Θεὸν ἐν ἑαυτῷ μένοντα, καὶ αὐτὸς δὲ ἐν τῷ Θεῷ γίνεται.

[02828] Ὡμολόγησέ τις, ὑποκείσθω γὰρ τοῦτο τῷ λόγῳ, καὶ λαβὼν Πνεῦμα τῆς ὁμολογίας δῶρον, ἐδέξατο μὲν Θεὸν ἐν ἑαυτῷ, γέγονε δὲ καὶ αὐτὸς ἐν Θεῷ.

[02829] Ἀλλὰ τὸν οὕτω διατιθέντα, συμβέβηκεν ἔκ τινος διαβολικῆς ἐπηρείας μετάγνωσιν τῶν ὀρθῶς βεβουλευμένων ἐλθεῖν, ἀπέστη τε τῆς ὁμολογίας, καὶ διὰ τοῦτο τὴν χάριν ἀποβέβληκε, καὶ τοῦ θείου Πνεύματος ἔρημος γεγονώς·

[02830] οὐ γὰρ ἐν τοῖς δυσφημοῦσι τὸν Υἱὸν κατοικεῖ.

[02831] Ἀπώλεσε καὶ τὸ εἶναι ἐν Θεῷ, καὶ τὸ ἔχειν αὐτὸν ἐν ἑαυτῷ.

[02832] Ἄνθρωπος δὲ ἦν καὶ ὁμολογήσας, καὶ ὅτε τῆς ὁμολογίας ἀπέστη.

[02833] Οὐκ ἄρα φύσει πρὸς τὴν θείαν οὐσίαν μεταποιούμεθα, ἓν ὡς πρὸς τὸν Θεὸν γίνεσθαι λεγόμενοι, ἀλλὰ χάρις ἡμᾶς, καὶ ἀρετὴ συνάπτει, καὶ κακία πάλιν ἀφίστησι·

[02834] καὶ εἰ ὁμολογοῦντες ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ἐν Θεῷ γινόμεθα, ἀρνούμενοι δὲ πάντως ἀλλοτριούμεθα.

[02835] Φαίνεται δὲ οὐ δῶρον ἀρετῆς τοῦτο ἔχων ὁ Υἱός.

[02836] Οὐκ ἄρα οὕτως ἐστὶν ἐν Πατρὶ ὥσπερ ἡμεῖς, ἀλλ' αὐτὸς μὲν φυσικῶς καὶ ἀμεταπτώτως ἐξ αὐτοῦ γεγεννημένος, ἡμεῖς δὲ χάριτι καὶ μετοχῇ.

[02837] Ὥσπερ οὖν αὐτοῦ κατὰ φύσιν ὄντος Υἱοῦ καὶ Θεοῦ, οὕτω καὶ ἡμεῖς καθ' ὁμοιότητα αὐτοῦ καὶ υἱοὶ καὶ θεοὶ χρηματίζομεν.

[02838] ΛΟΓΟΣ ΙΓʹ.

[02839] Περὶ ὁμοιότητος τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα·

[02840] καὶ, ὅτι οὐκ ἔστι τρεπτῆς φύσεως ὁ Υἱὸς, ἢ ἔξωθεν ὑποστὰς, ἀλλ' ἐκ τῆς οὐσίας αὐτοῦ προελθὼν, ὡς Υἱὸς καὶ γέννημα.

[02841] Ἀντίθεσις ὡς ἐκ τῶν θεομάχων.

[02842] Εἰ ἀπαράλλακτος, φασὶν, εἰκών ἐστιν ὁ Υἱὸς τοῦ Πατρὸς, καὶ ὅμοιός ἐστι κατὰ πάντα τῷ γεγεννηκότι, γεννάτω καὶ αὐτὸς, καὶ Υἱοῦ γενέσθω Πατήρ·

[02843] οὕτω γὰρ αὐτὸν ἀκριβῶς μιμήσεται.

[02844] Εἰ δὲ οὐ γεννᾷ, πῶς ἐν τῷ μὴ τίκτοντι τὸ τίκτον φαίνεται;

[02845] Ἀνόμοιος γὰρ ἔσται κατὰ τοῦτο τῷ Πατρί.

[02846] [75.208] Πρὸς τοῦτο λύσις.

[02847] Εἰ τὸ παραλλάττον οὐδὲν ἐν Θεῷ καὶ ἀνθρώποις, ἀπαιτείσθω τὸ γεννᾷν καὶ οὕτως ὡς ἄνθρωπος.

[02848] Εἰ δὲ ἐξαίρετος ἡ Θεοῦ φύσις, ἔσται πάντως καὶ τῆς καθ' ἡμᾶς ἀνάγκης ἐλευθέρα.

[02849] Οὐ γὰρ ὡς ἄνθρωπος ἐγέννησε Θεὸς, ἵνα καὶ ὁ τεχθεὶς ταῖς φυσικαῖς ἡμῶν ἑπόμενος ἀκολουθίαις τέκῃ, ἀλλὰ θείαν τινὰ καὶ ἄῤῥητον ἐκ Πατρὸς ἔχει τὴν γέννησιν.

[02850] Εἰ δὲ ἀνάγκη τὸν γεννηθέντα γεννᾷν διὰ τὴν παρ' ἡμῖν φυσικὴν συνήθειαν, καὶ τοῖς τῆς ἀνθρωπότητος νόμοις ὑποπίπτει τὰ τῆς θεότητος ἴδια·

[02851] τί τὸ κωλύον πατέρα.

[02852] δοῦναι τῷ Πατρί;

[02853] Οὕτω γὰρ οἱ παρ' ἡμῖν.

[02854] Εἰ δὲ ἔστιν οὐκ ἔκ τινος ἀρχῆς ὁ Πατὴρ, καὶ τὴν καθ' ἡμᾶς ἀναβαίνει συνήθειαν ὡς Θεὸς, οὐδεὶς ἀναγκάσει λόγος τίκτειν τὸν Υἱόν.

[02855] Ἔσται γὰρ καὶ οὕτω μᾶλλον τῷ Πατρὶ παραπλήσιος, ἄνω πάσης ἀνάγκης ὑπάρχων, ὡς Θεός.

[02856] ΑΛΛΟ.

[02857] Οὐκ ἄν τις εἴποι νοῦν ἔχων, ἀνόμοιον φαίνεσθαι τῷ Πατρὶ τὸν Υἱὸν, ἐπεὶ μὴ καὶ αὐτὸς ἐγέννησε, μηδὲ υἱοῦ γέγονε πατήρ.

[02858] Ἀλλὰ μᾶλλον καὶ διὰ τοῦτο θαυμαστήν τινα καὶ ἀκριβεστάτην ὄψεται τοῦ Πατρὸς ἐν Υἱῷ τὴν εἰκόνα.

[02859] Ὥσπερ γὰρ ὁ Πατὴρ ἄτρεπτός τε καὶ ἀναλλοίωτος ὢν, ἀεὶ μένει Πατὴρ, καὶ εἰς Υἱὸν οὐ μεταβάλλεται, οὕτως ὁ ἐξ αὐτοῦ Λόγος Υἱὸς προελθὼν, μένει τοῦθ' ὅπερ ἐστὶ, τοῦ Πατρὸς τὸ ἀναλλοίωτον καὶ διὰ τούτου δεικνύων ἐν ἑαυτῷ.

[02860] Ὅμοιος οὖν καὶ κατὰ τοῦτο Πατρί.

[02861] Ἐρώτησις Ἀρειανῶν, δι' ἧς, ὡς οἴονται, δεικνύουσιν ἀνόμοιον τῷ Πατρὶ τὸν Υἱόν.

[02862] Αὐτεξούσιος, φασὶν, ἐστὶν ὁ Υἱὸς, ἢ οὐκ ἐστίν.

[02863] Εἰ μὲν οὖν αὐτεξούσιός ἐστι, προαιρέσει φαίνοιτ' ἂν εἰκότως καλός.

[02864] Τὸ δὲ προαιρέσει καὶ οὐ φύσει περί τι κρατούμενον, δύναιτ' ἂν ἐφ' ἕτερα μεταβάλλεσθαι, καὶ ἐφ' ὅπερ ἂν ἡ τῆς προαιρέσεως γένοιτο ῥοπὴ, ἐκεῖ πάντως ἔσται τὸ προαιρέσει διοικούμενον.

[02865] Τροπὴ δὲ τοῦτο καὶ πάθος.

[02866] Ὁ δὲ τροπὴν ὑπομένων καὶ πάθος, πῶς ἂν εἴη τοῦ ἀτρέπτου καὶ ἀπαθοῦς εἰκὼν καὶ ὁμοιότης;

[02867] Εἰ δὲ ἄτρεπτός ἐστιν, εἰς οὐδὲν ἕτερον παρενεχθῆναι δυνάμενος, ἀλλ' ὅπερ ἐστὶ μένων ἀεὶ, ὡς λίθος ἄρα ἢ ξύλον ἕστηκεν ἐφ' ἑαυτῷ φυσικῷ τινι καὶ ἀῤῥήκτῳ δεσμῷ, εἰς τοῦθ' ὅπερ ἐστὶ κρατούμενος, καὶ τὸ αὐτεξούσιον οὐκ ἔχων.

[02868] Πρὸς ταῦτα λύσις.

[02869] Ἔδει μὲν ταῖς οὕτως ἀπαιδεύτως προσφερομέναις ἐρωτήσεσι μηδόλως ἀποκρίνεσθαι.

[02870] Ἔνθα γὰρ ἡ ἀπόκρισις πανταχοῦ τὸ δύσφημον ἔχει, ἐκεῖ κρείττων ἡ σιωπή.

[02871] Ἂν μὲν γὰρ αὐτεξούσιον εἴπω τὸν Υἱὸν, εὐθὺς ἡ τῆς αὐτεξουσιότητος συνεισάγεται μεταβολή.

[02872] Ἀκολουθεῖ γὰρ τῷ αὐτεξουσίῳ τὸ ἐπιδέχεσθαι μεταβολὴν, εἰ καὶ μήπω πεπονθὸς εἴη τοῦτο διὰ τὸ μὴ ἐθελῆσαι παθεῖν.

[02873] Ἐὰν δὲ τοῦτο ἀφεὶς, τὸ ἕτερον εἴπω, τουτέστιν, Ἄτρεπτος ὁ Λόγος ἐστὶν, εὐθὺς ἡμῖν τοῦ ξύλου τὴν ἀκινησίαν προτείνοντες, οὐκ αἰσθά [75.209] νονται τολμῶντες λέγειν, ἃ καὶ μόνον ἦν ἐνθυμεῖσθαι κινδύνου μεστά.

[02874] Τί γὰρ ἂν εἴποιεν οἱ πάντα τολμῶντες ῥᾳδίως, εἴ τις αὐτοῖς περὶ τοῦ Πατρὸς πεῦσιν προσάγοι τὴν αὐτήν;

[02875] Ἆρα τὸν ἴσον ἡμῖν φοβηθήσονται φόβον, καὶ τὴν ἐπὶ τούτοις ἐπαινέσουσι σιωπήν;

[02876] Ἢ τί ποτε ἄρα πρὸς ταῦτα ἐροῦσιν·

[02877] Ἐγὼ μὲν οὐκ ἔχω λέγειν, καλὸν δὲ καὶ χρήσιμον εἰ μηδὲ ἐνενόησαν οὗτοι.

[02878] Ὅτι δὲ ἄτρεπτος ὢν ὁ τοῦ Θεοῦ Λόγος ὥσπερ ὁ γεννήσας αὐτὸν, ὅμοιός ἐστι κατὰ πάντα τῷ Πατρὶ, γένοιτ' ἂν διὰ τούτου σαφές.

[02879] Εἰ ἀπαράλλακτός ἐστιν εἰκὼν τοῦ Πατρὸς, καὶ ἀληθεύει, λέγων·

[02880] Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα, καὶ πάλιν·

[02881] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ἔσται πάντως ἄτρεπτος καὶ ἀναλλοίωτος ὡς ὁ Πατήρ.

[02882] Ἐπεὶ πῶς ἂν γένοιτο εἰκὼν τοῦ ἀεὶ καὶ ὡσαύτως ἔχοντος, τὸ τροπὴν ἐπιδεχόμενον;

[02883] Ἢ πῶς ἂν εἴποιεν, Ἕν ἐσμεν, τὰ τοσοῦτον ἀλλήλων διεστηκότα, καὶ μακρὰν οὕτω φέροντα τὴν ἀνομοιότητα;

[02884] Ἐπειδὴ δὲ ἀμήχανον ψεύδεσθαι τὴν ἀλήθειαν, τουτέστι τὸν Υἱὸν, ὅμοιον αὐτὸν εἶναι λέγοντα τοῦ Πατρὸς, ἀνάγκη πᾶσα τοῦθ' ὅπερ ἐστὶν ὁ Πατὴρ εἶναι πιστεύειν κατὰ φύσιν καὶ τὸν Υἱόν.

[02885] Ἄτρεπτος οὖν, ὡς ἐκεῖνος, καὶ κατὰ πάντα αὐτῷ προσεοικώς.

[02886] Ἄλλως τὸ αὐτό.

[02887] Εἰ τρεπτῆς ὢν φύσεως ὁ Υἱὸς, αὐτοπροαίρετός τε καὶ αὐτεξούσιος, κατ' ἐκείνους, ὑπάρχων, ἐφέσει τῇ περὶ τὸ ἀγαθὸν εἰς τοῦτο γέγονε καταστάσεως, ὡς μηδεμίαν ἔχειν πρὸς τὸν Πατέρα διαφορὰν, ἀλλὰ λοιπὸν δύνασθαι λέγειν·

[02888] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα, οὐδὲν ἐν Θεῷ μέγα, εἰ καὶ τοῖς τρεπτὴν ἔχουσι τὴν φύσιν ἔξεστι βουλομένοις εἶναι τοῦτο κατὰ φύσιν, ὅπερ ἐκεῖνός ἐστιν.

[02889] Εἰ δὲ ἄβατα παντελῶς ἐστιν ἑτέρᾳ φύσει τὰ τῆς θεότητος ἴδια, πάντα δὲ ταῦτα φυσικῶς ἐν Υἱῷ φαίνεται, ὅμοιος ἄρα ἐστὶ κατὰ πάντα τοῦ Πατρός·

[02890] οὐκ ἔκ τινος προκοπῆς ἢ ἀλλοιώσεως τῆς εἰς τὸ ἀγαθὸν, ἐκ τοῦ μὴ τοιούτου ὅπερ ἐστὶν ὑπάρχων, ἀλλὰ τέλειος ἐκ τελείου, καὶ ἄτρεπτος ἐξ ἀτρέπτου Πατρὸς προελθών.

[02891] Πῶς γὰρ οὐ τέλειος ὁ οὐχ ἁρπαγμὸν ἡγησάμενος τὸ εἶναι ἴσα Θεῷ;

[02892] Πῶς δὲ οὐκ ἄτρεπτος ὁ μετὰ τοῦ Πατρὸς ἓν ὢν, καθά φησιν αὐτός;

[02893] ΑΛΛΟ.

[02894] Εἰ ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται, καρπὸς δὲ τῆς τοῦ Πατρὸς οὐσίας ὁ ἐξ αὐτοῦ προελθὼν Λόγος, τουτέστιν ὁ Υἱός·

[02895] ἢ ποιείτωσαν καὶ τὸ δένδρον σαπρὸν, τρεπτῆς αὐτὸ φύσεως εἶναι λέγοντες (οὕτω γὰρ βούλονται τὸν καρπὸν), ἢ εἰ καλὸν ποιοῦσι τὸ δένδρον, τοιοῦτον εἶναι πιστευέτωσαν καὶ τὸν ἐξ αὐτοῦ προελθόντα καρπὸν, οὐ τῆς ἀλλοιουμένης, ἀλλὰ τῆς ἀτρέπτου φύσεως εἶναι λογιζόμενοι, καθὰ καὶ τὸ δένδρον.

[02896] ΑΛΛΟ.

[02897] Ἐρωτῶντι Φιλίππῳ καὶ λέγοντι·

[02898] Δεῖξον ἡμῖν τὸν Πατέρα, Χριστὸς ἀποκρίνεται·

[02899] Τοσούτῳ [75.212] χρόνῳ μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε;

[02900] Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα.

[02901] Εἰ τοίνυν ἡ περὶ τοῦ Υἱοῦ γνῶσις, γνῶσίς ἐστι τοῦ Πατρὸς, ἀνάγκη πᾶσα τοιοῦτον εἶναι πιστεύειν τὸν Υἱὸν, ὁποῖός ἐστιν ὁ Πατήρ.

[02902] Εἰ δὲ τοῦτο, ἄτρεπτος δὲ ὁ Πατὴρ, ἔσται τοῦτο πάντως καὶ ὁ Υἱός.

[02903] Οὕτω γὰρ ἂν ἐν αὐτῷ γνωσθείη καὶ φαίνοιτο.

[02904] Μαρτυρίαι ἀπὸ τῆς Γραφῆς, ὅτι ἄτρεπτος ὁ Υἱὸς, καὶ ἐξ αὐτῶν συλλογισμὸς εἰς τοῦτο περιτρέ πων.

[02905] Ὁ Παῦλος λέγει·

[02906] Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.

[02907] Ὁ Ψαλμῳδός·

[02908] Σὺ καταρχὰς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί·

[02909] αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις·

[02910] καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται·

[02911] καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται, σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

[02912] Ὁ Σωτὴρ περὶ ἑαυτοῦ·

[02913] Ἴδετέ με, ἴδετε ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι.

[02914] Ὁ Ἱερεμίας·

[02915] Ὅτι σὺ καθήμενος τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα.

[02916] Ἐνταῦθα γὰρ τὸ ἱδρυμένον καὶ ἀμετάθετον, καὶ ἀεὶ ὡσαύτως ἔχον τῆς θείας φύσεως ὁ προφήτης σημαίνων φησί·

[02917] Σὺ καθήμενος τὸν αἰῶνα·

[02918] τὴν δὲ ἐν παντὶ χρόνῳ τῶν γενητῶν μεταβολὴν ἐξηγούμενος, ἐπιφέρει·

[02919] Καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα.

[02920] Εἰ τοίνυν ἐπὶ μὲν τῶν γενητῶν τροπὴν, καὶ ἀλλοίωσιν, καὶ ἀπώλειαν, καὶ ἐξαλλαγὴν ἡ θεία λέγουσα Γραφὴ, τῆς πρὸς ταῦτα κοινωνίας ὑπεξαιρεῖ τὸν Υἱὸν, Σὺ δὲ ὁ αὐτὸς εἶ, λέγουσα, οὐκ ἄρα τρεπτῆς φύσεώς ἐστιν.

[02921] Οὐδὲ γὰρ ἂν ὁ αὐτὸς εἴη, ἐφ' ἕτερόν τι παρ' ὅπερ ἐστὶ μετατρέπεσθαι δυνάμενος.

[02922] ΑΛΛΟ.

[02923] Εἰ κατὰ φύσιν οὐκ ἔστιν ἄτρεπτος ὁ Υἱὸς, συνέβη δὲ αὐτῷ τὸ εἶναι τοῦτο ὅπερ ἐστὶ, καὶ ἐπίκτητον ἔχει τὴν πρὸς τὸν Πατέρα ὁμοιότητα, ἦν ἄρα χρόνος ὅτε ἦν μὲν ὁ Υἱὸς, ἀνόμοιος δὲ τῷ Πατρί;

[02924] Καὶ πῶς Υἱὸς ἔτι νοηθήσεται ὁ μὴ ἐκ τῆς κατὰ φύσιν ὁμοιότητος μαρτυρούμενος;

[02925] Ἢ πῶς ἐν βεβαίῳ τῆς μακαριότητος στήσεται, ὁ ἐπισυμβεβηκὸς τοῦτο ἔχων;

[02926] Εἰ γὰρ συνέβη, καὶ ἀποσυμβῆναι τοῦτο δυνήσεται.

[02927] Εἰ δὲ ἐν ταυτότητι μένειν τὸν Υἱὸν ἡ θεία λέγει Γραφὴ, πάντα ἐν αὐτῷ κατὰ φύσιν ἐστὶ τὰ τῆς θεότητος ἴδια, ἀλλότριον δὲ ταύτης ἡ τροπὴ, ἄτρεπτος ἄρα ἐστὶ καὶ ἀναλλοίωτος.

[02928] ΑΛΛΟ.

[02929] Τὸ τρεπόμενον καὶ ἀλλοιωθῆναι δυνάμενον, οὐκ ἂν λέγοι περὶ ἑαυτοῦ·

[02930] Ἐγώ εἰμι ἡ ἀλήθεια.

[02931] Εἰ γὰρ ποτὲ μὲν τόδε ἐστὶν, ποτὲ δὲ οὐκ ἔστι, ψεύδεται πρὸς ἑαυτόν.

[02932] Ὁ δὲ Υἱὸς περὶ ἑαυτοῦ λέγει·

[02933] Ἐγώ εἰμι ἡ ἀλήθεια.

[02934] Οὐκ ἄρα τῶν ἀλλοιουμένων, ἢ τρεπομένων ἐστὶν, ἀλλ' ὅμοιος τῷ Πατρὶ, ἄτρεπτός τε καὶ ἀναλλοίωτος ὤν.

[02935] ΑΛΛΟ, διηγηματικῶς.

[02936] Ἕνα τῶν ἀλλοιουμένων σπουδάζοντες δεῖξαι τὸν [75.213] Υἱὸν, ἵνα ἐκ τούτου νομίζηται εἶναι καὶ γενητὸς, καὶ λοιπὸν ἀνόμοιος τῷ Πατρὶ, εἰς ἀπόδειξιν τῆς ἑαυτῶν μανίας προφέρουσί τινα τῶν ἐν ταῖς θείαις Γραφαῖς·

[02937] καί φασι τὸν Ἀπόστολον εἰπεῖν·

[02938] Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα·

[02939] ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ.

[02940] Παρὰ δὲ τῷ Ψαλμῳδῷ γέγραπται πάλιν·

[02941] Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

[02942] Εἶτα λέγουσι τὰ ῥήματα σοφιζόμενοι, ὅτι τὸ, διὸ, καὶ διὰ τοῦτο, αἰτίαν τινὰ σημαίνει, δι' ἣν ὑπερυψώθη, καὶ ἐχαρίσθη αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, καὶ ἐχρίσθη τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως.

[02943] Εἰ δὲ αἰτία τις τούτων αὐτῷ γέγονε πρόξενος, ἠλλοιώθη δηλονότι καὶ μεταβέβληται, τοῦτο γεγονὼς ὅπερ οὐκ ἦν πρὸ τούτου·

[02944] καὶ εἰ δοτὸν ἐν αὐτῷ τὸ ἀξίωμα, ἔσται καὶ ἀφαιρετόν.

[02945] Τὸ δὲ ἐν τοιαύτῃ καταστάσει τυγχάνον, πῶς ἂν εἴη κατὰ φύσιν τῷ ἀτρέπτῳ ὅμοιον, καὶ τοῦ ἀεὶ ὡσαύτως ἔχοντος εἰκών;

[02946] Πρὸς ταῦτα λύσις.

[02947] Εἰ καθ' ὑμᾶς γέγονέ τις αἰτία δι' ἣν ὑπερυψώθη, καὶ τοῦ ὀνόματος ἔτυχεν, ἐχρίσθη τε τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως, οὐκ ἂν ἦν τοῦθ' ὅπερ ἐστὶ νῦν, τῆς αἰτίας οὐ γενομένης.

[02948] Οὐκοῦν οὐ φύσει Θεὸς ὁ Υἱὸς, εἰ ἐξ αἰτίας κατὰ χάριν Θεός·

[02949] οὐδὲ φύσει Υἱὸς, εἰ ἐξ αἰτίας κατὰ χάριν Υἱὸς, καὶ μισθὸς ὡς ἔοικεν ἀρετῆς ἡ υἱότης αὐτῷ, καὶ τὸ τῆς θεότητος ὄνομα, ὥσπερ καὶ ἐφ' ἡμῶν.

[02950] Οὐδὲν οὖν ἔσται τὸ αὐτοῦ τε καὶ ἡμῶν μεταξύ.

[02951] Ἔξεστι γὰρ διὰ βίου σεμνότητος τῶν ἴσων τυχεῖν, εἴ γε καλούμεθα καὶ θεοὶ καὶ υἱοὶ, καὶ χριόμεθα τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως, τούτων ἀξίους ἑαυτοὺς παραστήσαντες.

[02952] Εἰ δὲ τοῦτο ἄτοπον καὶ νοεῖν καὶ λέγειν, ὑπὲρ ἡμᾶς ἔσται καὶ οὐχ ὡς ἡμεῖς ὁ Υἱός.

[02953] Ὁ μὲν γὰρ ἐκ τοῦ Πατρὸς κατὰ φύσιν ὑπάρχων, Υἱός ἐστιν ἀληθινὸς, ὡς ἄνθρωπος ἐξ ἀνθρώπου, καὶ Θεός ἐστιν ἐκ Θεοῦ γεννηθείς.

[02954] Ἡμεῖς δὲ οἷς ταῦτα κατὰ φύσιν οὐ πρόσεστι, τὴν ἀπὸ τοῦ λαβεῖν χάριν, ἀντὶ τοῦ κατὰ ἀλήθειαν ἐσχήκαμεν, υἱοὶ καὶ θεοὶ διὰ τὴν τοῦ δεδωκότος φιλανθρωπίαν χρηματίζοντες·

[02955] μέχρι γὰρ μόνου τοῦ ὀνόματος ἐφ' ἡμῶν ἡ κτῆσις τῶν ὑπὲρ ἡμᾶς, ἔτι δὲ τοῦ Υἱοῦ, φυσική τε καὶ οὐσιώδης.

[02956] ΑΛΛΟ.

[02957] Ὁ θεῖος Ἀπόστολός πού φησι περὶ τοῦ Υἱοῦ·

[02958] Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, καὶ τὸ ἑξῆς·

[02959] Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα.

[02960] Ὅτε τοίνυν ἐνηνθρώπησε τὴν τοῦ δούλου μορφὴν ἀναλαβὼν, ἐχαρίσθη αὐτῷ τὸ ὄνομα, καὶ ὑπερυψώθη.

[02961] Οὐκοῦν πρὸ τῆς ἐνσάρκου παρουσίας καὶ τῆς τοῦ δούλου μορφῆς, οὔτε εἶχε τὸ ὄνομα, οὔτε ἦν ὑψηλότερος κατὰ τὸν τῶν Ἀρειανῶν λόγον.

[02962] Εἰ γὰρ ἦν ταῦτα καὶ πρὸ τῆς ἐπιδημίας, περιττός που πάντως ἐστὶν ὁ τοῦ εἰληφέναι τι λόγος.

[02963] Εἰ δὲ οὐκ εἶχεν, ὅπερ οὐκ ἦν ἐγένετο.

[02964] Τί οὖν ἦν πρὶν ταύτης [75.216] δέξασθαι καθ' ὑμᾶς;

[02965] Καὶ πάλιν·

[02966] Εἰ ὅτε ἐταπείνωσεν ἑαυτὸν εἰληφὼς ταῦτα φαίνεται ἐν οἷς νῦν ἐστιν, ἔστι δὲ Λόγος, σοφία, δύναμις, ἀλήθεια, φῶς, ζωὴ, ἀνάστασις, εἰκὼν τοῦ Πατρὸς, τούτων οὐδὲν ἦν πρὸ τῆς ταπεινώσεως.

[02967] Σκοπείτωσαν τοίνυν εἰς ὅσον αὐτοῖς δυσφημίας βάραθρον ὁ λόγος χωρεῖ·

[02968] εἰ γὰρ ἆθλον ὥσπερ καὶ μισθὸν τῆς ταπεινώσεως ταῦτ' ἔχει παρὰ Πατρὸς, φαίνεται δὲ οὐκ ἐν ἄλλῳ χρόνῳ ταπεινώσας ἑαυτὸν, ἀλλ' ὅτε γέγονεν ἄνθρωπος, ἀνεστραμμένην ὁρῶμεν τῶν πραγμάτων τὴν τάξιν.

[02969] Αἱ μὲν γὰρ θεῖαι Γραφαὶ τὴν ἐπιδημίαν τοῦ Θεοῦ Λόγου γεγενῆσθαι λέγουσιν ἐπὶ βελτιώσει τῆς σαρκὸς, καὶ ὅλης τῆς ἀνθρώπου φύσεως.

[02970] Εἰ δὲ Θεὸς, καὶ Υἱὸς, καὶ Ὑψηλὸς γέγονεν ἐν τῷ καιρῷ τῆς σαρκὸς, βελτιωθέντα μᾶλλον ὁρῶμεν ἢ βελτιώσαντα·

[02971] ὠφεληθέντα μᾶλλον ἢ ὠφελήσαντα.

[02972] Οὐκοῦν οὐδὲ δι' ἡμᾶς ἐπεδήμησεν ὁ τοῦ Θεοῦ Λόγος, ἀλλὰ δι' ἑαυτόν·

[02973] οὐδὲ τῆς ἡμετέρας ἕνεκα σωτηρίας τὴν σάρκα περιεβάλετο, ἀλλ' ἵνα βελτιωθῇ.

[02974] Πῶς οὖν οἱ προφῆται καὶ ἀπόστολοι Σωτῆρα καλοῦσιν αὐτόν;

[02975] Ἔδει γὰρ μᾶλλον βελτιωτὴν ἑαυτοῦ ὀνομάζειν ἢ τοῦτο.

[02976] Πῶς δὲ ὑπὲρ ἡμῶν ἀπέθανεν, ὁ τούτου μισθὸν τὸ εἶναι Θεὸς καὶ Υἱὸς εἰληφέναι λεγόμενος;

[02977] Εἰ δὲ τοῦτο φρονεῖν δυσσεβέστατον, οὐδὲν ἐξ ἀλλοιώσεως καὶ τροπῆς προσγέγονεν ἄρα τῷ Υἱῷ, ἀλλ' ἔστι τοῦτο φυσικῶς ὡς Υἱὸς, ὅπερ ἂν εἴη καὶ ὁ Πατήρ·

[02978] διὸ δὴ καὶ ὅμοιος.

[02979] ΑΛΛΟ.

[02980] Εἰ κατ' ἐκείνους οὐκ ἦν ὁ Υἱὸς, ἢ ἦν μὲν, ἐβελτιώθη δὲ ὕστερον τροπὴν ὑπομείνας τὴν εἰς τὸ ἄμεινον, ὅτε καὶ μορφὴν δούλου λαβὼν ἑαυτὸν ἐταπείνωσε (διὰ τοῦτο γὰρ αὐτὸν ὁ Θεὸς ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα), γέγονε δὲ τοῦτο ἐν ὑστέροις τοῦ αἰῶνος καιροῖς, ὅτε καὶ ἡ ἐν σαρκὶ παρουσία·

[02981] πῶς δι' αὐτοῦ γέγονε τὰ πάντα, πῶς δὲ ὁ Πατὴρ ἔχαιρεν ἐπ' αὐτῷ, οὔπω τὸ τέλειον ἔχοντι;

[02982] Τὸ γὰρ προσθήκης ἔτι δεόμενον ἀτελές.

[02983] Πῶς δὲ πάλιν ἐν ὑστέροις καιροῖς ἔλαβε τὸ προσκυνεῖσθαι, καὶ ἐξ ἀρχῆς τοῦτο ἔχων ἐφαίνετο;

[02984] Προσκυνεῖ γὰρ αὐτὸν Ἀβραὰμ ἐπὶ τῇ δρυΐ τῇ Μαμβρῇ, προσκυνεῖ καὶ Μωσῆς ἐν τῇ βάτῳ λέγοντα·

[02985] Ἐγώ εἰμι ὁ ὤν.

[02986] Πῶς δὲ, καθά φησιν ὁ Δανιὴλ, Μύριαι μυριάδες ἐλειτούργουν αὐτῷ;

[02987] Πῶς δὲ πάλιν ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου καθήμενος φαίνεται, καὶ ὑπὸ τῶν Σεραφὶμ δορυφορούμενος καὶ δοξολογούμενος;

[02988] Πῶς δὲ πάλιν αἱ ἐν τοῖς οὐρανοῖς δυνάμεις διὰ τοῦ Πνεύματος ἀκούουσαι·

[02989] Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ λέγουσαι·

[02990] Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;

[02991] Ἀντήκουον·

[02992] Κύριος τῶν δυνάμεων αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.

[02993] Οὐχ οὗτος γέγονε Κύριος τῶν δυνάμεων, ἀλλ' οὗτός ἐστιν ὁ πάλαι Κύριος τῶν δυνάμεων.

[02994] Εἰ δὲ τοῦτο ὢν φαίνεται ὃ δὴ καὶ νῦν ἐστι καὶ πρὸ τοῦ τῆς ἐπιδημίας καιροῦ, περιττὸν ἂν εἴη λέγειν, μᾶλλον δὲ κινδύνου μεστὸν, τροπῆς δεκτικὸν ὑπάρχειν τὸν Υἱόν·

[02995] ἢ προαιρέσεως ἀγαθῆς [75.217] ἐσχηκένα, μισθὸν τὴν υἱότητα, καὶ τὸ εἶναι σοφίαν, καὶ Λόγον, καὶ Θεόν.

[02996] Ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτος ὢν, ὅμοιός ἐστι κατὰ πάντα τῷ γεγεννηκότι.

[02997] ΑΛΛΟ, ὅτι οὐκ ἐξ ἀλλοιώσεως τῆς ἀπὸ τοῦ χεί ρονος ἐπὶ τὸ ἄμεινον, ὅμοιός ἐστιν ὁ Υἱὸς τῷ Πατρὶ, ἀλλὰ φυσικῶς.

[02998] Εἰ ἐν μορφῇ Θεοῦ ὑπάρχων ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, τοσοῦτον ἂν δόξειε τῆς κατὰ φύσιν ἀξίας ὑποβεβηκέναι, ὅπερ ἂν ὀφθείη κεῖσθαι μεταξὺ Θεοῦ καὶ ἀνθρώπου.

[02999] Οὐ γὰρ ἦν μὲν πρότερον ἄνθρωπος, γέγονε δὲ ὕστερον ὁ Θεὸς, ἀλλὰ Θεὸς ὢν γέγονεν ἄνθρωπος·

[03000] ἔχει τοίνυν οὐδὲν εἰς βελτίωσιν ἐκ τούτων ὁ τοῦ Θεοῦ Λόγος.

[03001] Εἰ δὲ ὑψοῦσθαι λέγεται, καὶ ἐν τάξει χαρίσματος τὸ ὑπὲρ πᾶν ὄνομα δέχεσθαι, εἰς ἐκεῖνο δηλονότι μετὰ σαρκὸς ἐπανάγεται, εἰς ὅπερ ἦν καὶ δίχα σαρκός.

[03002] Καὶ αὐτὸς δέ πού φησι·

[03003] Πάτερ, δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί.

[03004] Ποία δὲ ἦν ἡ πρὸ τοῦ κόσμου δόξα τοῦ Υἱοῦ;

[03005] Τὸ ἐν μορφῇ τοῦ Πατρὸς ὑπάρχειν.

[03006] Οὐδὲν ἄρα ἐστὶ τὸ ἐξ ἀλλοιώσεως καὶ τροπῆς τῆς ἐπὶ τὸ ἄμεινον προστεθὲν τῷ Υἱῷ, ἀλλ' ἡ ἐν χαρίσματος τάξει νῦν αὐτῷ διδομένη δόξα καὶ ὕψωσις, λύσις ἐστὶ τῆς μετὰ σαρκὸς ἀδοξίας, τὴν ἀπὸ τῆς τοῦ δούλου μορφῆς ἀτιμίαν ἐξαφανίζουσα.

[03007] Λέγεται δὲ δίδοσθαι ταῦτα παρὰ Πατρός.

[03008] Θεῷ γὰρ πάντα τὰ ὑπὲρ ἀνθρωπότητα διοικεῖν οἰκειότερον, οὐκ ἔξω τῆς τούτων οἰκονομίας ὑπάρχοντος τοῦ Υἱοῦ κατὰ τὴν τῆς θεότητος ἑνότητα, εἰ καὶ ἰδιαζόντως Υἱός ἐστιν ὡς πρὸς Πατέρα.

[03009] ΑΛΛΟ, εἰς τὸ αὐτό.

[03010] Εἰ καθ' ὑμᾶς, ὅτε ἐταπείνωσεν ἑαυτὸν, ὑπερυψώθη, διὰ τοῦτο καὶ ἐχαρίσθη αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, τουτέστι, κέκληται Θεὸς, καὶ διὰ τοῦτο ἐχρίσθη καὶ Υἱὸς ὠνομάσθη, πρὸ τῆς ταπεινώσεως ἀνάγκη λέγειν οὐκ εἶναι ταῦτα τὸν τοῦ Θεοῦ Λόγον·

[03011] οὐδὲ γὰρ ἂν δέξαιτό τις ὅπερ ἔχει καὶ μὴ λαβών.

[03012] Καὶ εἰ πρὸ τῶν τῆς ταπεινώσεως χρόνων εὑρίσκεται λέγων πρός τινας Θεός·

[03013] Ἐγὼ εἶπα·

[03014] Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου, πολλοὶ πρὸ αὐτοῦ φαίνονται γεγονότες υἱοὶ καὶ θεοί.

[03015] Πῶς οὖν ἀληθὲς ὅτι πάντα δι' αὐτοῦ ἐγένετο;

[03016] Πῶς δὲ αὐτός ἐστι πρὸ πάντων πολλοὺς ἔχων πρὸ αὐτοῦ;

[03017] Πῶς δὲ καὶ πρωτότοκος πάσης κτίσεως;

[03018] Καὶ εἰ πρὸς μίμησιν τοῦ κατὰ φύσιν Υἱοῦ τίθενται καὶ οἱ κατὰ χάριν, πῶς οὗτοι πρὸ τοῦ κατὰ φύσιν;

[03019] Καὶ εἰ τοῦ Υἱοῦ μετέχοντες υἱοποιούμεθα δι' αὐτοῦ, πῶς τὸ μετέχον πρῶτον ἔσται τοῦ μετεχομένου καὶ δι' οὗ γίνεται;

[03020] Πῶς δὲ οὐ κρείττων ὁ πρῶτος τούτου τυχὼν τοῦ πολλαῖς ὕστερον γενεαῖς;

[03021] Ἀλλὰ πολλὴν ἔχει ταῦτα τὴν ἀτοπίαν.

[03022] Οὐκοῦν ἄτρεπτός τε καὶ ἀναλλοίωτος ὁ Υἱὸς, οὐ κατὰ χάριν, οὐδὲ ἐκ προσθήκης ἔχων τὴν πρὸς τὸν Πατέρα ὁμοιότητα, ἀλλ' οὐσιωδῶς τε καὶ φυσικῶς.

[03023] [75.220] ΑΛΛΟ, εἰς τὸ αὐτό.

[03024] Εἰ καθάπερ τινὰ μισθὸν ἀρετῆς ἢ ταπεινώσεως ἢ ὑπακοῆς ἔχει τὸ εἶναι Υἱὸς ὁ τοῦ Θεοῦ Λόγος, κατὰ τίνα τρόπον πρὸ τῶν τῆς ταπεινώσεως χρόνων ἐπεγίνωσκόν τινες τὸν Πατέρα;

[03025] λέγοντος τοῦ Υἱοῦ·

[03026] Οὐδεὶς ἐπιγινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἂν Υἱὸς ἀποκαλύψῃ.

[03027] Μὴ ὄντος γὰρ κατ' ἐκείνους τοῦ ἀποκαλύπτοντος Υἱοῦ, πῶς ἐπιγνωσθείη παρά τινος ὁ Πατήρ, εἰ δὲ ἀεὶ Πατὴρ γνωρίζεται, ἦν ἄρα καὶ ἀεὶ ὁ ἀποκαλύπτων Υἱός.

[03028] Οὐκοῦν οὐκ ἐκ μεταβολῆς τινος, οὐδὲ ἐν προσθήκης μέρει φαίνεται λαβὼν τοῦθ' ὅπερ ἐστὶν, ἀλλ' ἦν ἀεὶ τοῦτο φυσικῶς, ὅμοιος ὢν καὶ κατὰ τὸ ἀπροσδεές τε καὶ τέλειον καὶ ἄτρεπτον τῷ Πατρί.

[03029] ΑΛΛΟ, σημαῖνον ὅτι ἐκ τῆς οὐσίας τοῦ Πατρός ἐστιν ὁ Υἱὸς, καὶ οὐκ ἔξωθεν, καθάπερ οἱ χρι στομάχοι φασίν.

[03030] Ἐπειδὴ δὲ οὐκ ἔξωθεν, ὅμοιος ἄρα.

[03031] Πρότασις ὡς ἐκ τῶν αἱρετικῶν.

[03032] Καὶ τί τὸ πλέον, φασὶν, ἐν Θεῷ;

[03033] Πῶς δὲ οὐκ ἔσται καθ' ἡμᾶς, εἰ καὶ αὐτὸς ἐκ τῆς οὐσίας τῆς ἑαυτοῦ τίκτει τὸν Υἱὸν, ὥσπερ καὶ ἡμεῖς;

[03034] Ἐπειδὴ δὲ ἄνω τῆς ἀνθρωπείας φύσεως τοσοῦτόν ἐστιν, ὅσον τῶν γενητῶν ὑπερέχει, οὐ τὰ ἡμῶν μιμήσεται·

[03035] οὐδὲ ὥσπερ τις τῶν καθ' ἡμᾶς ἐκ τῆς οὐσίας τῆς ἑαυτοῦ προβαλεῖ τὸν Υἱὸν, ἀλλ' ἔξωθεν ὑποστήσει.

[03036] Εἰ δὲ τοῦτο, καὶ ἀνόμοιος ἄρα.

[03037] Πρὸς ταῦτα λύσις.

[03038] Ἐροίμην ἂν δικαίως τοὺς χριστομάχους, εἰ παντάπασι τὴν πρὸς ἡμᾶς ὁμοίωσιν παραιτεῖται Θεὸς, καὶ κατ' οὐδένα τρόπον τὰ ἀνθρώπῳ προσήκοντα φορέσει.

[03039] Εἰ μὲν γὰρ ἐροῦσι μὴ πάντη τῶν ἡμετέρων ἀποφοιτᾷν τὴν θείαν οὐσίαν, ἕωλος αὐτοῖς ἡ πρότασις εὑρεθήσεται, λύσιν ἔχουσα τὴν αὐτῶν ὁμολογίαν.

[03040] Εἰ δὲ ἐπιμένουσιν ἀμαθῶς οἷς προτείνουσιν ἐνιστάμενοι, λεγέτωσαν ἡμῖν, εἰ μὴ ὁ ἄνθρωπος οὐσία ἐστί.

[03041] Καὶ πάλιν ἐπειδήπερ λογικὸς ὁ ἄνθρωπος, ἔστω Θεὸς κατ' ἐκείνους ἄλογος, ἵνα παραιτῆται τὰ ἀνθρώπινα.

[03042] Εἰ δὲ ἐν τούτοις ὄντων ἡμῶν, ἐν αὐτοῖς ἐστι καὶ Θεὸς, οὐ παραιτήσεται γεννᾷν ἐξ ἑαυτοῦ τὸν Υἱὸν, ἐπειδήπερ οὕτω τίκτομεν ἡμεῖς.

[03043] Ἔδει γὰρ μᾶλλον ἐννοεῖν ὅτι κατὰ μίμησιν τῆς θείας φύσεως οἱ κατ' εἰκόνα γεγονότες αὐτῆς, καὶ τοῦτο μετὰ τῶν ἄλλων κεκτήμεθα.

[03044] Ἐπειδὴ δὲ τέτοκεν ἐξ ἑαυτοῦ τὸν Υἱὸν, καὶ οὐκ ἔξωθεν ὑπεστήσατο, ἀνάγκη δοῦναι τὸ ὅμοιον αὐτῷ.

[03045] ΑΛΛΟ.

[03046] Ὡς ἐξ ἀντιθέσεως τῶν χριστομάχων.

[03047] Ἡμεῖς, φασὶν, ὥσπερ ὕλη τινὶ ταῖς ἐκ τῆς σωματικῆς φύσεως χορηγίαις ἀποκεχρημένοι, τίκτομεν ἐξ ἑαυτῶν τὰ γεννήματα·

[03048] κἄν τι τῶν ἔξωθεν κατασκευάζειν ἐθελήσωμεν, ὕλην λαβόντες τοῦτο ποιοῦμεν.

[03049] Θεὸς δὲ παντελῶς ἀσώματος ὢν, ὕλης μέν τινος ἐξ ἑαυτοῦ χορηγίαν οὐκ ἔχει, ἵνα τέκῃ τὸν Υἱὸν, δημιουργεῖ δὲ ἐξ οὐκ ὄντων.

[03050] Οὐκοῦν πάντα τὰ καθ' ἡμᾶς παραιτούμενος, οὔτε ἐξ ἑαυτοῦ προβάλλει τὸν [75.221] Υἱὸν, οὔτε ἐξ ὕλης προϋποκειμένης ἐργάζεταί τι τῶν ὄντων·

[03051] ἀλλ' ἔξωθεν τὰ πάντα πρὸς τὸ εἶναι καλεῖ σὺν Υἱῷ.

[03052] Εἰ δὲ τοῦτο, καὶ ἀνόμοιος ἄρα.

[03053] Πρὸς τοῦτο λύσις.

[03054] Καὶ πῶς ἡμῖν, ὦ γενναῖοι, μονογενὴς ὁ Υἱὸς εὑρεθήσεται, εἰ καὶ αὐτὸς ἔξωθεν ὥσπερ τὰ πάντα ἐστί;

[03055] Πῶς δὲ ὅλως Υἱὸς ὁ μὴ ἐκ τῆς οὐσίας ὑπάρχων τοῦ γεγεννηκότος;

[03056] Εἰ μὲν οὖν ἐνδέχεται καὶ τὰ ἐξ οὐκ ὄντων ἤτοι ἔξωθεν γεγονότα καλεῖσθαι καὶ εἶναι κατὰ φύσιν υἱοὺς, οὐδὲν, ὡς ἔοικε, κωλύσει πάντα τὰ πεποιημένα καλεῖσθαι γεννήματα.

[03057] Καὶ οὐκέτι μονογενὴς ὁ Υἱὸς, πολλοὺς ἔχων τοὺς ἀδελφοὺς κατὰ φύσιν.

[03058] Εἰ δὲ οὐκ ἐνδέχεται, μόνος δέ ἐστι μονογενὴς, ἐξηλλαγμένην ἄρα πάντη τὴν ὕπαρξιν ἔχει, οὐχ ὥσπερ ἐκεῖνα πρὸς τὸ εἶναι κεκλημένος, ἀλλ' ὡς Υἱὸς ἐκ Πατρὸς προελθὼν φυσικῶς, καὶ διὰ τοῦτο ὅμοιος.

[03059] ΑΛΛΟ.

[03060] Εἰ πάντα ἐξ οὐκ ὄντων ἐστὶ, καὶ μετὰ πάντων ὁ Υἱὸς, διὰ ποίαν αἰτίαν ὁ μὲν φύσει Κύριος, τὰ δὲ φύσει δοῦλα;

[03061] Ἢ γὰρ τὰ πάντα κυριότητι τῇ κατὰ φύσιν ἀμᾶσθαι δίκαιον τὴν αὐτὴν ἔχοντα γένεσιν τῷ Υἱῷ, ἢ καὶ αὐτὸν μετὰ πάντων ὡς δοῦλον εἶναί τε καὶ λέγεσθαι.

[03062] Νῦν δὲ οὐχ ὁρῶμεν τοῦτο κηρύττουσαν τὴν θείαν Γραφήν.

[03063] Ἀλλὰ Κύριον μὲν κατὰ φύσιν οἶδε τὸν Υἱὸν, δοῦλα δὲ τὰ ποιήματα, λέγουσα, ὅτι Τὰ σύμπαντα δοῦλα σά.

[03064] Καὶ πάλιν, μετὰ Πατρὸς ὑμνούμενον καὶ σπουδαζόμενον αὐτῷ τὸν Υἱὸν εἰσφέρει, τὴν κτίσιν δὲ δοξολογοῦσαν.

[03065] Οὐκ ἄρα τοῖς πᾶσιν ἴσος ἐστὶν, οὐδὲ ἔξωθεν, ὥσπερ ἐκεῖνα, ἀλλ' ὁ μὲν Υἱὸς κατὰ φύσιν, τὰ δὲ δοῦλα καὶ ποιήματα.

[03066] Οὕτω δὲ ἔχοντα τὸν Υἱὸν, τί τὸ κωλύον ὅμοιον εἶναι τῷ Πατρί;

[03067] ΑΛΛΟ.

[03068] Ἀγνοοῦσιν, ὡς ἔοικεν, αἱ λογισμοῖς ἀσυνέτοις ἐπερειδόμενοι, καὶ ψόφῳ διακένων ῥημάτων ἢ ταῖς ἀκριβείαις τῶν θεωρημάτων ἐπικομπάζοντες, ὅτι τὸ ὄντως ὂν καὶ κατ' οὐσίαν τίκτειν δυνάμενον, τὸ θεῖόν ἐστιν.

[03069] Αὐτὸ γὰρ δὴ περὶ ἑαυτοῦ φησιν·

[03070] Ἐγώ εἰμι ὁ ὢν, ὡς τῶν ἄλλων ἁπάντων, οὐκ ὄντων μὲν πρὶν γενέσθαι, βουλήσει δὲ θείᾳ πρὸς τὸ εἶναι παρενεχθέντων.

[03071] Οὐκοῦν τὸ ὄντως ὂν, ᾧ καὶ τὸ εἶναι κυριώτατον ὄνομα, αὐτὸ δὴ καὶ μόνον κατ' οὐσίαν γεννήσει.

[03072] Τὰ γὰρ ἄλλα ποιήματα, ἄνθρωποι τυχὸν, βουλήσει μᾶλλον Θεοῦ πρὸς τὸ δύνασθαι τίκτειν ἐκλήθησαν, ἢ κατ' ἰδίαν οὐσίαν τοῦτο ποιοῦσι.

[03073] Θεῖος γάρ τις ἀναγκάζει νόμος τίκτειν καὶ τὸ μὴ τίκτειν πεφυκός.

[03074] Ἐπειδὴ γὰρ οὕτως ἠθέλησεν ὁ Δημιουργὸς, οὕτω καὶ γέγονεν.

[03075] Εἰ γὰρ κατ' οὐσίαν ἰδίως τε καὶ κυρίως ἔχει τὸ τίκτειν τὰ ποιήματα, διατί μὴ πάντα δύναται τίκτειν;

[03076] Ἐπειδὴ δὲ τίκτει τινὰ, δηλονότι τὰ κεκελευσμένα, πρόδηλον δήπουθεν ὡς οὐ κατὰ φύσιν τοσοῦτον τοῖς ποιήμασιν [75.224] ἐνυπάρχειν τὸ γεννᾷν, ὅσον ἐκ τοῦ κελεύοντος καὶ ἀναγκάζοντος νόμου, ὃν ἑκάστῳ τῶν ὄντων ἐπέθηκεν ὁ Δημιουργός.

[03077] Οὐκοῦν τὸ κυρίως τίκτον ἐξ ἑαυτοῦ, τὸ Θεῖόν ἐστιν·

[03078] ἡμεῖς δὲ κατὰ μίμησιν τὴν ἐκείνου.

[03079] Εἶτα πῶς οὐκ ἄτοπον τὸ μὲν κατὰ μίμησιν τίκτειν ἐξ ἑαυτοῦ, τὸ δὲ ἀρχέτυπον πρὸς ὃ καὶ μεμόρφωται, μὴ ἐξ ἑαυτοῦ μᾶλλον, ἀλλ' ἔξωθεν ἔχειν τὸ γεννᾷν;

[03080] Φανερᾶς τοιγαροῦν ἐντεῦθεν τῆς ἀληθείας γεγενημένης, οὐδὲν τὸν Πατέρα κωλύσει γεννᾷν τὸν Υἱὸν ἐξ ἑαυτοῦ.

[03081] Εἰ δὲ τοῦτο, καὶ ὅμοιος ἔσται κατὰ πάντα αὐτῷ, τῆς τοῦ Πατρὸς ἰδιότητος φυσικῶς τρεχούσης ἐπὶ τὸν Υἱόν.

[03082] ΑΛΛΟ, περὶ ὁμοιότητος τῆς τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα.

[03083] Ἀντίθεσις ὡς ἐκ τῶν δι' ἐναντίας.

[03084] Εἰ οὐδεὶς, φασὶν, ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεὸς, κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνὴν, φαίνεται δὲ καὶ τὸ οἰκεῖον πρόσωπον τῆς κατὰ φύσιν ἀγαθότητος ἔξω τιθεὶς, Τί γάρ με φῂς ἀγαθόν;

[03085] πρὸς τὸν Γραμματέα λέγει, κατὰ τίνα τρόπον ὅμοιος ἔσται τῷ κατὰ φύσιν ἀγαθῷ Πατρὶ ὁ μὴ τοιοῦτος Υἱός;

[03086] Πρὸς ταῦτα λύσις.

[03087] Ἀνόμοιον εἶναί φασιν οἱ χριστόμαχοι τὸν Υἱὸν τῷ Πατρὶ, τὸν ἐπηρτημένον τῷ λόγῳ κίνδυνον μηδόλως θεωροῦντες, ἢ θεωροῦντες μὲν, ἐν δὲ τοῖς οὕτω μεγάλοις πράγμασι παίζοντες μᾶλλον ἢ τῆς ἀληθείας ὄντες ἐξετασταί.

[03088] Εἰ γὰρ ἀνόμοιος, κατ' ἐκείνους, ἐστὶν ὁ Υἱὸς τῷ Πατρὶ, λεγέτωσαν ἡμῖν τίνα ποτὲ ἐροῦσι τὸν ἀγαθὸν κατὰ φύσιν·

[03089] τὸν Πατέρα ἢ τὸν Υἱόν;

[03090] Εἰ μὲν οὖν τῷ Πατρὶ τὴν ἐπὶ τούτῳ ψῆφον ἀπονέμουσιν, ἀνάγκη πᾶσα μὴ εἶναι ἀγαθὸν τὸν τῷ Πατρὶ μὴ προσεοικότα.

[03091] Εἰ δὲ τοῦτο μὲν παραιτήσονται λέγειν, μεταθήσουσι δὲ ἐπὶ τὸν Υἱὸν τὸ οὐσιωδῶς ἀγαθὸν, ἐξ ἀνάγκης πάλιν συνελαθήσονται πρὸς τὸ χρῆναι λέγειν οὐκ εἶναι τὸν Πατέρα ἀγαθὸν, εἴ γε τῆς πρὸς τὸν Υἱὸν ὁμοιότητος ἀποφοιτᾷ.

[03092] Ἐπειδὴ δὲ λίαν ἐστὶν ἀτοπώτατον ἢ κατὰ τοῦ Πατρὸς ἢ κατὰ τοῦ Υἱοῦ τὴν τοιαύτην φθέγξασθαι δυσφημίαν (ἀγαθοῦ γὰρ ὄντος τοῦ Πατρὸς, ἀγαθὸς ἔσται πάντως καὶ ὁ ἐκ τῆς οὐσίας αὐτοῦ προελθὼν Υἱὸς), οὐκ ἔσται κατά τι γοῦν ἀνόμοιος τῷ Πατρὶ, εἴπερ τὸ ἀγαθὸν προσεοικέναι πάντως ἀνάγκη τῷ ἀγαθῷ.

[03093] Ἀνθυποφορὰ ὡς ἐκ τῶν χριστομάχων.

[03094] Κατὰ τοῦτο, φασὶν, ὁμολογοῦμεν ὅμοιον εἶναι τὸν Υἱὸν τῷ Πατρὶ, οὐχ ὅτι πάντως τὴν οὐσιώδη καὶ φυσικὴν ἔχει πρὸς αὐτὸν ὁμοιότητα, ἀλλ' ὅτι διὰ τὸ θελῆσαι μόνον τὸν Πατέρα τοιοῦτον ὑποστῆσαι τὸν Υἱὸν ὁποῖός ἐστιν αὐτὸς, τὴν πρὸς αὐτὸν ὁμοίωσιν ἔχει.

[03095] Ὥσπερ οὖν ἀμέλει καὶ οἶκος εἰς εἶδός τι καὶ σχῆμα μεταπεποιημένος ὥσπερ εἰκών ἐστι τῆς τοῦ δημιουργήσαντος ἐννοίας·

[03096] διὰ μὲν τὴν ὕλην ἕτερος ὢν ὡς πρὸς αὐτὸν, διὰ δὲ τὸ οὕτω πεποιῆσθαι ὡς ἐπενόησε προσεοικὼς αὐτοῦ τῇ διανοίᾳ.

[03097] Πρὸς ταῦτα λύσις.

[03098] Γέλωτος ἀξία, μᾶλλον δὲ ὀδυρμῶν ἡ τοῦ λόγου κα [75.225] τασκευή.

[03099] Τίς γὰρ τῶν εὖ φρονούντων οὐκ ἂν εἰκότως ἐπιστυγνάσαι τοῖς εἰς τοσαύτην ἐμπεπτωκόσιν ἀμαθίαν;

[03100] Τίς δὲ οὐ θρηνήσαι τοὺς εἰς τοσαύτην ὀλισθήσαντας ἀβουλίαν;

[03101] Εἰ γὰρ ἀνόμοιός ἐστι κατ' οὐσίαν ὁ Υἱὸς τῷ Πατρὶ, ὅμοιος δὲ κατὰ τὸ εἶδος, πρῶτον μὲν ἀνάγκη λέγειν ἐκ διαφόρων συγκεῖσθαι τὸν Υἱὸν, καὶ τοῦτο, ἀλλήλοις πολὺ μαχομένων καὶ ἐναντίως ἐχόντων, τοῦ ὁμοίου, φημὶ, καὶ τοῦ ἀνομοίου·

[03102] ἅπερ ἀλλήλοις καθ' ἕν τι τὸ ὑποκείμενον ἄμικτά τέ ἐστι καὶ ἀσύμβατα.

[03103] Καὶ εἰ κατά τι προσεοικὼς, οὐχ ὅλος ἐστὶ φῶς, ἀλλ' οὐδὲ ὅλος ἀλήθεια, οὐδὲ φύσει Θεός.

[03104] Εἶτα πρὸς τούτῳ καὶ εἰς αὐτὸν διαβήσεται τὸν γεγεννηκότα τῆς δυσφημίας τὸ βάρος.

[03105] Ἔσται γὰρ ἡμῖν σύνθετος καὶ αὐτὸς ὁ Πατὴρ ἔκ τε οὐσίας καὶ νοήματος, εἴπερ κατὰ μὲν τὸν τῆς οὐσίας λόγον ἀνόμοιός ἐστι τῷ Υἱῷ, ὅμοιος δὲ κατὰ τὴν ἔννοιαν.

[03106] Πῶς οὖν ὁ Πατὴρ εὑρεθήσεται τῶν πάντων ἀρχὴ, σύνθετος ὢν καθ' ὑμᾶς καὶ οὐχ ἁπλοῦς;

[03107] Καίτοι τῆς ἀρχῆς οὐδὲν προεπινοεῖσθαι δύναται.

[03108] Μηδενὸς δὲ προεπινοουμένου τῆς ἀρχῆς, οὐδαμόθεν αὐτῇ τὸ σύνθετον προσγενήσεται.

[03109] Ἐπείπερ τὰ σύνθετα σύνοδός τις τῶν ἁπλῶν ἐργάζεται.

[03110] Πανταχόθεν τοιγαροῦν ὁρωμένης τῆς ἐν τούτοις ἀτοπίας, σαθροτάτη μὲν ἔσται τοῖς χριστομάχοις ἡ πρότασις.

[03111] Ἀναιρεθείσης δὲ τῆς ἐν τούτοις δυσφημίας, ὅμοιος ἔσται κατ' οὐσίαν ὁ Υἱὸς τῷ Πατρὶ, οὐδαμόθεν τῆς πρὸς αὐτὸν φυσικῆς ὁμοιότητος ἐξωθούμενος.

[03112] ΑΛΛΟ.

[03113] Εἰ μὴ κατ' οὐσίαν ὅμοιός ἐστιν ὁ Υἱὸς τῷ Πατρὶ, μόνης δὲ τῆς ἐννοίας αὐτοῦ χαρακτὴρ ὥσπερ τις καὶ εἰκὼν, τελείαν ἔχειν πρὸς αὐτὸν ὁμοιότητα οὐ δύναται·

[03114] ἐπειδὴ καὶ ἡμεῖς κατ' εἰκόνα γεγονότες τοῦ Δημιουργοῦ, τότε μάλιστα τοῦτο φαινόμεθα σώζοντες, ὅτε τῆς θειότητος αὐτοῦ μέτοχοι γινόμενοι διὰ τοῦ ἐνοικοῦντος ἡμῖν ἁγίου Πνεύματος, πρὸς τὴν θείαν μορφούμεθα φύσιν.

[03115] Καὶ γοῦν οἱ μήπω μετασχόντες αὐτοῦ, οὔπω σύμμορφοι καθεστήκασι τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ.

[03116] Εἰ τοίνυν φυσικὴ μὲν ὁμοιότης οὐδεμία τοῦ Πατρὸς ἐν Υἱῷ, μόνοι δὲ τῆς ἐννοίας οἱ χαρακτῆρες ἐμφαίνονται, οὐχ ἕξει τὸ τελείως ὅμοιον, ὅπερ ἐστὶ καὶ μόνον, ἐννοεῖν ἀπίθανον.

[03117] Πῶς γάρ ἐστιν ἴσα Θεῷ;

[03118] Εἰ δὲ τοῦτο ἄτοπον, κρατήσει ἄρα τὸ ἕτερον, ὅπερ ἐστὶ καὶ ἀληθέστερον·

[03119] ὅτι τῆς τοῦ Πατρὸς οὐσίας αὐτὸ δὴ τὸ ἴδιον ὑπάρχων ὁ Υἱὸς, ὅμοιος ἔσται καὶ κατ' οὐσίαν αὐτῷ.

[03120] Ἀπόδειξις ἀπὸ τῆς θείας Γραφῆς, ὅτιπερ ἐκ μετ οχῆς τῆς πρὸς τὸ θεῖον, κατ' εἰκόνα τὴν πρὸς αὐτὸν μορφούμεθα.

[03121] Οὐ γὰρ ἐξήρκεσε τῇ αὐτοῦ ἀνθρώπου κατασκευῇ, πρὸς τὸ φαίνεσθαι καὶ γενέσθαι εἰκόνα τοῦ πεποιηκότος, τὸ ἐν μόναις ἐννοίαις, τὸν περὶ αὐτοῦ κεῖσθαι λόγον.

[03122] Λέγει που Παῦλος·

[03123] Εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ.

[03124] Ἀλλ' εἴπερ ἐξήρκει καὶ δίχα τῆς τοῦ Πνεύματος μετοχῆς κατ' εἰκόνα φαίνε [75.228] σθαι Θεοῦ τὸν ἄνθρωπον, πάντες ἂν ἦμεν Χριστοῦ, καὶ Πνεύματος ὄντες ἀμέτοχοι.

[03125] Φησί που πάλιν ὁ μακάριος Ἰωάννης·

[03126] Ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ, ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ.

[03127] Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν ἐκ τοῦ Πνεύματος οὗ ἔδωκεν ἡμῖν.

[03128] Οὐκοῦν εἰ τὸ φυλάττειν τὴν δοθεῖσαν ἐντολὴν πρόξενον ἡμῖν τῆς τοῦ Πνεύματος μετουσίας εὑρίσκεται, μέτοχοι δὲ γεγονότες τοῦ Πνεύματος, πρὸς τὴν τοῦ πεποιηκότος εἰκόνα μορφούμεθα, πρόδηλον δήπουθεν ὅτι τὴν πρὸς Θεὸν ὁμοίωσιν ἔχειν ἀδύνατον τὸν μὴ μετέχοντά πως τῆς αὐτοῦ φύσεως.

[03129] Καὶ πάλιν ἀνανεῶν εἰς τὸ κατ' εἰκόνα τὸν ἄνθρωπον ὁ Σωτὴρ, ἐνεφύσησε τοῖς μαθηταῖς λέγων·

[03130] Λάβετε Πνεῦμα ἅγιον.

[03131] Ὅπερ οὖν ἡ ἀνακαίνησις ἔχει, τοῦτο κεκτῆσθαι πάντως καὶ τὴν ἀρχαιότητα προσήκει νοεῖν.

[03132] Οὐκοῦν τελείωσιν ἐξεικονισμοῦ πρὸς τὴν θείαν οὐσίαν ἡ τοῦ Πνεύματος μετοχὴ τῷ ἀνθρώπῳ χαρίζεται, οὐχ ἁπλῶς τὸ ἐν μόναις ἐννοίαις Θεοῦ διαπλασθῆναι τοιοῦτον ὁποῖός ἐστιν αὐτός.

[03133] Εἰ δὲ τὸ Πνεῦμα τοῦ Υἱοῦ λαμβάνοντες πρὸς Θεὸν μορφούμεθα, πῶς ἀνόμοιος ἔσται τῷ Πατρὶ ὁ Υἱὸς ὁ τὸ μορφοῦσθαι πρὸς ἐκεῖνον καὶ ἡμῖν δι' ἑαυτοῦ δωρούμενος;

[03134] Πρότασις ὡς ἐκ τῶν δι' ἐναντίας.

[03135] Ἀκοινώνητος, φασὶ, καὶ οὐ μεθεκτὸς ἡμῖν ὁ Πατὴρ δι' ἑαυτοῦ, διὰ τὴν ὑπερβολὴν καὶ τὴν ἄκραν ὥσπερ καὶ ἀχώρητον τῇ ἀνθρωπείᾳ φύσει τῆς θεότητος μετάληψιν.

[03136] Χωρεῖται δὲ καὶ ἐν ἡμῖν γίνεται δι' Υἱοῦ, ὡς δι' ἐλάττονος δηλαδή.

[03137] Πῶς οὖν ὅμοιος ἔσται τῷ Πατρὶ, χωρητὸς ὢν ἐν ἡμῖν τοῖς ἐκεῖνον οὐ δυναμένοις χωρεῖν;

[03138] Πρὸς τοῦτο ἀνθυποφορὰ ἤτοι λύσις.

[03139] Μεθύουσι πάλιν ταῖς ἀβουλίαις οἱ θεομάχοι, μὴ εἰδότες, ὡς φαίνεται, μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται.

[03140] Εἰ γὰρ, καθάπερ ὑμεῖς φατε, πάντα μεγάλα καὶ ὑπερφυῆ τὰ ἐν τῷ Πατρὶ, ἀνάγκη δοῦναι τοιαύτην καὶ τὴν ἐνυπάρχουσαν αὐτῷ ἀγαθότητα.

[03141] Πῶς οὖν ὁ εἰς ἄκρον ἀγαθὸς, ἀχώρητος ἔσται τοῖς ἀγαθότητος δεομένοις;

[03142] Πῶς δὲ ὅλως ἀγαθὸς ὁ ταῖς ὑπὲρ τὴν κτίσιν ὑπερβολαῖς ἀποκλείων ἅπασι τὸ μετασχεῖν αὐτοῦ;

[03143] Χρὴ γὰρ δήπουθεν, ὃ δὴ καὶ ἀληθὲς ὂν φαίνεται, τὸν ἅπαξ ἀγαθὸν, ἀναλογοῦσαν αὐτοῦ τοῖς πᾶσι προθεῖναι τὴν ἀγαθότητα, καὶ εἰς ἀπόλαυσιν τοῖς αὐτῆς δεομένοις ἑτοίμην ἐξαπλοῦν.

[03144] Ἀλλ' ἤδη καὶ τοῦτο ποιῶν φαίνεται, δι' ὧν καὶ ἐνοικήσειν ἐν ἡμῖν ἐπαγγέλλεται καὶ ἐμπεριπατήσειν, καὶ υἱοὺς ἀποδεικνύει.

[03145] Οὐκοῦν ἕωλος τοῖς ἀθέοις ἡ πρότασις.

[03146] Φαίνεται γὰρ οὐ δι' ὑπερβολὴν καὶ μεγαλοφυΐαν, εἰς ἀγριότητα Θεὸς ἀποκλίνων·

[03147] ἀλλὰ μᾶλλον τοσοῦτος ὑπάρχων εἰς ἡμερότητα ὅσῳ μεγάλα τὰ αὐτοῦ.

[03148] Ὧν ἓν δὴ τὸ κάλλιστόν ἐστιν ἡ ἀγαθότης, φθάνουσα δι' Υἱοῦ, καθά φησιν αὐτὸς, ἐπὶ πονηρούς τε καὶ ἀγαθοὺς, καὶ μηδενὶ τὸ παράπαν ἀποκλείουσα τὸ μετασχεῖν αὐτῆς.

[03149] Μετοχὴ δὲ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι κυρίως τε [75.229] καὶ πρεπόντως ἂν γένοιτο.

[03150] Ὥσπερ οὖν καὶ ἡλίου μετέχομεν διὰ τῆς ἐξ αὐτοῦ τικτομένης αὐγῆς, οὐ δίχα θερμότητος ἢ τῆς τοῦ Πνεύματος ἐνεργείας εἰκόνα φέρει.

[03151] Ὥσπερ οὖν τῷ ἡλίῳ οὐκ ἄν τις ἀνόμοιον εἶναι λέγοι τὸ ἐξ αὐτοῦ πεμπόμενον φῶς ἤτοι τὴν θερμότητα, διὰ τὸ μετὰ τούτων εἶναι μεθεκτὸν, οὕτως οὐδὲν ἀναγκάσει τὸν Υἱὸν ἀνόμοιον εἶναι τῷ Πατρὶ τὸ δι' αὐτοῦ μετέχεσθαι τὸν Πατέρα.

[03152] Μᾶλλον δὲ ὅμοιον ὄντα κατὰ πάντα δεικνύει.

[03153] Ὅπου γὰρ Υἱοῦ μετέχοντες, τῆς τοῦ Πατρὸς μετουσίας οὐκ ἐστερήμεθα, πῶς οὐκ ἔσται ταυτότης οὐσίας Πατρὸς καὶ Υἱοῦ;

[03154] Ὅπου δὲ οὐσίας ταυτότης, ποῖον ἕξει τόπον ἡ ἀνομοιότης;

[03155] Λεγέτωσαν οἱ χριστομάχοι.

[03156] Ἀντίθεσις ὡς ἐκ τῶν αἱρετικῶν.

[03157] Καὶ πῶς ἂν εἴη, φασὶ, κατὰ τὸν τῆς οὐσίας λόγον ὅμοιος τῷ Πατρὶ ὁ Υἱὸς, ὅς γε τοσοῦτον ἐλάττων φαίνεται, ὡς μηδὲ ὁρᾷν αὐτόν;

[03158] Καὶ τοῦτο γὰρ αὐτός που διαμαρτύρεται λέγων·

[03159] Θεὸν οὐδεὶς ἑώρακε πώποτε·

[03160] ὁ μονογενὴς Θεὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο.

[03161] Εἰ τοίνυν ἀθεώρητον τοῖς πᾶσι τὸν Πατέρα φησὶν ὁ Υἱὸς, ἐν δὲ τοῖς πᾶσι καὶ αὐτὸς, πῶς ἂν εἴη κατὰ τὴν οὐσίαν ὅμοιος ὁ τοσοῦτον ἡττώμενος;

[03162] Πρὸς τοῦτο λύσις.

[03163] Καὶ πῶς οὐκ ἄντικρυς αὐτῇ μαχόμενοι τῇ ἀληθείᾳ φανεῖσθε, καὶ πάσαις ὁμοῦ ταῖς θείαις Γραφαῖς ἀντιπίπτοντες, μηδὲ αὐτῷ λέγοντες ὁρᾶσθαι τῷ Υἱῷ τὸν Πατέρα, κεκρύφθαι δὲ τὴν τοῦ Μονογενοῦς αὐτοπρόσωπον θέαν;

[03164] καίτοι καὶ αὐτοῦ διαῤῥήδην βοῶντος οὐχ ὅτι τὸν Πατέρα ἑώρακέ τις, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν Πατέρα.

[03165] Πῶς δὲ εἰ μὴ κατάληπτός ἐστιν ὁ Πατὴρ τῷ Υἱῷ, καὶ ἡμῖν αὐτὸν ἐπιδεικνύει, λέγων·

[03166] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα;

[03167] Πῶς δὲ τὸ Πνεῦμα αὐτοῦ πάντα ἐπίσταται καὶ τὰ βάθη τοῦ Θεοῦ, καθάπερ καὶ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὰ ἐν αὐτῷ;

[03168] Πῶς δὲ πάλιν οἱ κατ' οὐρανὸν ἄγγελοι ὡς τὸ τούτου πρόσωπον θεωροῦντες ἀνεγράφησαν, εἰ μηδὲ τῷ Υἱῷ τοῦτο ὑπάρχει, καθ' ὑμᾶς;

[03169] Ἢ πῶς οὐκ ἀληθεύσει, λέγων·

[03170] Καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα;

[03171] Καὶ πάλιν·

[03172] Οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν, εἰ μὴ ὁ Πατὴρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι;

[03173] Ὁ τοίνυν μὴ μόνον εἰδὼς, ἀλλὰ καὶ ἀποκαλύπτειν ἑτέροις τὸν Πατέρα δυνάμενος, πῶς αὐτὸν οὐχ ὁρᾷ;

[03174] Πῶς δὲ οὐκ οἶδεν ὁ ἐξ ὧν ἐστιν αὐτὸς εἰδὼς τὸν Πατέρα, καὶ λέγων πρὸς αὐτόν·

[03175] Τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά;

[03176] Ὥσπερ οὖν, εἴπερ ἦν ἀθεώρητος αὐτῷ, καθ' ὑμᾶς, ὁ Πατὴρ, οὐκ ἂν ἦν αὐτῷ κατ' οὐσίαν ὅμοιος, οὕτως ἐπειδήπερ ὁρᾷ καὶ γινώσκει τὸν Πατέρα, ἔσται πάντως αὐτῷ κατὰ πάντα προσεοικὼς, καὶ διαψεύσεται πάλιν τῆς παρ' ὑμῶν συκοφαντίας ὁ λόγος.

[03177] Ἀνθυποφορὰ ὡς ἐκ τῶν αἱρετικῶν.

[03178] Κατὰ τοῦτο, φασὶ, μόνον ὅμοιον εἶναι δώσομεν τὸν [75.232] Υἱὸν τῷ Πατρὶ, καθὸ πλουσίως αὐτοῦ μετεσχηκὼς, πεποίηται τρόπον τινὰ καὶ μεμόρφωται πρὸς αὐτόν.

[03179] Ὥσπερ οὖν καὶ ἡμεῖς, κατὰ τὸ ἐφικτὸν ἀνθρώποις, κοινωνοὶ τῆς θείας γενόμενοι φύσεως, καθὼς γέγραπται, τὴν εἰκόνα τοῦ ἐπουρανίου λαμβάνομεν, καὶ πρὸς τοὺς θείους ὥσπερ χαρακτῆρας μορφούμεθα.

[03180] Πρὸς ταῦτα λύσις.

[03181] Καὶ τίς ἂν, εἰπέ μοι, τῶν τὰς θείας ἀνεγνωκότων Γραφὰς, τῆς τοσαύτης ὑμῶν φλυαρίας ἀνάσχοιτο;

[03182] Οἱ μὲν γὰρ θεῖοι κηρύττουσι λόγοι πρόσφατον οὐκ εἶναι Θεὸν ἐν ἡμῖν, ὑμεῖς δὲ τοῖς ἀπὸ τοῦ Πνεύματος λαλουμένοις ῥιψοκινδύνως ἀντιτείνοντες, πρόσφατον ἡμῖν, καὶ ἵν' οὕτως εἴπωμεν, ἀρτιγενῆ Θεὸν εἰσφέροντες τὸν Υἱὸν οὐκ αἰσχύνεσθε.

[03183] Τὸ γὰρ ἐκ μετοχῆς καὶ μεταλήψεως τῆς περὶ τὸ θεῖον ὡς πρὸς αὐτὸν πεποιημένον τε καὶ μεμορφωμένον, ἐπίκτητον ἔχει καὶ προσγεγονὸς τοῦθ' ὅπερ ἂν αὐτῷ διὰ τῆς μετοχῆς ἐνυπάρξαι.

[03184] Τὸ δέ τι προσειληφὸς, ἀνάγκη συνομολογεῖν, ἐκ τοῦ μὴ οὕτως ἔχοντος ἐξ ἀρχῆς, εἰς ἕτερόν τι μεταχωρεῖν.

[03185] Τοῦτο δέ ἐστι συμβεβηκός.

[03186] Καὶ πῶς οὐ ῥᾴδιον ἀποβαλεῖν, ὅπερ ἄν τις προσλάβοι;

[03187] Τὸ γὰρ ὅλως δοτὸν, καὶ ἀφαιρετόν·

[03188] καὶ τὸ ἐπίκτητον, ἔσται δηλαδὴ καὶ ἀπόβλητον.

[03189] Ἢ τοίνυν λεγέτωσαν δύνασθαι μεταπίπτειν τὸν Υἱὸν ἔκ τε τοῦ εἶναι Θεὸν, καὶ Κύριον, καὶ Υἱόν·

[03190] ἢ εἰ τοῦτο ἀποναρκήσουσιν εἰπεῖν, συγχωρήσουσι δὲ μᾶλλον ἐν ἀδιαπτώτῳ μακαριότητι τοῦ Υἱοῦ τὴν οὐσίαν ἑστάναι, παραιτείσθωσαν καὶ τὸ ἐκ μετοχῆς τῆς πρὸς τὸν Πατέρα μεμορφῶσθαι νομίζειν αὐτόν·

[03191] φυσικὴν δὲ μᾶλλον καὶ οὐσιώδη τὴν ὁμοίωσιν ἀποσωζέτωσαν τῷ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς προελθόντι Λόγῳ.

[03192] ΑΛΛΟ.

[03193] Τὰ ἐκ μετοχῆς τοῦ ἁγιάζειν πεφυκότος Θεοῦ πρὸς ἁγιασμὸν κεκλημένα, σώζει μὲν διὰ νήψεως ἐν ἑαυτοῖς τὸ δοθὲν, ἕτερον δὲ μεταδοῦναι τῆς ἐντεθείσης αὐτοῖς ἁγιότητος, οὐ δύναται.

[03194] Οὐδεὶς γὰρ ἀνθρώπων ἐκ μετοχῆς τὸ Πνεῦμα λαβὼν, ἑτέρῳ τοῦτο χορηγήσει πώποτε, ἐπεὶ καὶ αὐτὸς κεκόμισται παρὰ Θεοῦ·

[03195] μόνῃ δὲ ἁρμόσει τῇ τῆς ἁγιότητος πηγῇ, χορηγεῖν ἐξ ἑαυτῆς οἷς ἂν βούληται τὸν ἁγιασμόν.

[03196] Καὶ γοῦν οἱ κατ' οὐρανὸν ὄντες ἄγγελοι, ἅγιοι μέν εἰσιν ἐκ μετοχῆς καὶ μεταλήψεως τῆς τοῦ ἁγίου Θεοῦ·

[03197] ἁγιότητα δὲ δεδωκότες ἀνθρώποις οὐ φανοῦνται πώποτε.

[03198] Ὁμοίως καὶ ὁ μακάριος Μωσῆς προβληθέντων ἑβδομήκοντα πρεσβυτέρων διὰ τὰς ἀπαραιτήτους χρείας τῆς συναγωγῆς, οὐκ αὐτὸς ἐδίδου τὸ Πνεῦμα, ἀλλὰ Θεὸς ἀφῃρεῖτο, καθὰ γέγραπται, ἀπὸ τοῦ ὄντος ἐν αὐτῷ, καὶ ἐνετίθει τοῖς προκεχειρισμένοις.

[03199] Οὐκοῦν τοῖς ἐκ μετοχῆς ἁγίοις, φορεῖν μὲν ἔξεστι τὴν δοθεῖσαν ἀπὸ Θεοῦ χάριν·

[03200] διδόναι δὲ ἑτέροις, οὐδαμῶς.

[03201] Ὁ δὲ Υἱὸς, οὐχ οὕτως·

[03202] ὡς γὰρ ἁγιότητος ὑπάρχων πηγὴ τοὺς μαθητὰς ἁγιάζει, λέγων·

[03203] Λάβετε Πνεῦμα ἅγιον.

[03204] Τοῦτο δὲ ποιῶν καὶ ὁ Πατὴρ φαίνεται·

[03205] ὁ δὲ τὴν ἴσην ἔχων τῷ Πατρὶ κατὰ τὴν τοῦ ἁγιάζειν [75.233] ἐξουσίαν τε καὶ δύναμιν, πῶς οὐκ ἀληθινὴν ἔχει τὴν πρὸς αὐτὸν ὁμοιότητα;

[03206] ΛΟΓΟΣ ΙΔʹ.

[03207] Ἔτι περὶ ὁμοιότητος, προκειμένου ῥητοῦ·

[03208] Ὥσπερ γὰρ ὁ Πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ.

[03209] Τὸ δὲ συναγόμενον ἐκ τῶν συλλογισμῶν, ὅτι ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, ὥσπερ καὶ ὁ Πατὴρ, καὶ διὰ τοῦτο ὅμοιος.

[03210] Πρότασις ὡς ἐκ τῶν Ἀρειανῶν.

[03211] Καὶ πῶς ἂν δύναιτο, φασὶ, κατ' οὐσίαν ὅμοιος εἶναι τῷ Πατρὶ ὁ Υἱός;

[03212] Ἢ πῶς οὐκ ἔσται μετ' αὐτὸν ὁ ἐξ αὐτοῦ δεχόμενός τι, καθά φησιν αὐτός·

[03213] Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ;

[03214] Πρὸς τοῦτο λύσις.

[03215] Οὐδὲν, ὦ βέλτιστοι, τὴν οὐσίαν ἀδικήσει τοῦ Λόγου, τὸ δέχεσθαί τι παρὰ τοῦ Πατρός.

[03216] Οὐ γὰρ ἐν τῷ δέχεσθαι τὸ εἶναι ἔχει, ἀλλὰ ὢν καὶ ὑπάρχων πρότερον, δέχεταί τι.

[03217] Καὶ καθὸ ἐκ Πατρὸς φυσικῶς γεγεννημένος, ἐπάγεται πάντα τὰ ἴδια τοῦ Πατρός.

[03218] Ὥσπερ ἂν εἰ καὶ τὸ φῶς ἐξ ἡλίου προελθὸν, δέχεσθαί τι λέγοιτο παρ' αὐτοῦ, ἐπειδήπερ πᾶν ὅπερ ἐστὶν ἐν αὐτῷ, τοῦτο φαίνεται τοῦ τεκόντος ἡλίου, καὶ οὐ δή που τὸν ἥλιον πρὸ τοῦ ἀπαυγάσματος εἶναι καταναγκάσει, τὸ τὴν ἐξ αὐτοῦ προϊοῦσαν ἔκλαμψιν ἀμερίστως ὥσπερ ἐξ αὐτοῦ προελθοῦσαν, τὰ αὐτῷ προσόντα φορεῖν φυσικῶς.

[03219] Οὐκοῦν οὐ τὸ λαβεῖν τι παρὰ τοῦ Πατρὸς ἀναγκάσει πάντως δεύτερον εἶναι τῷ χρόνῳ τὸν Υἱόν.

[03220] Τῷ γὰρ ὄντι καὶ ὑφεστῶτι δώσει τι, οὐ τῷ μὴ ὄντι καὶ μή πω γενομένῳ.

[03221] ΑΛΛΟ.

[03222] Εἰ ἐν τῷ δέχεσθαί τι τὸ εἶναι τοῖς οὖσιν ὁριούμεθα, καὶ ἀρκεῖ τοῦτο πρὸς δήλωσιν οὐσίας κατά τινος κατηγορούμενον, τί κωλύει καὶ δυσφημοῦντας εἰπεῖν, τότε τοῦ εἶναι τὴν ἀρχὴν ἔχειν τὸν Πατέρα, ὅτε δέχεσθαί τι λέγεται παρ' ἡμῶν;

[03223] Ἔξεστι γὰρ ἐπακροᾶσθαι τοῦ Ψαλμῳδοῦ λέγοντος·

[03224] Δότε δόξαν τῷ Θεῷ.

[03225] Εἰ τοίνυν οὐκ ἐν τῷ δέχεσθαι παρ' ἡμᾶς τὴν δόξαν ἔχει τὸ εἶναι ὁ Πατὴρ (ὢν γὰρ καὶ ὑπάρχων ὡς παρ' οἰκετῶν τὴν δοξολογίαν κομίζεται), οὐκ ἔσται τοῦτο τοῦ Υἱοῦ τὸ εἶναι, ἐν τῷ λαβεῖν τι παρὰ τοῦ Πατρός.

[03226] Ὢν γὰρ καὶ ὑπάρχων ἀνάρχως καὶ ἀϊδίως ἐξ αὐτοῦ προελθὼν, λαμβάνειν λέγεται τὰ προσόντα αὐτῷ φυσικῶς·

[03227] ὥσπερ ἂν εἰ καὶ ἐξ ἀνθρώπου προελθὼν υἱὸς, πάντα φαίνοιτο φορῶν τὰ τοῦ γεγεννηκότος, μετὰ πάντων τῶν αὐτοῦ, ἐξ αὐτοῦ καὶ τὸ εἶναι ἔχων.

[03228] Ὑπερκείσθω δὲ πάλιν ἡ θεία καὶ ἄῤῥητος γέννησις, τὴν τοῦ παροισθέντος ἡμῖν ὑποδείγματος δύναμιν, καὶ νοείσθω τὸ πρᾶγμα θεοπρεπῶς.

[03229] Ἀντίθεσις ὡς ἐκ τῶν χριστομάχων.

[03230] Ὅτι μὲν, φασὶ, τοῖς οὖσιν ἤδη καὶ ὑφεστηκόσιν, [75.236] οὐ τοῖς μὴ οὖσι δέχεσθαί τι πρεπωδέστερον, συνθησόμεθα καὶ αὐτοί.

[03231] Ἀλλ' ἐκεῖνο νῦν ἀναγκαῖον εἰπεῖν, ὅτι τὸ δεχόμενόν τι παρά τινος, ὡς οὐκ ἔχον λαμβάνει.

[03232] Εἰ τοίνυν ἔχει μὲν ὁ Πατὴρ τὸ εἶναι ζωὴ κατ' οὐσίαν, δίδωσι δὲ τοῦτο τῷ Υἱῷ ὡς οὐκ ἔχοντι δηλαδὴ, πῶς οὖν ἔσται κατ' οὐσίαν ὅμοιος αὐτῷ παρ' αὐτοῦ δεχόμενος ὅπερ αὐτὸς οὐκ ἔχει;

[03233] Πρὸς τοῦτο λύσις.

[03234] Ἐξεταστέον ἀκριβῶς, ὦ βέλτιστοι, τοῦ προτεθέντος ῥητοῦ τὴν διάνοιαν, καὶ τότε τοῦ Λόγου τὴν δύναμιν ὀψόμεθα.

[03235] Ἀντακούσεσθε γὰρ παρ' ἡμῶν, εἰ οὕτως ἔχει τὴν ζωὴν ὁ Υἱὸς ὥσπερ καὶ ὁ Πατὴρ, τουτέστιν, ἐν ἑαυτῷ, δι' οὗ τὸ οὐσιωδῶς σημαίνεται, τί κωλύσει τὰ ὁμοίως ἔχοντα, τῆς αὐτῆς εἶναι καὶ οὐσίας;

[03236] Εἰ γὰρ ὁ Πατὴρ ἔχει τὴν ζωὴν ἐν ἑαυτῷ, ἔχει δὲ πάλιν αὐτὴν ὁ Υἱὸς ἐν ἑαυτῷ, οὐκ ἐν προσθήκης μέρει, καθάπερ ὑμεῖς φατε, ἔσται καὶ τῷ Πατρὶ κατ' οὐσίαν ἴσος, ὁ ὡσαύτως ἔχων τὴν ζωὴν ἐκείνῳ, καὶ οὐχ ἑτέρως.

[03237] ΑΛΛΟ.

[03238] Εἰ μὴ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, πῶς ἐπαληθεύσει λέγων·

[03239] Ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον;

[03240] Καὶ πάλιν·

[03241] Τὰ πρόβατα τὰ ἐμὰ τῆς ἐμῆς ἀκούει φωνῆς.

[03242] Κἀγὼ δίδωμι αὐτοῖς ζωὴν αἰώνιον.

[03243] Καὶ πάλιν·

[03244] Ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ γεύσηται θανάτου εἰς τὸν αἰῶνα.

[03245] Ἔδει γὰρ λέγειν·

[03246] Ὁ πιστεύων εἰς ἐμὲ λήψεται παρ' ἐμοῦ ζωὴν, ἣν δέδωκέ μοι ὁ Πατήρ.

[03247] Καὶ πάλιν·

[03248] Τὸν εἰς ἐμὲ πιστεύοντα οὐ συγχωρήσει ὁ Πατὴρ γεύσασθαι θανάτου.

[03249] Εἰ δὲ τοῦτο μὲν εἰρηκὼς οὐ φαίνεται, ὡς δὲ φύσει προσοῦσαν ἑαυτῷ τὴν ζωὴν, καὶ ὡς οὐσιωδῶς ὑπάρχουσαν ἐν ἑαυτῷ, δώσειν τοῖς εἰς αὐτὸν πιστεύουσιν ἐπαγγέλλεται, πῶς ἐνδέχεται νοεῖν οὐκ ἔχοντα τὸν Υἱὸν εἰληφέναι ταύτην παρὰ τοῦ Πατρός;

[03250] Καὶ γὰρ ἂν εἴη πάσης ἐπέκεινα δυσφημίας τοῦτό γε.

[03251] Ἀλλ', ὥσπερ ἤδη προείρηται, προελθὼν ἐκ Πατρὸς, πάντα τὰ αὐτοῦ κατὰ φύσιν ἐπάγεται, καὶ ὡς εἰληφὼς, κατὰ τοῦτο νοεῖται, καὶ ἀπαύγασμα καὶ εἰκὼν ὑπάρχων αὐτοῦ.

[03252] Ἓν δὲ τῶν προσόντων τῷ Πατρὶ καὶ ἡ ζωή.

[03253] ΑΛΛΟ.

[03254] Εἰ μὴ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ, ἀλλὰ ζωῆς μέτοχος, καθάπερ οἱ χριστομάχοι φασὶν, ἕτερόν τί ἐστι κατ' οὐσίαν αὐτὸς παρὰ τὸ μετεχόμενον ὑπ' αὐτοῦ.

[03255] Πῶς οὖν ἡμῖν αὐτὸς εἰς μέσον ἔρχεται λέγων·

[03256] Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς.

[03257] Ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα;

[03258] Ἔδει γὰρ οὕτως εἰπεῖν, εἴπερ οὐκ ἦν κατὰ φύσιν αὐτὸς ἡ ζωή·

[03259] Ἐν ἐμοὶ ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς.

[03260] Καὶ, Ἐάν τις φάγῃ ἐκ τοῦ ἄρτου τοῦ ἐν ἐμοὶ, ζήσεται εἰς τὸν αἰῶνα.

[03261] Νυνὶ δὲ λέγων τὸ, Ἐγώ εἰμι, ἑαυτὸν ὁρίζει, καὶ οὐχ ἕν τι τῶν προσγεγονότων ἤτοι προσόντων αὐτῷ Εἰ τοίνυν αὐ [75.237] τός ἐστιν ὁ ἄρτος ὁ τοὺς μετέχοντας ἀπαθανατίζειν δυνάμενος, οὐκ ἔξωθεν οὐδὲ ἐπίκτητον ἔχει τὸ ζωοποιεῖν, ἀλλ' ὢν κατὰ φύσιν ζωὴ, τοὺς μετέχοντας αὐτοῦ ζωοποιήσειν ἀληθῶς ἐπαγγέλλεται.

[03262] ΑΛΛΟ.

[03263] Εἰ μὴ κατὰ φύσιν ἔχει τὸ εἶναι ζωὴ ὁ τοῦ Θεοῦ Λόγος, ἐπείσακτον δὲ, ὡς ὑμεῖς φατε, κεκτημένος αὐτὸ, ζωοποιεῖν δύναται, τί κωλύσει λέγειν καὶ ἀγγέλους τοὺς ἀληθῶς μετόχους γεγονότας ζωῆς δύνασθαι ζωοποιεῖν;

[03264] Ἀλλὰ τοῦτο μὲν οὐκ ἐνδέχεται·

[03265] μόνος γὰρ ὁ Υἱὸς ζωοποιεῖν δύναται, καθάπερ καὶ ὁ Πατήρ.

[03266] Οὐκοῦν οὐκ ἐπείσακτος ἐν Υἱῷ ἡ ζωοποιὸς δύναμις, ἀλλὰ κατὰ φύσιν αὐτῷ προσοῦσα καὶ οὐσιωδῶς ὥσπερ καὶ τῷ Πατρί.

[03267] ΑΛΛΟ.

[03268] Λέγων ὁ Υἱὸς τὸ, Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ δέδωκεν ἔχειν ζωὴν ἐν ἑαυτῷ, τὴν ἀπαράλλακτον ὁμοιότητα δεικνύει σαφῶς, ἣν ἔχει πρὸς τὸν γεννήσαντα.

[03269] Ἔχει γὰρ οὕτω τὴν ζωὴν, ὥσπερ καὶ ὁ Πατὴρ, φυσικὴν δηλονότι καὶ οὐσιώδη.

[03270] Τὸ δὲ, δέδωκε, προσθεὶς, τὴν ἐξ αὐτοῦ φυσικήν τε καὶ οὐσιώδη σημαίνει πρόοδον.

[03271] Οὐ γὰρ δή που δέδωκεν ὁ Πατὴρ, ὥσπερ τι τῶν αὐτῷ προσόντων ἀφελόμενος, καὶ οὐκ ἔχοντι προστεθεικὼς τῷ Υἱῷ, κατὰ σωματικὴν ἀποτομὴν ἢ διάστασιν τὴν ἔκ τινος ἑτέρου πρὸς ἕτερον, ἢ τοπικῶς ἢ διαιρετικῶς νοουμένην.

[03272] Ἀλλ' ὥσπερ δίδωσι τὸ φυτὸν τῷ ἐξ αὐτοῦ προελθόντι καρπῷ τὴν αὐτῷ κατὰ φύσιν προσοῦσαν ποιότητα φορεῖν, οὕτως ὁ Υἱὸς εἰληφέναι παρὰ Πατρὸς τὰ αὐτῷ προσόντα νοεῖται, πάντα ὢν ὅσα καὶ ὁ Πατὴρ, δίχα μόνου τοῦ εἶναι Πατήρ.

[03273] ΑΛΛΟ.

[03274] Ἀντίθεσις ὡς ἐκ τῶν χριστομάχων.

[03275] Εἰ ζωὴ, φασὶ, κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, ὡς ὑμεῖς φιλονεικότερον ἐνιστάμενοι λέγετε, πῶς ἀληθεύσει λέγων ὁ Παῦλος περὶ τοῦ Πατρός·

[03276] Ὁ μόνος ἔχων ἀθανασίαν;

[03277] Εἰ γὰρ ἔχει καὶ ὁ Υἱὸς, οὐ μόνος ἔχει ὁ Πατήρ·

[03278] εἰ δὲ μόνος ἔχει, οὐχ ἕξει δηλαδὴ καὶ ὁ Υἱός.

[03279] Πρὸς τοῦτο λύσις.

[03280] Πολλὰ προσεῖναι λέγεται μόνῳ τῷ Πατρὶ, καὶ εἰ τούτων ἔσται πάντων οὐκ ἔρημος ὁ Υἱός.

[03281] Ἐπειδὴ γέγραπται, Μόνος ἀληθινὸς Θεὸς ὁ Πατὴρ, ἔστω μὴ ἀληθινὸς ὁ Υἱὸς, νόθος δὲ ὥσπερ τις καὶ ψευδώνυμος ἐπίκτητον ἔχων τὸ εἶναι Θεός.

[03282] Καὶ πῶς ὡς τοῦτο κατὰ φύσιν ὢν προσκυνεῖται παρά τε ἡμῶν καὶ ἀγγέλων, τοῦ θείου νόμου διαῤῥήδην λέγοντος·

[03283] Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις;

[03284] Πῶς δὲ φυλάξομεν τὸ, Οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος;

[03285] Εἰ γὰρ μόνος κατὰ φύσιν Θεὸς ὁ Πατὴρ, καὶ διὰ τὸ οὕτω λέγεσθαι τοῦ εἶναι φύσει [75.240] Θεὸν ἐκβάλλει τὸν Υἱὸν, πρόσφατος ἄρα καὶ νέος τις [75.240] ὥσπερ ἐπεισαχθήσεται παρὰ τὸν ὄντα ἐξ ἀρχῆς καὶ κατὰ φύσιν.

[03286] Ἀλλὰ τοῦτο ἄτοπον.

[03287] Οὐκοῦν οὐ διὰ τὸ λέγεσθαι μόνον ἀθανασίαν ἔχειν τὸν Πατέρα, τῶν ἐναντίων ἔσται δεκτικὸς ὁ Υἱὸς, ἀλλ' ὡς τρεχούσης εἰς τὸ γέννημα φυσικῶς τῆς πατρικῆς ἰδιότητος, τοῦτο καὶ αὐτὸς ὑπάρχων κατ' οὐσίαν νοηθήσεται, ὅπερ ἂν εἴη καὶ ὁ γεννήσας αὐτόν.

[03288] ΑΛΛΟ.

[03289] Πολλὰ προσεῖναι λέγεται τῷ Πατρὶ πλεονεκτήματα.

[03290] Ἀλλ' εἰ τούτων ἔσται γυμνὸς ὁ Υἱὸς, λέγει δέ που Παῦλος, Ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ, οὔτ' ἄφθαρτος, οὔτε ἀόρατος, οὔτε σοφὸς ἔσται, καθ' ὑμᾶς.

[03291] Ἀλλ' ἔχει τὴν ἀσέβειαν ἄμετρόν τινα τὸ οὕτω νοεῖν.

[03292] Πῶς γὰρ ἔσται φθαρτὸς ὁ τῆς ἀφθαρσίας χορηγός;

[03293] Ἢ πῶς ὁραθήσεται Θεοῦ φύσις;

[03294] Ἢ πῶς ἄσοφον εἶναι νομιοῦμεν τὸν Υἱὸν, περὶ οὗ γέγραπται ὅτι δὴ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία ἐστίν;

[03295] Ὥρα γὰρ λέγειν ἄσοφον εἶναι τὴν σοφίαν τοῦ Θεοῦ.

[03296] Οὐκοῦν οὐκ ἀποστερήσει τὸν Υἱὸν τὸ εἶναι ταῦτα φυσικῶς, ἅπερ ἂν λέγοιτο καὶ ὁ Πατὴρ, εἰ καὶ ἐπ' αὐτοῦ μόνον τάττοιτο.

[03297] Φθάσει γὰρ πάλιν ἐπὶ τὸν ἐξ αὐτοῦ προελθόντα Λόγον, πάντα τὰ αὐτῷ προσόντα φυσικῶς τε καὶ ἀναγκαίως.

[03298] ΑΛΛΟ.

[03299] Εἰ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Πατὴρ, ὥσπερ οὖν καὶ ἔστιν, ἔχει πάντως τοῦτο καὶ ὁ Υἱός.

[03300] Ἀληθεύει γὰρ λέγων·

[03301] Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν.

[03302] ΑΛΛΟ, τὸ αὐτὸ ἐκ τοῦ ἐναντίου.

[03303] Εἰ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Πατὴρ, ὁ δὲ Υἱὸς οὐχ οὕτως, πῶς ἀληθεύσει λέγων·

[03304] Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν;

[03305] Ἀλλ' οὐκ ἂν ψεύσαιτο ἡ ἀλήθεια, ἔσται δηλονότι ζωὴ κατὰ φύσιν ὁ Υἱὸς, ὥσπερ καὶ ὁ Πατήρ.

[03306] Ἄλλως τὸ αὐτό.

[03307] Εἰ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Πατὴρ, ὁ δὲ Υἱὸς οὐχ οὕτως, ἀλλ' ἐπείσακτον ἔχει τὸ εἶναι τοῦτο, πῶς ἀληθεύσει λέγων πρὸς τὸν Πατέρα, ὅτι Πάντα τὰ ἐμὰ σά

ἐστι, καὶ τὰ σὰ ἐμά;

[03308] Ἢ γὰρ ἕξει κατὰ φύσιν τὸ εἶναι ζωὴ καὶ αὐτὸς, ὅπερ ἐστι τοῦ Πατρός.

[03309] Ἢ εἰ μὴ τοῦτο, τοῦ δὲ Πατρός ἐστι τὰ αὐτοῦ, ἐπεὶ μὴ κατὰ φύσιν ἐστὶ ζωὴ ὁ Υἱὸς, οὐκ ἔσται τοῦτο καὶ ὁ Πατήρ.

[03310] Ἀλλὰ τοῦτο ἄτοπον.

[03311] Φύσει γὰρ ὁ Πατὴρ ζωὴ, ἔσται τοῦτο καὶ ὁ Υἱὸς, ἵνα μὴ ψεύδηται τὴν ὁμοίωσιν.

[03312] ΑΛΛΟ.

[03313] Εἰ χαρακτὴρ ἀπαράλλακτος τῆς τοῦ Πατρὸς ὑποστάσεώς ἐστιν ὁ Υἱὸς, φορέσει φυσικῶς καὶ τὸ εἶναι ζωὴ, ἵνα μὴ παραχαράττηται τοῦ Πατρὸς ὁ χαρακτήρ ΑΛΛΟ.

[03314] Φησί που Χριστὸς πρὸς τοὺς ἑαυτοῦ μαθητάς·

[03315] Ὁ [75.241] ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.

[03316] Εἰ τοίνυν ὁ Πατὴρ ἐν Υἱῷ φαίνεται ζωὴ κατὰ φύσιν ὑπάρχων, ἔσται τοῦτο καὶ ὁ Υἱὸς, ἵνα μὴ ψεύδηται τὴν ὁμοίωσιν.

[03317] ΑΛΛΟ, ἐκ τῶν αὐτῶν διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς.

[03318] Φησί που Χριστός·

[03319] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.

[03320] Εἰ τοίνυν ἐπείσακτον ἤτοι κατὰ μετοχὴν, καὶ οὐκ οὐσιῶδες ἔχει τὸ εἶναι ζωὴ, ἔσται τοῦτο καὶ ὁ Πατήρ.

[03321] Φυγὼν δὲ τοῦ λόγου τὴν ἀτοπίαν, ἐξ ἀνάγκης ὁμολογήσεις τὸ ἕτερον·

[03322] ζωὴ γὰρ κατὰ φύσιν ὁ Υἱός.

[03323] ΑΛΛΟ.

[03324] Εἰ τοῦ Πατρὸς τὴν οὐσίαν ὁ Υἱὸς ἀπαραλλάκτως χαρακτηρίζειν λέγεται, ἔστι δὲ οὐ κατὰ φύσιν ζωὴ, ἀλλ' ἐν προσθήκης μέρει τοῦτο λαμβάνει, τοῦτο καὶ ὁ Πατὴρ νοηθήσεται.

[03325] Τὸ δὲ ἐν τούτοις ἄτοπον, παρεισοίσει τὸ ἐναντίον, ὅπερ ἐστὶ καὶ ἀληθές.

[03326] ΑΛΛΟ.

[03327] Τὰ ἑτερογενῆ τε καὶ ἑτεροφυῆ τὴν αὐτὴν ἐνέργειαν ἔχειν, οὐκ ἄν τις δῴη σωφρονῶν.

[03328] Οὐδὲ γὰρ ἂν ὕδατι πῦρ ἕν τι καὶ ταυτὸν ἐνεργήσειεν, ἀλλ' ὥσπερ ἀπεσχοινισμένον ἔχουσι τῆς οὐσίας ἤτοι τῆς ποιότητος τὸν λόγον, οὕτω καὶ διάφορον ἀποδώσουσι τὴν ἐνέργειαν.

[03329] Εἰ τοίνυν ζωῆς ὄντος κατὰ φύσιν τοῦ Πατρὸς, οὐκ ἔστι τοῦτο κατ' οὐσίαν ὁ Υἱὸς, ὥσπερ τοῖς χριστομάχοις δοκεῖ, πῶς τὴν αὐτὴν ἐνέργειαν φορέσει τῷ Πατρί;

[03330] Φησὶ γάρ που Χριστὸς, ὅτι Ὥσπερ ὁ Πατὴρ οὓς θέλει ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ.

[03331] Οὐ γὰρ δή που ζωοποιεῖσθαι μὲν ἑτέρως ἐροῦσι τοὺς ὅσοι παρὰ τοῦ Πατρὸς τοῦτο λαμβάνουσι, ζωοποιεῖσθαι δὲ πάλιν καθ' ἕτερον τρόπον τοὺς παρὰ τοῦ Υἱοῦ τοῦτο δεχομένους.

[03332] Οὕτω γὰρ ἔφησε ζωοποιεῖν τὸν Πατέρα, ὡς ἂν ζωοποιήσειεν ὁ Υἱὸς, πανταχοῦ τὴν αὐτὴν ἐνέργειαν ἔχοντα τῷ Πατρὶ ἑαυτὸν ὁριζόμενος.

[03333] Οὐκοῦν οὐκ ἀνόμοιος ἔσται πρὸς τὸν γεγεννηκότα·

[03334] ἀλλ' ὥσπερ ἐκεῖνος φύσει ζωὴ λέγεται καὶ ἔστιν, οὕτω καὶ ὁ Υἱός.

[03335] ΑΛΛΟ.

[03336] Εἰ τὴν ἀλήθειαν ταῖς Ἰωάννου φωναῖς ἐπιψηφιούμεθα, πάντα δώσομεν ἐργάζεσθαι δι' Υἱοῦ τὸν Πατέρα.

[03337] Εἰ δὲ τοῦτο, ἓν δὲ τῶν ἔργων τοῦ Πατρὸς καὶ τὸ ζωοποιεῖν τινας, ἔσται ζωὴ κατὰ φύσιν ὁ Υἱὸς, δι' οὗ τὰ πάντα ζωοποιεῖ, ἵνα μὴ νόθος μεσίτης παρεισαγόμενος, ἀμέτοχον δείξῃ Θεοῦ τὸ τῇ πρὸς αὐτὸν σχέσει ζωοποιούμενον.

[03338] ΑΛΛΟ.

[03339] Εἰ μεσίτης Θεοῦ καὶ ἀνθρώπων ἐστὶν ὁ Υἱὸς, ὥσπερ εἰς ἑνότητα φυσικὴν συνάπτων τὰ ἄκρα·

[03340] ἀναγκαῖον εἰπεῖν ὅτι, ὥσπερ ἀνθρώποις συνήφθη φυσικῶς ἄνθρωπος γεγονὼς, οὕτω καὶ τῆς θείας φύσεως ἤρτηται Θεὸς κατὰ φύσιν ὑπάρχων.

[03341] Εἰ δὲ τοῦτο, ἐπεὶ κατ' οὐσίαν καὶ οὐκ ἔξωθεν ἔχει τὸ εἶναι ζωὴ ὁ Πατὴρ, ἔσται τοιοῦτος καὶ ὁ προσεχὴς αὐτῷ καὶ ἐξ αὐτοῦ κατὰ φύσιν Υἱός.

[03342] [75.244] ΑΛΛΟ.

[03343] Πανταχοῦ τὸν Υἱὸν αἱ θεῖαι Γραφαὶ καλοῦσιν Ἀλήθειαν, καὶ αὐτὸς δὲ περὶ ἑαυτοῦ τοῦτό φησιν·

[03344] Ἐγώ εἰμι, λέγων, ἡ ἀλήθεια.

[03345] Εἰ τοίνυν διεψευσμένον ἐν αὐτῷ τὸ τῆς ζωῆς πρᾶγμα, καὶ οὐκ οὐσιῶδες, οὐδὲ ἀληθινὸν, πῶς οὐ ψεύσεται λέγων ἑαυτὸν εἶναι τὴν ἀλήθειαν;

[03346] Ἀλλὰ μὴν οὐ ψεύδεται·

[03347] τοῦτο γὰρ ἀσεβὲς καὶ μόνον ἐννοεῖν·

[03348] ἀλήθεια δέ ἐστιν.

[03349] Οὐκ ἄρα διεψευσμένον ἔχει τὸ εἶναι ζωή.

[03350] ΑΛΛΟ.

[03351] Εἰ ζωοποιεῖ τοῦ Πατρὸς ἡ γνῶσις τοὺς ἔχοντας αὐτὴν, ζωοποιεῖ δὲ ὁμοίως καὶ ἡ τοῦ Υἱοῦ, πῶς οὐκ ἔσται κατ' οὐσίαν ὁ αὐτὸς, ὁ ταῖς τοῦ Πατρὸς ἰδιότησιν οὕτω διαπρέπων, ὡς ἂν εἰ καὶ αὐτὸς ὁ Πατήρ;

[03352] ΑΛΛΟ, διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς.

[03353] Ὥσπερ ὁ Πατὴρ, φησὶν, ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ·

[03354] Ἐνταῦθα τοῖς οὐκ ἐθέλουσι νοεῖν ὀρθῶς, εἰς πολλὴν ὁ λόγος κινδυνεύσει δυσφημίαν ἐκπεσεῖν.

[03355] Εἰ γὰρ ἔχειν ἐν ἑαυτῷ λέγεται ζωὴν ὁ Πατὴρ, ἕτερόν τί ἐστιν αὐτὸς παρὰ τὴν ἐν αὐτῷ ζωήν.

[03356] Εἰ δὲ τοῦτο διπλόη τις ὥσπερ καὶ σύνθεσις περὶ αὐτὸν νοηθήσεται, πῶς οὖν ἁπλοῦς καὶ σύνθετος κατ' οὐσίαν ὁ Θεός;

[03357] Ἀλλὰ τοῦτο ἄτοπον.

[03358] Ἡ ζωὴ ἄρα ἣν ἔχει ὁ Πατὴρ ἐν ἑαυτῷ, οὐχ ἑτέρα τίς ἐστι παρὰ τὸν Υἱόν·

[03359] καὶ πάλιν ἡ ἐν Υἱῷ ζωὴ, οὐχ ἑτέρα τίς ἐστι παρὰ τὸν Πατέρα, καὶ ἀληθεύει λέγων·

[03360] Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί.

[03361] ΑΛΛΟ.

[03362] Τὰ προσόντα τῷ Θεῷ καὶ Πατρὶ φυσικά τε καὶ οὐσιώδη λέγων ἰδιώματα, φησί που Παῦλος·

[03363] Ὁ μόνος ἔχων ἀθανασίαν.

[03364] Εἰ τοίνυν οὐδὲν ἕτερόν τις ὁριεῖται λέγων τὴν ἀθανασίαν παρὰ τὴν ζωὴν, αὕτη δέ ἐστιν ὁ Υἱὸς ὁ λέγων·

[03365] Ἐγώ εἰμι ἡ ζωὴ, ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, τὸν Υἱὸν δηλονότι, καὶ οὐχ ἕτερόν τι παρ' αὐτόν.

[03366] Αὐτός τε ὁμοίως ὑπάρχων ζωὴ, δέδωκεν ἑαυτὸν τῷ Υἱῷ·

[03367] οὐχ ὡς σῶμα χωρήσας ἐν σώματι, οὐδ' ὡς τῷ Υἱῷ παραχωρήσας τὴν ἰδίαν ὑπόστασιν, καὶ ἐν αὐτῷ λοιπὸν τὸ εἶναι ἔχων·

[03368] ἀλλ' ὑπάρχων μὲν τοῦθ' ὅπερ ἐστὶν ἀεὶ Πατὴρ καὶ Θεός.

[03369] Τῇ δὲ τῆς οὐσίας ταυτότητι καὶ τῇ τῆς φύσεως ἑνότητι πρὸς τὸν ἐξ αὐτοῦ προελθόντα Λόγον ἀποῤῥήτως συνδούμενος.

[03370] ΑΛΛΟ.

[03371] Ὅσα προσεῖναι λέγεται τῷ Πατρὶ φυσικῶς τε καὶ οὐσιωδῶς, ταῦτα πάντα ἐστὶν ὁ Υἱός.

[03372] Μόνος ἀληθινὸς λέγεται Θεὸς ὁ Πατὴρ, ἐπειδὴ μόνος ἔχει τὸν Υἱὸν τὸν λέγοντα·

[03373] Ἐγώ εἰμι ἡ ἀλήθεια.

[03374] Σοφὸς καὶ δυνατὸς ὁμοίως, ἐπεὶ Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία.

[03375] Μόνος λέγεται φῶς οἰκεῖν ἀπρόσιτον·

[03376] ἔχει γὰρ ἐν ἑαυτῷ τὸν λέγοντα·

[03377] Ἐγώ εἰμι τὸ φῶς.

[03378] Μόνος ἔχειν ἀθανασίαν λέγεται·

[03379] ἔχει γὰρ ἐν ἑαυτῷ τὸν λέγοντα Υἱόν·

[03380] Ἐγώ εἰμι ἡ ζωή.

[03381] Εἰ τοίνυν σύμπαν τὸ τοῦ Πατρὸς ἴδιον, τοῦτό ἐστιν ὁ Υἱὸς, ὅταν λέγηται [75.245] ζωὴν ἔχειν ὁ Πατὴρ ἐν ἑαυτῷ, τὸν Υἱὸν σημαίνει, καὶ οὐχ ἕτερόν τι παρ' αὐτόν.

[03382] Ὑπάρχων δὲ καὶ αὐτὸς ἐν Υἱῷ κατὰ τὸ τῆς οὐσίας ἀπαράλλακτον, καὶ ζωὴ κατὰ φύσιν ὤν, δέδωκεν ἑαυτὸν αὐτῷ.

[03383] ΑΛΛΟ.

[03384] Ζωὴ κατὰ φύσιν ὑπάρχων ὁ Υἱὸς, δέχεσθαι παρὰ τοῦ Πατρὸς ταύτην φησὶν, οὐχ ᾗ Λόγος ἐστὶν ᾗ ἀπαύγασμα φυσικῶς ἔχει τὰ τοῦ Πατρὸς ἴδια, ἀλλὰ καθὸ γέγονεν ἄνθρωπος, ᾧ πάντα θεόσδοτα.

[03385] Καταστήσει δὲ τοῦτο σαφὲς ἐν τοῖς ἐφεξῆς, τοῦ δεδόσθαι τὴν αἰτίαν ἐξηγούμενος.

[03386] Ἐξουσίαν γὰρ, φησὶν, ἔδωκεν αὐτῷ κρίσιν ποιεῖν, ὅτι Υἱὸς ἀνθρώπου ἐστίν.

[03387] Εἰ δὲ ἐπειδήπερ Υἱὸς ἀνθρώπου ἐστὶ, τὴν ἐπὶ τῷ κρίνειν ἐξουσίαν εἰληφέναι λέγεται, τὸν αὐτὸν ἀνακυκλώσαντες λόγον ἐροῦμεν·

[03388] Ἐπειδὴ Υἱὸς ἀνθρώπου γέγονε, τὴν ὁμοιότητα φορέσας τῶν παρὰ Θεοῦ δέχεσθαι τὰ πάντα πεφυκότων, καὶ ζωὴν εἰληφέναι λέγεται, μόνη καὶ γυμνῇ τῇ θείᾳ φύσει τηρῶν, καὶ τὸ μετοχῆς τινος ἀνεπίδεκτον καὶ τὸ δύνασθαι τοῖς πᾶσι τὰ πάντα χορηγεῖν

[03389] ΛΟΓΟΣ ΙΕ.

[03390] Εἰς τὸ ἐν ταῖς Παροιμίαις, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.

[03391] Ὅτι τὸ, ἔκτισεν, οὐ κατὰ τῆς οὐσίας τοῦ Λόγου κεῖται·

[03392] οὐδὲ κτίσμα ἢ ποίημα ὁ Υἱός.

[03393] Οἱ τῆς Ἀρείου μανίας προστάται τὴν ἑαυτῶν ἀσέβειαν πιθανοῖς, ὡς οἴονται, καλλωπίζοντες ῥήμασι, λέγουσι·

[03394] Κτίσμα ἐστὶν ὁ Υἱὸς, ἀλλ' οὐχ ὡς ἓν τῶν κτισμάτων·

[03395] ποίημά ἐστιν, ἀλλ' οὐχ ὡς ἓν τῶν ποιημάτων·

[03396] γέννημά ἐστιν, ἀλλ' οὐχ ὡς ἓν τῶν γεννημάτων.

[03397] Πρὸς ταῦτα λύσεις ἐφεξῆς διάφοροι.

[03398] Εἰ ποίημά ἐστιν ὁ Υἱὸς, πῶς οὐχ ἓν τῶν ποιημάτων·

[03399] καὶ εἰ ὅλως κτίσμα, πῶς οὐχ ἓν τῶν κτισμάτων;

[03400] Ἔστι γὰρ τοῦτο φρονεῖν γελοιότατον.

[03401] Εἰ γὰρ ὅλως κτίσμασιν ἢ ποιήμασιν οὐκ ἔστιν ἐναρίθμιος ὁ Υἱὸς, οὔτε κτίσμα ἂν εἴη οὔτε ποίημα.

[03402] Εἰ δὲ ἐκτίσθη καθ' ὑμᾶς καὶ πεποίηται, πῶς οὐκ ἀναγκαίως ὡς ἓν ἔσται τῶν γενομένων;

[03403] ΑΛΛΟ.

[03404] Φασὶν ὅτι ποίημά ἐστιν ὁ Υἱὸς, ἀλλ' οὐχ ὡς ἓν τῶν ποιημάτων.

[03405] Καὶ νομίζουσι μὲν, ἐξαίρετόν τινα διὰ τούτου προσάγειν αὐτῷ τὴν τιμὴν, ἐπειδήπερ ποίημα μὲν εἶναι, οὐ μὴν ὡς ἕν τι τῶν ποιημάτων ὁμολογοῦσιν αὐτόν.

[03406] Ἀλλ' οὐδὲν ἐν τούτῳ τὸ ἐξαίρετον·

[03407] ἀλλ' ἕν τι καὶ αὐτὸς τῶν ἄλλων φανεῖται.

[03408] Ἕως γὰρ ἂν ἐπ' αὐτοῦ τὸ πεποιῆσθαι κρατῇ, καὶ εἶναι κτίσμα πιστεύηται, οὐδέν τι τῶν ἄλλων κατὰ τοῦτο διοίσει, κἂν διαλλάττῃ κατὰ τὴν φύσιν, ἢ κατά τινα τρόπον ἕτερον.

[03409] Οὕτω γὰρ ἄν τις ἔχοντα βλέποι τὰ πεποιημένα παρὰ Θεοῦ συγκρίνων πρὸς ἄλληλα.

[03410] Εὑρήσει γὰρ [75.248] αὐτὰ καὶ ταῖς ὑπεροχαῖς νικῶντα πολλάκις τὰ ἕτερα, καὶ ταῖς φύσεσιν ἐξηλλαγμένα, ὡς δύνασθαί τινα λέγειν ἐφ' ἑκάστου τε ἐκείνων, ποίημά ἐστιν, ἀλλ' οὐχ ὡς ἓν τῶν ποιημάτων.

[03411] Ὁ ἥλιος τυχὸν ποίημα μὲν, οὐχ ὡς ἓν δὲ τῶν ποιημάτων·

[03412] οὐ γὰρ ἔστιν ἕτερος ἥλιος.

[03413] Ἡ σελήνη ὁμοίως, ὁ οὐρανὸς, οἱ ἀστέρες, ἡ γῆ·

[03414] πάντα γὰρ ταῦτα ποιήματα, καὶ ἕκαστον αὐτῶν, οὐχ ὡς ἓν τῶν ποιημάτων.

[03415] Μόνον γὰρ τὸ γενέσθαι κοινὸν ἔχει τὰ κτίσματα·

[03416] τὸ δὲ σχῆμα καὶ τὴν φύσιν, ἕκαστον ἰδιάζουσαν.

[03417] Οὐδὲν οὖν τὸ πλέον ἐν Υἱῷ πεποιῆσθαι λεγομένῳ, κἂν ἕτερόν τι μέγα καὶ ἐξαίρετον ὑπάρχῃ παρὰ τὰ ἄλλα ποιήματα.

[03418] Τί γὰρ ὠφελήσει τὸν ἥλιον εἰς τὸ μὴ εἶναι ποίημα, τὸ πολὺ τῶν ἀστέρων ὑπερέχειν;

[03419] Ὁ δὲ αὐτὸς οὗτος κρατήσει λόγος καὶ ἐπὶ τῶν ἐν οὐρανῷ λογικῶν δυνάμεων, αἷς πάλιν τὸ μὲν πεποιῆσθαι κοινόν ἐστιν.

[03420] Ὁ δὲ τοῦ τί ἕκαστον εἴη λόγος, ἐξηλλαγμένος.

[03421] ΑΛΛΟ.

[03422] Εἰ ποίημά ἐστι, καθ' ὑμᾶς, ὁ Υἱὸς, καὶ τοῦτο ὢν ἔχει τὸ δύνασθαι κτίζειν, διὰ τὸ μὴ ὡς ἓν ὑπάρχειν τῶν ἄλλων ποιημάτων, ἔστω ποιητικὰ καὶ τὰ ἕτερα κτίσματα, διὰ τὸ ποικίλην ἐν αὐτοῖς εἶναι τὴν φύσιν·

[03423] καὶ ἕκαστον αὐτῶν εἶναι ποίημα μὲν, οὐχ ὡς ἓν δὲ τῶν ἄλλων.

[03424] Εἷς γὰρ ὁ οὐρανὸς, ἥλιος εἷς, μία σελήνη, φύσις ἀστέρων μία, μία τε γῆ, εἷς ἄνθρωπος ὅσον εἰς οὐσίαν·

[03425] καὶ τούτων οὐδὲν ἀλλήλοις ἐπικοινωνεῖ κατὰ τὸν τῆς φύσεως λόγον, εἰ καὶ πᾶσι τὸ πεποιῆσθαι κοινόν.

[03426] Ἀλλ' οὐδὲν ἐν τοῖς κτίσμασι φαίνεται δημιουργοῦ, ἀλλὰ μᾶλλον προσκυνεῖ τὸν δημιουργὸν τοῦ Θεοῦ Λόγον, καὶ τοῦ ποιητοῦ τὴν δόξαν ἀναβοᾷ·

[03427] Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, καὶ ποίησιν χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

[03428] Καὶ καθάπερ ὁ Ἔσδρας φησί·

[03429] Πᾶσα ἡ γῆ τὴν ἀλήθειαν καλεῖ, καὶ ὁ οὐρανὸς αὐτὴν προσκυνεῖ, καὶ πάντα τὰ ἔργα αὐτὴν σείεται καὶ τρέμει.

[03430] Ὁ δὲ Υἱὸς περὶ ἑαυτοῦ φησιν·

[03431] Ἐγώ εἰμι ἡ ἀλήθεια.

[03432] Οὐκ ἄρα ποίημά ἐστιν, οὐδὲ κτίσμα διὰ τοῦτο κτίζειν δυνάμενος, ὅτι μὴ ὡς ἕν ἐστι τῶν ποιημάτων, ἀλλ' ὅτι τῆς τοῦ Πατρὸς οὐσίας ἴδιον ὑπάρχων γέννημα, ὅλον τε ἐν ἑαυτῷ δεικνύων αὐτὸν, ἔχει καὶ τὸ δύνασθαι κτίζειν ὡς ὁ Πατήρ.

[03433] ΑΛΛΟ.

[03434] Εἰ κτίσμα ἐστὶν ὁ Υἱὸς, προσκυνεῖται δὲ παρὰ τῶν ἄλλων κτισμάτων, διὰ τὸ ἕτερόν τι ὑπάρχειν παρ' αὐτὰ, καὶ εἶναι μὴ ὡς ἓν τῶν κτισμάτων, ἔδει κἀκεῖνα προσκυνεῖσθαι παρ' ἀλλήλων, διὰ τὸ ἐξηλλαγμένην ἔχειν τὴν φύσιν πρὸς ἄλληλα.

[03435] Πολλὴ γὰρ ἐν τοῖς ποιήμασιν ἡ διαφορά·

[03436] καὶ ἔστιν ἕκαστον ἰδεῖν ἐν ἰδιαζούσῃ φύσει ἤτοι ποιότητι, καὶ οὐχ ὅπερ ἐστὶ πάντως τὸ ἕτερον.

[03437] Ἀλλ' οὐδὲν ἐν αὐτοῖς προσκυνεῖται, πάντα δὲ τὸν δημιουργὸν τοῦ Θεοῦ Λόγον προσκυνεῖ.

[03438] Οὐκ ἄρα ἓν ἐξ αὐτῶν ὁ Υἱὸς, οὐδὲ κτίσμα, καθ' ὑμᾶς.

[03439] Ἔσται γὰρ κατὰ τίνα τρόπον ἐν τοῖς [75.249] προσκυνοῦσιν ὁ προσκυνούμενος, ἐν τοῖς δοξολογοῦσιν ὁ δοξολογούμενος;

[03440] Πολὺ γὰρ ἐν τούτῳ τὸ μεταξὺ καὶ διάφορον, καὶ τὸ ἑκάστῳ πρέπον διορίζον σαφῶς.

[03441] ΑΛΛΟ.

[03442] Εἰ κτίσμα ἐστὶν ὁ Υἱὸς, πάντα δὲ ὁ Πατὴρ ἐργάζεται δι' αὐτοῦ, αὐτὸς ἑαυτὸν ἄρα ποιεῖ καὶ κτίζει·

[03443] ἀλλ' ἔστι τοῦτο νοεῖν τῶν ἀτοπωτάτων.

[03444] Πῶς γὰρ τὸ μήπω, καθ' ὑμᾶς, ὂν, ἑαυτὸ ποιήσει;

[03445] Οὐκοῦν οὐ κτίσμα ἐστὶν, οὐδὲ ποίημα, ἀλλὰ μᾶλλον τῆς τοῦ Πατρὸς οὐσίας καρπὸς, ἔχων ὡς Θεὸς τὸ δύνασθαι κτίζειν καὶ ποιεῖν.

[03446] ΑΛΛΟ.

[03447] Εἰ κτίσμα ἐστὶν ὁ Υἱὸς, πῶς ἐν αὐτῷ κείσεται τὸ δύνασθαι κτίζειν, καὶ εἰς τὸ εἶναι παράγειν ἐξ οὐκ ὄντων τὰ ποιήματα;

[03448] Εἰ γὰρ ὅλως ἐνδέχεται φύσιν γενητὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγειν, ἔσται δυνάμει δημιουργὰ καὶ τὰ ἄλλα ποιήματα, καὶ εἰ μήπω τοῦτο διὰ τῆς ἐνεργείας ὁρᾶται·

[03449] ὥσπερ ἀμέλει καὶ ὁ παῖς ὁ βραχεῖαν ἄγων ἔτι τὴν ἡλικίαν, δυνάμει μὲν σπερματιστὴς, καθὸ καὶ ἀνήρ ἐστιν, οὔπω δὲ τῇ ἐνεργείᾳ.

[03450] Τὸ δὲ ἔχον τι πεφυκὸς, οὐκ ἂν λέγοιτο μὴ ἔχειν, εἰ καὶ μήπω τοῦτο φαίνεται κρυπτομένης ἔτι τῆς φυσικῆς ἐνεργείας, διά τινα πρόφασιν, ἢ διὰ τὸν χρόνον.

[03451] Οὐκοῦν ἔσται δημιουργὰ καὶ τὰ ἄλλα ποιήματα, καὶ τὸ περιττὸν οὐδὲν ἐν Θεῷ.

[03452] Ἀλλὰ τοῦτο ἄτοπον.

[03453] Οὐδὲν γὰρ τῶν ποιημάτων δημιουργεῖ.

[03454] Οὐκ ἄρα κτίσμα ἐστὶν ὁ Υἱὸς, δι' οὗ τὰ πάντα ἐγένετο, ἵνα μὴ τὸ αὐτὸ φαίνηται ποιοῦν καὶ ποιούμενον, κτίζον καὶ κτιζόμενον·

[03455] Θεὸς δὲ μᾶλλον ὡς ἐκ Θεοῦ καὶ Πατρός.

[03456] ΑΛΛΟ, μετὰ συμπλοκῆς ἑτέρου συλλογισμοῦ.

[03457] Εἰ κτίσμα ἐστὶν ὁ Υἱὸς, πῶς αὐτὸς μόνος ἀποκαλύπτει τὸν Πατέρα, τῶν ἄλλων κτισμάτων οὐκ ἐχόντων τοῦτο ποιεῖν;

[03458] Πῶς δὲ μόνος ὁ Υἱὸς γινώσκει τὸν Πατέρα, τῶν ἄλλων ποιημάτων οὐκ εἰδότων ὅπερ ἐστίν;

[03459] Οὐδεὶς γὰρ, φησὶ, γινώσκει τίς ἐστιν ὁ Πατὴρ εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἂν ὁ Υἱὸς ἀποκαλύψῃ.

[03460] Πῶς δὲ Θεὸν μηδενὸς ἑωρακότος πώποτε, καθά φησιν ὁ εὐαγγελιστὴς, βλέπει μόνος ὁ Υἱός;

[03461] Γέγραπται γὰρ οὐχ ὅτι τὸν Πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Πατρός;

[03462] Οὐκοῦν εἰ μόνος ὁ Υἱὸς ὁρᾷ καὶ γινώσκει τὸν Πατέρα, καὶ ἀποκαλύπτει αὐτὸν, οὐκ ἄρα κτίσμα ἐστὶν, ἀλλ' ἴδιος αὐτοῦ Λόγος, ὅπερ ἐστὶν αὐτὸς κατὰ φύσιν·

[03463] τοῦτο ὑπάρχειν εἰδὼς καὶ τὸν ὅθεν ἐβλάστησε, Πατέρα, καὶ ἐν ἑαυτῷ δεικνύων αὐτὸν, καίτοι τῶν ἄλλων κτισμάτων οὐ δυναμένων τοῦτο ποιεῖν.

[03464] Οὐ γὰρ ἐν τοῖς ποιήμασιν ἡ τοῦ ποιοῦντος ὁμοιότης σώζεται, οὐδὲ ἐν τοῖς γενητοῖς ὁ ἀγέννητος, οὐδὲ ἐν τοῖς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρηγμένοις ὁ ἀεὶ καὶ ὡσαύτως ὢν ὁραθήσεται.

[03465] Φαίνεται δὲ ἐν Υἱῷ·

[03466] ἔστι γὰρ εἰκὼν ἀπαράλλακτος αὐτοῦ.

[03467] Ὅμοιος οὖν κατ' οὐσίαν ἐστὶ τοῦ Πατρὸς, οὐ κτίσμα καὶ ποίημα.

[03468] Ἐπειδὴ τούτων οὐδέν ἐστιν ὁ Πατὴρ, πρὸς ὃν καὶ μεμόρφωται.

[03469] [75.252] Ἀπόδειξις ἐξ ἐπιτηρήσεων γραφικῶν, ὅτι ὡς Θεὸς οὐδὲν τῶν κτισμάτων προσκυνεῖται·

[03470] οὔτε μὴν προσκυνούμενα ἀνέχεται προσκυνεῖσθαι ἢ δοξολογεῖσθαι.

[03471] Ὁ μακάριος Πέτρος προσκυνοῦντα τὸν Κορνήλιον, διακωλύει λέγων·

[03472] Μὴ ποίει·

[03473] καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι.

[03474] Ἐκώλυσεν ἄγγελος προσκυνοῦντα τὸν Ἰωάννην ἐν τῇ αὐτοῦ Ἀποκαλύψει, λέγων·

[03475] Ὅρα μὴ σύνδουλός σου εἰμὶ, καὶ τῶν ἀδελφῶν σου τῶν προφητῶν, καὶ τῶν φυλασσόντων τοὺς λόγους τοῦ βιβλίου τούτου.

[03476] Τὸν Μανωὲ τοῦ Σαμψὼν τὸν πατέρα θυσίαν προσάγοντα, κεκώλυκεν ὁ ἄγγελος λέγων·

[03477] Καὶ ἐὰν ποιήσῃς ἔριφον, Κυρίῳ ποιήσεις αὐτόν.

[03478] Περὶ δὲ τοῦ Υἱοῦ γέγραπται·

[03479] Προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.

[03480] Ἐν τῷ Ἡσαΐᾳ γέγραπται πάλιν·

[03481] Καὶ ἐν σοὶ προσκυνήσουσι, καὶ ἐν σοὶ προσεύξονται.

[03482] Σὺ γὰρ εἶ ὁ Θεὸς, καὶ οὐκ ᾔδειμεν·

[03483] ὁ Θεὸς τοῦ Ἰσραὴλ Σωτήρ.

[03484] Εἴη δ' ἂν εἰκότως τῶν ἐξ ἐθνῶν κεκλημένων ἡ τοιαύτη φωνὴ λοιπὸν ἐπεγνωκότων Θεόν.

[03485] Εἰ δὲ τὸν Υἱὸν ἐπιγνόντες, Θεὸν ἐπέγνωσαν, καὶ ὡς Θεῷ προσκυνοῦσιν, οὐκ ἄρα κτίσμα ἐστὶν, ἵνα μὴ πάλιν κτίσματι λατρεύῃ τὰ ἔθνη παρὰ τὸν κτίσαντα.

[03486] ΑΛΛΟ.

[03487] Λέγει πρὸς τοὺς ἑαυτοῦ μαθητὰς ὁ Χριστός·

[03488] Ὑμεῖς καλεῖτέ με, ὁ Κύριος καὶ ὁ Διδάσκαλος, καὶ καλῶς λέγετε·

[03489] εἰμὶ γάρ.

[03490] Εἶτα λέγει πρὸς αὐτὸν ὁ Θωμᾶς·

[03491] Ὁ Κύριός μου, καὶ ὁ Θεός μου, καὶ οὐκ ἀπεκώλυσε ταῦτα λέγοντα τὸν μαθητὴν ὡς οἱ ἄγγελοι τοὺς ἁγίους.

[03492] Καὶ ὁ Ψαλμῳδός·

[03493] Ὁ θρόνος σου, ὁ Θεὸς, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

[03494] Ἀλλ' εἴπερ ἦν κτίσμα καὶ αὐτὸς, οὐκ ἂν προσεκυνήθη, οὐκ ἂν ἐκλήθη Κύριος, οὐκ ἂν ἠνέσχετο ἀκούων τινὸς λέγοντος·

[03495] Σὺ εἶ ὁ Θεός μου.

[03496] Ἐπειδὴ δὲ κατὰ φύσιν ταῦτά ἐστιν, ἔχων τὰ τοῦ Πατρὸς ὡς Υἱὸς καὶ γνήσιον γέννημα, καὶ ἀποδέχεται τοὺς τὰ τοιαῦτα λέγοντας, ὡς ὁμολογοῦντας τὸ ἀληθές.

[03497] ΑΛΛΟ.

[03498] Ἀντίθεσις ἀπὸ τῶν Ἀρείου δογμάτων, αἰτίαν ἔχουσα τοῦ πεποιῆσθαι τὸν Υἱὸν, ὡς αὐτοὶ νομίζουσιν ἀληθῆ, καὶ λύσις ἐφεξῆς μετὰ πι θανότητος συλλογισμῶν.

[03499] Βουλόμενος, φασὶν, ὁ τῶν ὅλων Θεὸς τὴν τῶν γενητῶν ὑποστῆσαι φύσιν, ἐπεὶ μὴ ἠδύνατο χωρεῖν αὕτη τὴν ἄκρατον αὐτοῦ δύναμιν, κτίζει πρῶτον τὸν Υἱὸν, ὃν καὶ Λόγον ὠνόμασεν·

[03500] ἵνα δι' αὐτοῦ τἄλλα γένηται μέσου γενομένου χωρεῖν ἰσχύοντα τὴν αὐτοῦ μόλις δύναμιν.

[03501] Ἄλλως τε ἦν ἄτοπον τὴν ἄφατον τοῦ Θεοῦ δύναμιν μέχρι τῶν οὕτως ἐλαχίστων φθάσαι, καὶ ἀσχολεῖσθαι καὶ περὶ τὰ οὕτω μικρά.

[03502] Πρὸς τοῦτο λύσις.

[03503] Εἰ ἀφόρητος ἦν ἡ τοῦ Θεοῦ δύναμις τῇ τῶν γενητῶν φύσει, πῶς αὐτὴν ἤνεγκεν ὁ Υἱὸς, γενητὸς ὢν καὶ αὐτὸς καὶ ἐξ οὐκ ὄντων, καθ' ὑμᾶς;

[03504] Πῶς δὲ ὑπέμεινε τὴν ἄκρατον αὐτουργίαν τοῦ Πατρὸς κτίσμα ὑπάρχων, ὥς φατε·

[03505] Ἀνάγκη γὰρ ἢ τούτου δυνηθέν [75.253] τος, πᾶσαν δύνασθαι τὴν κτίσιν·

[03506] ἢ τῆς ἄλλης ἀτονούσης κτίσεως, συνασθενεῖν καὶ αὐτὸν ὡς κτιστῆς ὄντα φύσεως.

[03507] Εἰ δὲ ἐχώρησεν ὁ Υἱὸς κτίσμα, καθ' ὑμᾶς, ὑπάρχων τὴν τοῦ Πατρὸς αὐτουργίαν, χωρήσει καὶ τἄλλα κτίσματα, καὶ περιττὴ φανεῖται λοιπὸν ἡ τοῦ Υἱοῦ γένεσις ἤτοι ποίησις, ἵνα τὰ ἄλλα κτισθῇ, ἀτονήσει δὲ καὶ τὸ ὑβρίζον σόφισμα τὸ κρεῖττον ἐν ποιήμασιν ἀπονέμον τῷ Υἱῷ·

[03508] καὶ δι' ὧν ὑπονοοῦσι τιμᾷν, ὑβρισταὶ μᾶλλον ἁλώσονται.

[03509] Τὸ γὰρ ὅλως ἐν ποιήμασι καταριθμούμενον, γενητῆς ἂν εἴη φύσεως, κἂν ἀμέτροις ὑπεροχαῖς τῶν ἄλλων φαίνηται κρεῖττον.

[03510] Εἰ δὲ ἄτοπον εἶναί φασι τὸ μέχρι τῶν ἐλαχίστων φθάσαι τὴν ἄφατον τοῦ Θεοῦ δύναμιν, δυσωπείσθωσαν ἀκούοντες λέγοντος τοῦ Χριστοῦ·

[03511] Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς;

[03512] Καὶ πάλιν·

[03513] Ἐκβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσι, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά.

[03514] Καὶ πάλιν·

[03515] Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσι, πῶς οὐχὶ μᾶλλον ὑμᾶς;

[03516] Τί δ' ἂν γένοιτο χόρτου καὶ στρουθίων εὐτελέστερον, ὧν ἐξ ἀγαθότητος ὁ Θεὸς προνοεῖ;

[03517] Εἶτα πῶς τὸ εἶναι ποιητὴς οὐκ ἂν ἀξιώσειεν, ὧν οὐ παραιτεῖται τὴν πρόνοιαν;

[03518] Ἀλλ' οὗτοι τύφον οὐκ εἰδότες προσάπτουσι τῷ Θεῷ, λέγοντες αὐτὸν οὐκ ἀξιοῦν τῶν ἐλαχίστων εἶναι ποιητήν.

[03519] Εἰ τοίνυν πάντων ἐστὶ ποιητὴς, φθάνει δὲ καὶ μέχρι τῶν ἐλαχίστων διὰ φιλανθρωπίαν τοῖς πᾶσι χωρούμενος, περιττὴ τῶν αἱρετικῶν ἡ πρόφασις διὰ τὰ μικρὰ τῶν κτισμάτων προβεβλῆσθαι λεγόντων τὸν Υἱόν.

[03520] Ἔτι εἰς τὸ Κύριος ἔκτισέ με·

[03521] ὅτι οὐ κτίσμα ὁ Υἱός.

[03522] Εἰ καθ' ὑμᾶς, ὦ θεομάχοι, διὰ τὸ μὴ δύνασθαι τὴν τῶν γενητῶν φύσιν χωρῆσαι τὴν ἄκρατον αὐτουργίαν τοῦ Θεοῦ καὶ Πατρὸς, μεσίτου χρεία γέγονε, καὶ οὕτως ἔκτισε τὸν Υἱὸν ὁ Πατὴρ, πῶς ὁ Υἱὸς γενητὸς ὢν, καθ' ὑμᾶς, ἐχώρησε τοῦ Πατρὸς τὴν δύναμιν;

[03523] Ἀνάγκη γὰρ καὶ αὐτῷ δοῦναι τὸν μεσιτεύοντα·

[03524] ἀλλὰ κἀκεῖνος, εἰ ὑπάρχοι γενητὸς, δεῖται πάλιν τοῦ μεσιτεύοντος, καὶ οὕτως εἰς ἄπειρον μεσιτῶν ὄχλον ὁ λόγος ἐκβήσεται.

[03525] Εἰκαῖον οὖν ἄρα τὸ περὶ τούτου σόφισμα, πᾶσαν ὁμοῦ τὴν δημιουργίαν ἀνατρέπον.

[03526] Οὐχ εὑρισκομένου γὰρ, μᾶλλον δὲ μὴ ζητουμένου μεσιτεύοντος, οὐκ ἂν ὑπέστη τὰ γενητά.

[03527] ΑΛΛΟ.

[03528] Τῶν ὀρθοδόξων λεγόντων·

[03529] Εἰ κτίσμα ὁ Υἱὸς, πῶς ἔχει κατὰ φύσιν τὸ εἶναι δημιουργός;

[03530] Οὐ γὰρ ἴδιον τῶν κτισμάτων τοῦτό γε·

[03531] ἀνθυπ ήνεγκαν οἱ αἱρετικοὶ τὰ ὑποτεταγμένα, ὧν αἱ λύσεις εἰσὶν ἐφεξῆς.

[03532] Ἀνθυποφορὰ ὡς ἐκ τῶν αἱρετικῶν.

[03533] Κτίσμα, φασὶν, ἔστιν ὁ Υἱὸς, καὶ τῶν γενητῶν εἷς ὑπάρχει·

[03534] τὸ δὲ κτίζειν ὡς παρὰ διδασκάλου μαθὼν ἢ τεχνίτου, ὑπηρέτησε πρὸς τὴν τῶν ἔργων χρείαν τῷ διδάξαντι Θεῷ.

[03535] [75.256] Λύσις ἐφεξῆς.

[03536] Εἰ πᾶν ὅπερ ἄν τινι φαίνοιτο συμβεβηκὸς, καὶ οὐκ ἐν τῇ φύσει κείμενον, ἐπικτηθὲν δέ πως κατά τινα τρόπον, τοῦτο καὶ ἀποσυμβῆναι δύναταί ποτε, οὕτω φύσεως ἔχοντος ἀεὶ τοῦ συμβεβηκότος, ἀποσυμβήσεταί ποτε τοῦ Υἱοῦ τὸ εἶναι δημιουργόν.

[03537] Καὶ ἔσται τοῦ ἀξιώματος ἔρημος, ἀποβαλὼν ὅπερ ἔμαθεν.

[03538] Ὁ γὰρ ὅλως ἐκ τοῦ μὴ εἰδέναι τι πρὸς τὸ εἰδέναι κεκλημένος, δέξεταί ποτε καὶ τῆς λήθης τὸ πάθος.

[03539] ΑΛΛΟ Τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγειν τὰ κτίσματα, οὐ τέχνης ἔργον ἐστὶν, ἀλλὰ δυνάμεως δημιουργικῆς.

[03540] Τέχνη μὲν γὰρ τὰ ὄντα πρὸς ἕτερόν τι μετασκευάζει·

[03541] δημιουργικὴ δὲ δύναμις τὰ μὴ ὄντα πρὸς τὸ εἶναι καλεῖ.

[03542] Εἰ τοίνυν ἀπὸ τέχνης καὶ μαθήσεως εἶναι δύναται δημιουργὸς ὁ Υἱὸς, ὁράτωσαν τί ποτε ἄρα καὶ περὶ τοῦ Πατρὸς ἐροῦσιν, εἴ τις καὶ ἐπ' αὐτοῦ ταῦτα λέγοι·

[03543] Ἀλλ' ἐρεῖς, ὅτι φύσει μὲν ὁ Πατὴρ, διδακτὸς δὲ ὁ Υἱός.

[03544] Ἔξεστιν οὖν διδακτῶς κτήσασθαί τινα τὴν φυσικὴν ἐνέργειαν τοῦ Θεοῦ, καὶ μαθόντα κτίζειν γενέσθαι τοῦτο ὅπερ ἐστὶ κατὰ φύσιν αὐτός.

[03545] Οὐδὲν οὖν ἄρα τὸ μεταξὺ Θεοῦ καὶ κτισμάτων, εἰ μὴ γνῶσις περιττὴ, καὶ φύσει μὲν πρὸς αὐτὸν οὐ διῃρήμεθα, μόνῃ δὲ τῇ γνώσει λειπόμεθα·

[03546] ἧς προστεθείσης, ἐσόμεθα πάντες κατὰ φύσιν θεοί.

[03547] Πῶς οὖν εἷς Θεὸς, εἰ ἐν μόνῳ τῷ μαθεῖν κεῖται τὸ γενέσθαι θεούς;

[03548] Εἰ δὲ πολλή τίς ἐστιν ἐν τούτοις ἡ τῶν λογισμῶν ἀτοπία, φυσικῶς ἄρα δημιουργὸς ὁ Υἱὸς, οὐ διδακτῶς, καθ' ὑμᾶς.

[03549] ΑΛΛΟ.

[03550] Ἕτερόν τί ἐστι σοφία, καὶ ἕτερον ὁ σοφός·

[03551] ἡ μὲν γὰρ σοφία αὐτὸ τὸ πρᾶγμα τὸ σοφοῦν ἐστιν, ὁ δὲ σοφὸς ὁ τοῦ σοφοῦντος δεκτικός.

[03552] Εἰ τοίνυν σοφίαν ἑαυτὸν εἶναί φησιν ὁ Υἱὸς, πῶς ἐσοφοῦτο;

[03553] Εἰ γὰρ ὅλως ἐδεῖτο μαθήσεως, οὐκ ἦν σοφία.

[03554] Καὶ εἰ συμβέβηκεν αὐτῷ τὸ σοφὸν, ἔσται ποτὲ καὶ οὐ τοιοῦτος, τοῦ συμβεβηκότος καὶ ἀποσυμβῆναι δυναμένου.

[03555] Τί οὖν ἦν ἄρα πρὸ τούτου;

[03556] σοφία γὰρ οὐκ ἦν, λειπόμενος φρονήσεως.

[03557] Ἀλλ' ἦν ἀεὶ σοφία ὁ Υἱός.

[03558] Τοῦτο γὰρ κηρύττουσιν αἱ θεῖαι Γραφαί.

[03559] Διεψευσμένον ἄρα καὶ ἀμαθὲς τὸ ἐκ μαθήσεώς τι προσγεγονέναι λέγειν αὐτῷ.

[03560] ΑΛΛΟ.

[03561] Εἰ διδακτόν ἐστι τὸ δύνασθαι δημιουργεῖν, καὶ οὕτω γέγονε δημιουργὸς ὁ Υἱὸς, φθόνου πάθος εἰσάγουσι γεγονὸς πρὸς τὸν Πατέρα, εἴ γε πολλοὺς διδάξαι δυνάμενος, ἕνα μόνον ἐδίδαξε.

[03562] Τί γὰρ ἐλύπει πολλοὺς περὶ αὐτὸν εἶναι δημιουργοὺς, ὥσπερ οὖν καὶ πολλοὺς ἀρχαγγέλους καὶ ἀγγέλους ἔχει;

[03563] Νῦν δὲ μόνος ὁ Υἱὸς τὰ τοῦ Πατρὸς ἐργάζεται.

[03564] Φυσικὸν οὖν ἄρα καὶ οὐ διδακτὸν ἐν αὐτῷ τὸ δημιουργεῖν, ἵνα καὶ φθόνου φαίνηται κρείττων ὁ Πατὴρ, οὐ διδάξας μᾶλλον, ἀλλὰ γεννήσας ἐξ ἑαυτοῦ τὸν ἕνα δημιουργὸν, δι' οὗ τὰ πάντα ἐργάζεται.

[03565] [75.257] ΑΛΛΟ, πιθανὸν ἔχον τὸ σχῆμα.

[03566] Εἰ διὰ τοῦτο, καθ' ὑμᾶς, τὸν Υἱὸν ἔκτισεν ὁ Πατὴρ, ἵνα τῆς γενητῆς φύσεως εὑρεθῇ ποιητὴ, ἐχρῆν αὐτὸν ἀργῆσαι λοιπὸν ἅπαξ τοῦ Υἱοῦ γενομένου.

[03567] Πῶς οὖν ἐργάζεται καὶ μετὰ τὸν Υἱόν;

[03568] Αὐτὸς γάρ που τοῦτό φησιν ὁ Σωτήρ·

[03569] Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι.

[03570] Εἰ τοίνυν ἐργάζεται καὶ μετὰ τὸν Υἱὸν, περιττὸς ἂν εἴη καθ' ὑμᾶς ὁ Υἱός.

[03571] Ἀλλὰ τοῦτο ἄτοπον φρονεῖν τε καὶ λέγειν.

[03572] Οὐκ ἄρα παρήχθη πρὸς τὸ εἶναι γενητὸς ὁ Υἱὸς, ἵνα τῶν ἄλλων γένηται ποιητὴς, ἀλλ' ἐκ τῆς ἀῤῥήτου τοῦ Πατρὸς οὐσίας προελθὼν, ὡς Υἱὸς, πάντα τὰ τοῦ Πατρὸς μετὰ τοῦ Πατρὸς ἐργάζεται, φυσικῶς ὑπάρχων τοῦθ' ὅπερ ἐστὶ, Θεὸς δηλονότι, καὶ διὰ τοῦτο δημιουργός.

[03573] ΑΛΛΟ.

[03574] Εἰ τῷ θείῳ βουλήματι, κατὰ τὴν θείαν Γραφὴν, ἀνθέστηκεν οὐδεὶς, ἀλλ' ἐξαρκεῖ τοῦτο καὶ μόνον, πρὸς τὴν τῶν ὅλων σύστασιν·

[03575] ἅμα γὰρ ἠθέλησέ τι, παραχρῆμα γίνεται, κατὰ τὸν λέγοντα Ψαλμῳδόν·

[03576] Πάντα ὅσα ἠθέλησεν ἐποίησε, τίς ἦν ἡ τοῦ μεσιτεύοντος χρεία;

[03577] Περιττῶς ἄρα γέγονεν ὁ Υἱός.

[03578] Ἀλλὰ τοῦτο λέγειν τῶν ἀτοπωτάτων.

[03579] Αὐτὸς ἄρα ἐστὶν ἡ ἐνούσιος καὶ ζῶσα τοῦ Πατρὸς βούλησις, δι' ἧς τὰ πάντα πρὸς τὸ εἶναι καλεῖ.

[03580] Εἶτα πῶς αὕτη πεποίηται;

[03581] Πῶς δὲ ὅλως οὐκ ἦν ἐκείνων εἰπεῖν;

[03582] ΑΛΛΟ, καὶ δριμύ.

[03583] Εἰ διὰ τοῦτό φασιν ἐκτίσθαι τὸν Υἱὸν, ἵν' ἡμᾶς δημιουργήσῃ Θεὸς δι' αὐτοῦ, ὁράτωσαν εἰς ὅσην ἀσέβειαν αὐτοῖς ὁ λόγος ἐκβήσεται.

[03584] Φαίνεται γὰρ αὐτὸς δι' ἡμᾶς γεγονὼς, καὶ οὐχ ἡμεῖς δι' αὐτόν.

[03585] Καὶ ἡμεῖς μὲν ποίημα, αὐτὸς δὲ ποιήσεως ὄργανον.

[03586] Οὐκοῦν ὁμολογείτω μὲν αὐτὸς καὶ χάριν ἡμῖν·

[03587] ὑπέστη γὰρ δι' ἡμᾶς.

[03588] Ἔσται δὲ ἡμῶν καὶ δόξα, ὥσπερ καὶ ἡ γυνὴ τοῦ ἀνδρός·

[03589] Ἡ γὰρ γυνὴ, φησὶ, δόξα ἀνδρός ἐστι·

[03590] καὶ γείτονα τίθησι τὴν αἰτίαν, λέγων·

[03591] Οὐ γὰρ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα.

[03592] Εἰ τοίνυν δι' ἡμᾶς γέγονεν ὁ Υἱὸς, καὶ οὐχ ἡμεῖς δι' αὐτὸν, ἐσόμεθα πάντως αὐτοῦ τελειότεροι, ὥσπερ οὖν καὶ Ἀδὰμ τῆς γυναικὸς τῆς δι' αὐτὸν γενομένης.

[03593] Ἀλλὰ τοῦτο ἄτοπον·

[03594] οὐκ ἄρα κτίσμα ἐστὶν ὁ Υἱὸς, οὐδὲ γέγονε δι' ἡμᾶς·

[03595] ἀλλὰ φύσει Θεὸς ὑπάρχων, ὡς ὁ Πατὴρ, τῇ οἰκείᾳ δυνάμει καὶ ἡμᾶς εἰς τὸ εἶναι παρήγαγεν.

[03596] ΑΛΛΟ, καὶ δριμύ.

[03597] Εἰ γέγονεν ὁ Υἱὸς δι' ἡμᾶς, καθάπερ ἐκεῖνοί φασιν, οὐκ ἔστιν οὐδὲ πρῶτος ἡμῶν παρὰ Θεῷ·

[03598] οὐ γὰρ ἐκεῖνον ἔχων εἰς νοῦν, ἡμᾶς ὕστερον ἐργάζεται δι' αὐτὸν, ἀλλὰ τὰ περὶ ἡμῶν ἐννοήσας, ἐκεῖνον ἐργάζεται δι' ἡμᾶς.

[03599] ΑΛΛΟ.

[03600] Εἰ δι' ἡμᾶς ἔκτισε τὸν Υἱὸν ὁ Πατὴρ, οὐ πάντως ἐκ προαιρέσεως τοῦτο ποιεῖ, ἀλλ' ὡς ἐξ ἀνάγκης δι' [75.260] ἡμᾶς.

[03601] Οὐκ ἂν οὖν ὅλως ὁ Υἱὸς ὑπέστη τῆς καθ' ἡμᾶς ἀπούσης αἰτίας, καὶ τάχα οὐδὲ κτίζειν ἤθελε τὸν Υἱὸν ὁ Πατὴρ, ἀλλὰ μόλις αὐτὸν εἰς τὸ ἐθελῆσαι προήγαγεν ἡ χρεία, καὶ γέγονε, κατ' ἐκείνους, καὶ ὑπὸ ἀνάγκην Θεός.

[03602] Φεῦγε τοῦ λόγου τὴν ἀτοπίαν.

[03603] ΑΛΛΟ.

[03604] Εἰ δι' ἡμᾶς ἔκτισε τὸν Υἱὸν ὁ Πατὴρ, γέγονε δὲ καὶ πεπλήρωται τὸ ἔργον δι' ὃ καὶ ἐκτίσθη, περιττὸς λοιπὸν ὁ Υἱὸς, ὡς ὄργανον τῆς δι' ἣν προβέβληται χρείας ἀποτελεσθείσης.

[03605] Ἄλλα πιθανὰ θεωρήματα.

[03606] Εἰ δι' ἡμᾶς ἔκτισε τὸν Υἱὸν ὁ Πατὴρ, περὶ πρώτων ἡμῶν βεβούλευται.

[03607] Εἰ δὲ περὶ πρώτων ἡμῶν ἡ σκέψις ἐγγέγονε τῷ Πατρὶ, διατί πρὸ ἡμῶν ἐκεῖνος κτίζεται ὁ ἐν βουλαῖς τελευταῖος;

[03608] Διατί δὲ πρῶτον αὐτὸν κτίσας, οὐ περὶ πρώτου καὶ ἐβουλεύετο;

[03609] διατί δὲ πάλιν πρώτους ἡμᾶς ἔχων ἐν σκέψει, ἐκεῖνον μὲν Υἱὸν καὶ κληρονόμον ἀποκαλεῖ, ἡμᾶς δὲ δούλους καὶ κλῆρον τοῦ δι' ἡμᾶς γενομένου;

[03610] Ἔδει γὰρ ἐκ τῶν ἐναντίων, ἡμᾶς μὲν Υἱοὺς καὶ κληρονόμους ὑπάρχειν·

[03611] τὸ δὲ τῆς ποιήσεως ἡμῶν ὄργανον, ὃ καὶ γέγονε δι' ἡμᾶς, δοῦλον εἶναι καὶ ὑποκείμενον.

[03612] Φεῦγε τοῦ λόγου τὴν ἀτοπίαν.

[03613] Ἐξήγησις λοιπὸν τῆς ὀρθῆς πίστεως.

[03614] Οὐ δι' ἡμᾶς γέγονεν ὁ Υἱὸς, ἀλλ' οὐδὲ γέγονεν ὅλως.

[03615] Καὶ γὰρ καὶ εἰ μὴ δόξαν ἦν τῷ Πατρὶ ποιῆσαι τὰ γενητὰ, ἦν ὁ Λόγος ἐν αὐτῷ, καὶ Θεὸς ἦν ὁ Λόγος, ὡς γέγραπται.

[03616] Τὰ μέν τοι κτιζόμενα πάντως ἔδει γενέσθαι δι' αὐτοῦ.

[03617] Ὅνπερ γὰρ τρόπον οὐκ ἂν ἑτέρως φωτίσαι τὸ φῶς, εἰ μὴ διὰ τοῦ ἰδίου ἀπαυγάσματος·

[03618] οὕτως οὐκ ἄν τι τῶν ὄντων ἐργάσαιτο Πατὴρ, εἰ μὴ διὰ τοῦ οἰκείου Λόγου.

[03619] Πάντα γὰρ, φησὶ, δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν.

[03620] Διὰ τοῦτο καὶ δεξιὰ καὶ βραχίων ὀνομάζεται Θεοῦ.

[03621] Πάντα γὰρ δι' αὐτοῦ, ὡς διὰ χειρὸς, ἐργάζεται.

[03622] Ἐπιτήρησις ἀπὸ τῆς θείας Γραφῆς, καλὴ καὶ ἐπωφελής.

[03623] Εἶπε, φησὶν, ὁ Θεός·

[03624] Γενηθήτω φῶς, γενηθήτω στερέωμα, γενηθήτωσαν φωστῆρες·

[03625] καὶ ἐγένετο οὕτως.

[03626] Εἶπε·

[03627] Ποιήσωμεν ἄνθρωπον·

[03628] καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον.

[03629] Ἀλλ' ἐν τούτοις ἅπασιν οὐδαμοῦ φαίνεται λόγος ὡς ἐξ Υἱοῦ πρὸς τὸν Πατέρα μανθάνειν ἐθέλοντος ὁποῖά τινα χρὴ γενέσθαι τὰ κτιζόμενα·

[03630] ἀλλ' ἡ φωνὴ τὸ ἔργον γίνεται.

[03631] Εἰ δὲ λόγῳ τὰ ἔργα γίνεται κατὰ τὴν βουλὴν τοῦ Πατρὸς, ὁ Λόγος ἄρα ἐστὶν ἡ βουλὴ τοῦ Πατρὸς ἡ ζῶσα καὶ ἐνούσιος, αὐτή τε οὖσα ἐν Πατρὶ, καὶ ἔχουσα αὐτὸν ἐν αὐτῇ Ἐπιτήρησις ὁμοίως, ἐξ ἧς μανθάνομεν ὅτι καὶ ἀγγέλοις καὶ ἁγίοις προφήταις ἔθος ἐστὶν ἐπι ταττομένοις, παρὰ Θεοῦ, καὶ ἐρωτήσεις ἀγνοοῦ σιν ἔσθ' ὅτε τὸ ἐπιταττόμενον.

[03632] Ὁ δὲ τοῦ Θεοῦ Λόγος οὐχ οὕτως ἐδείχθη ποιῶν.

[03633] Τῷ Ἀβραὰμ υἱὸν ἐπηγγέλλετο ὁ Θεὸς, καὶ αὐτὸς [75.261] ἔφασκε·

[03634] Κατὰ τί γνώσομαι τοῦτο;

[03635] Ἀπεστέλλετο Μωσῆς καί φησιν·

[03636] Ἐὰν ἐρωτήσωσί με, Τί ὄνομα αὐτῷ;

[03637] τί ἐρῶ πρὸς αὐτούς;

[03638] Καὶ ὁ ἄγγελος δὲ ὁ ἐν τῷ Ζαχαρίᾳ διηρώτα Θεὸν, λέγων·

[03639] Κύριε παντοκράτωρ, ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλήμ;

[03640] Καὶ πάλιν ἐκδέχεται ἄχρις ἂν ἀκούσῃ λόγους καλοὺς καὶ παρακλητικούς.

[03641] Καὶ ὁ Ἀββακοὺμ δέ φησιν·

[03642] Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, καὶ ἐπιβήσομαι ἐπὶ πέτραν, καὶ ἀποσκοπεύσω τοῦ ἰδεῖν τί λαλήσει ἐν ἐμοὶ ὁ Θεός.

[03643] Ταῦτα γὰρ ὡς δοῦλα καὶ ποιήματα, καὶ τῆς τοῦ λόγου μεσιτείας δεόμενα, ἠξίου παρ' αὐτοῦ διδάσκεσθαι τὴν βουλὴν τοῦ Πατρός.

[03644] Ὁ δὲ Υἱὸς μανθάνειν οὐκ ἐπιζητεῖ Λόγος ὢν τοῦ Πατρὸς καὶ ἐνούσιος βούλησις.

[03645] Οὐκ ἄρα ἐκ μαθήσεως ἔχει τὸ εἶναι δημιουργὸς, ἀλλ' οὐσιωδῶς τε καὶ φυσικῶς.

[03646] Ἔτι εἰς τὸ, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐ τοῦ.

[03647] Ὅτι οὐ κτίσμα ὁ Υἱὸς, ἀλλὰ τῷ Πατρὶ συναΐδιος.

[03648] Ὅπως δὲ χρὴ νοεῖν τὸ, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, ἐκ τῶν ἐφεξῆς κειμένων εἰσόμεθα.

[03649] Πρῶτον μὲν ἐκεῖνο χρὴ λέγειν, ὅτι τὰ παροιμιωδῶς λεγόμενα δοκεῖ μέν τι σημαίνειν κατὰ τὸν πρόχειρον νοῦν, ἔχει δὲ οὐχ οὕτως ὡς λέγεται, ἀλλ' ἑτέραν ὠδίνει διάνοιαν.

[03650] Καὶ γοῦν ἔφασκεν ὁ Σωτὴρ πρὸς τοὺς ἑαυτοῦ μαθητάς·

[03651] Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν·

[03652] ἔρχεται δὲ ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παῤῥησίᾳ, ὡς τῆς παροιμίας οὐκ ἐχούσης τὴν παῤῥησίαν.

[03653] Τὸ τοίνυν ἔκτισέ με, ἡ σοφία γυμνότερον λέγουσα, τίθησι πάλιν τοιαύτην τινὰ φωνήν·

[03654] Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον.

[03655] Εἰ τοίνυν ἡ σοφία μὲν ἔστιν ὁ τοῦ Θεοῦ Λόγος, ἑαυτῇ δὲ τὸν οἶκον οἰκοδομεῖ, ποῦ τὸ ἔκτισέ με χωρήσει, πιθανῶς ζητητέον.

[03656] Ἔστι τοίνυν ὁ τοῦτο λέγων Χριστὸς, ὡς ἤδη τεχθεὶς καὶ γενόμενος ἄνθρωπος·

[03657] ἐφ' οὗ τὸ, ἔκτισέ με, ἀδυσφημήτως κείσεται, καθὸ ἄνθρωπος.

[03658] Γέγονε δὲ τῆς σοφίας οἶκος ὑπ' αὐτῆς κατεσκευασμένος τὸ σῶμα τοῦτο τὸ κοινὸν τὸ ἐκ τῆς ἁγίας Παρθένου τεχθὲν, ἐν ᾧ εὐδόκησε κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, κατὰ τὴν τοῦ Παύλου φωνήν.

[03659] Οὐκοῦν ἐπειδήπερ ὁ Λόγος σὰρξ ἐγένετο, τίθησι περὶ αὐτοῦ τὸ, ἔκτισέ με, ἡ θεία Γραφὴ, καθὸ γέγονε σάρξ·

[03660] καὶ οὕτως νοεῖσθαι χρὴ τὸ λεγόμενον.

[03661] ΑΛΛΟ, Ὅτι τὸ, ἔκτισέ με, μόνον κείμενον, οὐ πάντως τὴν αἰτίαν σημαίνει, ἀλλὰ τὴν ἀπό τινος ἤτοι κατασκευῆς ἢ πράγματος εἰς ἕτερόν τι μετάστασιν.

[03662] Ἔστω δὲ, εἰ βούλει, τὸ, ἔκτι σεν, ἀδιορίστως ἐπὶ Χριστοῦ.

[03663] Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ·

[03664] εἴ τις ἀκριβῶς ἐθέλοι τὸ γεγραμμένον νοεῖν, εὑρήσει τὸ, ἔκτισεν, ἐνθάδε οὐ τοῦ Λόγου τὴν οὐσίαν σημαῖνον ὡς πεποιημένην, ἀλλ' ἑτέραν τινὰ διάνοιαν ὀρθήν.

[03665] Λέγεται γὰρ κτίζεσθαι καὶ τὰ ὄντα τε ἤδη, καὶ τὰ μήπω γενόμενα.

[03666] Τὸ δὲ ὑπάρχον ἤδη, πῶς ἂν λέγοιτο κτίζεσθαι, καὶ ἀρχὴν ἑτέραν λαμβάνειν, ἀκόλουθον ἰδεῖν.

[03667] Ἐπὶ μὲν γὰρ τῶν οὔπω γεγονότων εἰ τεθείη τὸ, ἔκτισεν, εὐλόγως ἂν τὴν ἐκ τοῦ [75.264] μὴ ὄντος εἰς τὸ εἶναι σημαίνοι παραγωγήν·

[03668] ἐπὶ δὲ τῶν ὄντων ἤδη καὶ τῶν κτίζεσθαι κατὰ τὸ εἶναι μὴ δεομένων, οὐκέτι τὴν οὐσίαν σημαίνει, ἀλλὰ τὴν ἔκ τινος ἑτέρου πρὸς ἕτερόν τι μετάστασιν.

[03669] Ὡς ὅταν λέγῃ Δαβίδ·

[03670] Καὶ λαὸς ὁ κτιζόμενος, αἰνέσει τὸν Κύριον.

[03671] Καὶ πάλιν·

[03672] Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός.

[03673] Ὁ δὲ Παῦλός φησί που περὶ Χριστοῦ·

[03674] Τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον.

[03675] Καὶ πάλιν·

[03676] Ἐνδύσασθε τὸν νέον ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας.

[03677] Καὶ οὐ δή που λαὸν μέν τινα κατ' οὐσίαν κτιζόμενον ἐσήμαινεν ὁ Δαβίδ·

[03678] ἀλλὰ τὸν ἐκ πλάνης εἰς ἐπίγνωσιν Θεοῦ μετατιθέμενον λέγει.

[03679] Ἐν ἑαυτῷ δὲ κτίζεσθαι καρδίαν οὐχ ἑτέραν παρ' ἣν εἶχεν ἠξίου, ἀλλ' εἰς καθαρότητα αὐτὴν μεταποιεῖσθαι παρεκάλει.

[03680] Ὁ δέ γε σοφώτατος Παῦλος, οὐ δύο τινὰς ἀνθρώπους εἰς ἑνότητα φυσικὴν ἀνακτίζεσθαι λέγει διὰ Χριστοῦ, ὡς ἀρχὴν τοῦ εἶναι λαμβάνοντας·

[03681] ἀλλὰ τούς τε ἐξ Ἰσραὴλ καὶ τοὺς ἐξ ἐθνῶν εἰς καινότητα γνώμης μεταποιηθήσεσθαι λέγει·

[03682] τοὺς μὲν κατὰ νόμον λατρείας, τοὺς δὲ τῆς συντρόφου πλάνης ἐπιλαθομένους.

[03683] Καὶ πάλιν ἐνδύσασθαι πᾶσιν ἡμῖν ἐπιτάττει τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα.

[03684] Καὶ δῆλόν ἐστιν ὡς οὐκ ἄνθρωπόν τινα κατ' οὐσίαν γεγονότα σημαίνει, ὃν ἐνδύσασθαι χρὴ, ἀλλὰ τὸν κατ' ἀρετὴν βίον καὶ τὸν τῆς προαιρέσεως ἀνακαινισμόν.

[03685] Εἰ τοίνυν τὸ κτίζεσθαι οὐ πάντως τὴν οὐσίαν δηλοῖ, ποῖον ἂν ἔχοι λόγον, ἢ πῶς οὐκ ἀνόητον ἐπὶ μὲν τῶν ὄντως κτισμάτων ὀρθῶς τὸ γεγραμμένον ἐκδέχεσθαι, ἐπὶ δὲ τοῦ Θεοῦ Λόγου, ἐφ' ᾧ δὴ μάλιστα τοῦτο φυλάττεσθαι χρὴ, σαθρὰ νοοῦντας εὑρίσκεσθαι;

[03686] Κύριος γὰρ, φησὶν, ἔκτισέ με·

[03687] καὶ οὐ μέχρι τοῦ, ἔκτισέ με, τοῦ λόγου τὴν δύναμιν ἵστησιν, ἀλλὰ προστίθησιν, ὅτι ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ ἔκτισε, καὶ οὐκ εἰς τὸ εἶναι παραγαγὼν, ἀλλ' ἔκτισεν ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ·

[03688] ὅπερ οὕτω νοήσεις.

[03689] Ἡ κατὰ νόμον πολιτεία ἐτετίμητο μὲν παρὰ τοῖς Ἰουδαίοις, παρὰ δὲ τοῖς ἔθνεσιν οὐδ' ὅλως ὁ κατὰ δικαιοσύνην βίος ἐγινώσκετο.

[03690] Γέγονε τοίνυν, ἤτοι ἐκτίσθη, σὰρξ ὁ τοῦ Θεοῦ Λόγος, τουτέστιν ἄνθρωπος, ἵνα καὶ ἀρχὴ τῶν ὁδῶν τοῦ Κυρίου καὶ τῶν ἔργων αὐτοῦ πᾶσιν εὑρεθῇ.

[03691] Ἐν γὰρ πρώτῳ Χριστῷ ὁ εὐαγγελικὸς ἀνέλαμψε βίος.

[03692] Ὁδοὺς δὲ καὶ ἔργα Κυρίου, τί χρὴ νοεῖν ἕτερον, ἢ πάντως τὰς ἐντολὰς αὐτοῦ;

[03693] ἅσπερ ἐπιτελοῦντες καὶ ἐργαζόμενοι, ὥσπερ διὰ πολλῶν καὶ ποικίλης ὁδοῦ βαδίζομεν πρὸς αὐτόν.

[03694] Ὅτι δὲ τὰ ἔργα τὸν ἐξαίρετον σημαίνει βίον, καὶ τὰ προστάγματα τοῦ Θεοῦ, ἄκουε τί φησιν ἡ θεία Γραφή·

[03695] Οὐαὶ οἱ ποιοῦντες τὰ ἔργα Κυρίου ἀμελῶς.

[03696] Ὁ δὲ μακάριος Δαβὶδ, ὁδοὺς εἶναι λέγων τὰς ἐντολὰς, ἀναφθέγγεται·

[03697] Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με.

[03698] Ἄλλως τὸ αὐτό.

[03699] Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.

[03700] Τὸ, ἔκτισεν, οὐ κατὰ τῆς οὐσίας τοῦ [75.265] Λόγου θετέον·

[03701] δύσφημον γὰρ ὄντως καὶ ἀσεβὲς, τὸν ἀεὶ καὶ ὡσαύτως ὄντα μετὰ Πατρὸς, νῦν ἐκτίσθαι λέγειν Νοήσεις δὲ οὕτω πιθανώτερον·

[03702] Ἔκτισέ με, φησὶν, ἀρχὴν ὁδῶν αὐτοῦ.

[03703] Ὁδοὺς ἐνθάδε φησὶ, τόν τε νομοθέτην Μωσέα καὶ τοὺς προφήτας, ἐφ' οὓς ἀρχή τις ὥσπερ καὶ ἐξουσία τέτακται Χριστός·

[03704] μετασκευάζων εἰς τὴν τῶν εὐαγγελικῶν κηρυγμάτων καινότητα τὰ παρ' ἐκείνων εἰρημένα, καὶ τοῦτο ἐξουσιαστικῶς.

[03705] Ὁ μὲν γὰρ νόμος φησίν·

[03706] Οὐ πορνεύσεις, ὁ δὲ Χριστός·

[03707] Ἐγὼ δὲ λέγω ὑμῖν·

[03708] Οὐκ ἐπιθυμήσεις.

[03709] Ὁδοὺς δὲ τοὺς ἁγίους ἐκάλεσεν ὡς δυναμένους ἀποφέρειν διὰ νουθεσίας πρὸς Θεόν.

[03710] Οὕτω νοήσεις τὸ παρὰ τῷ Ἱερεμίᾳ κείμενον·

[03711] Στῆτε ἐπὶ ταῖς ὁδοῖς, καὶ ἐρωτήσετε τρίβους Κυρίου αἰωνίους, καὶ μάθετε ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθὴ, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἁγνισμὸν ταῖς ψυχαῖς ὑμῶν.

[03712] Καὶ ἔστι δῆλον ὡς οὐ περὶ τούτων φησὶ τῶν ὁδῶν τῶν κατὰ συνήθειαν νοουμένων.

[03713] Πῶς γὰρ ἄν τις αὐτὰς ἐρωτήσειε;

[03714] Πῶς δὲ παρ' ἐκείνων μαθήσεται;

[03715] Εἰ δέ τις ἐπὶ τοὺς ἁγίους ἀγάγοι τὸν λόγον, εὑρήσει τὸ ἐκ τοῦ νοήματος χρήσιμον.

[03716] Εἰ γάρ τις ὥσπερ τισὶν ὁδείαις, τοῖς ἁγίοις προφήταις ἐπιστήσαι τὸν νοῦν, μὴ παρατρεχόντως αὐτοῖς ὁμιλῶν, ἀλλ' ἐξάγων ἀκριβῶς τῶν γεγραμμένων ἐν αὐτοῖς τὴν διάνοιαν, μαθήσεται τὴν ὁδὸν τὴν ἀγαθὴν, τουτέστι, τὸν λέγοντα Χριστόν·

[03717] Ἐγώ εἰμι ἡ ὁδός.

[03718] Δι' αὐτῆς ἁγνισθήσεται τῶν ἁμαρτιῶν τὴν ἄφεσιν κακιζόμενος.

[03719] Ἔκτισεν οὖν με, φησὶ, τουτέστι, πεποίηκεν ἐπὶ νόμον καὶ προφήτας ἀρχὴν ἤτοι ἐξουσίαν, οὐ τὰ ἐκείνων πάντως ἱστῶντα ῥήματα τυπικὰ, ἀλλ' εἰς ἔργα αὐτοῦ νομοθετοῦντα τὰ βελτίονα.

[03720] Ὅτι δὲ τὸ, ἔκτισεν, οὐ πάντως τὴν οὐσίαν δηλοῖ, ἀρκούντως ἤδη προείρηται.

[03721] Ἄλλως τὸ αὐτό.

[03722] Κύριος ἔκτισέ με, ὅμοιον ὥσπερ ἂν εἰ καὶ λέγοι·

[03723] Ὁ Πατήρ μοι σῶμα κατηρτίσατο, καὶ οἷον ἄνθρωπόν με ἔκτισεν ὑπὲρ τῆς ἀνθρώπων σωτηρίας.

[03724] Ὥσπερ γὰρ Ἰωάννου μὲν λέγοντος·

[03725] Ὁ Λόγοςσὰρξ ἐγένετο, Παύλου δὲ γράφοντος περὶ Χριστοῦ·

[03726] Ὅτι γέγονεν ὑπὲρ ἡμῶν κατάρα, καὶ πάλιν·

[03727] Τὸν μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, οὔτε τὸν Λόγον εἰς σάρκα μεταπεποιῆσθαι πιστεύομεν, οὔτε μὴν αὐτὸ κατάραν ἢ ἁμαρτίαν ὄντως φαμὲν γενέσθαι Χριστὸν, ἀλλ', οὕτω λεγούσης τῆς θείας Γραφῆς, νοοῦμεν εὐσεβῶς·

[03728] τὸν αὐτὸν δὴ τρόπον, εἰ λέγοι περὶ ἑαυτοῦ τὸ, Ἔκτισέ με, ὁ τοῦ Θεοῦ Λόγος, ἀντὶ τοῦ, Ἄνθρωπον ἐποίησε, νοητέον, καὶ μὴ κατὰ τῆς οὐσίας αὐτοῦ τὸ εἰρημένον ἐκδεχώμεθα.

[03729] ΑΛΛΟ, ὅτι οὐ κτίσμα ὁ Θεὸς Λόγος.

[03730] Εἰ γέννημά ἐστι τοῦ Πατρὸς ὁ τοῦ Θεοῦ Λόγος, καὶ οὕτω καλεῖται παρὰ τῇ θείᾳ Γραφῇ, πῶς ἂν εἴη καὶ κτίσμα;

[03731] Ἀνάγκη γὰρ αὐτὸν δυοῖν εἶναι θάτερον·

[03732] ἢ γὰρ γέννημα ὑπάρχων, τὸ εἶναι κτίσμα δια [75.268] φεύξεται, ἢ ποίημα καὶ κτίσμα καθ' ὑμᾶς ὢν, οὐκ ἂν εἴη γέννημα.

[03733] Οὐδεὶς γὰρ πώποτε τὸ ἑαυτοῦ ποίημα γέννημα καὶ υἱὸν ἀποκαλεῖ.

[03734] Ἐπειδὴ δὲ γέννημά ἐστιν, Υἱὸς ἄρα καὶ οὐ ποίημα νοηθήσεται.

[03735] ΑΛΛΟ, εἰς τὸ αὐτό.

[03736] Μονογενῆ τὸν τοῦ Θεοῦ Λόγον αἱ θεῖαι καλοῦσι Γραφαί.

[03737] Εἰ τοίνυν τοῦτό ἐστι, πῶς ἂν νοοῖτο κτίσεσθαι κατ' οὐσίαν εἰς ἑτέρων ἀρχὴν, ἃς ὁδοὺς ἐκάλεσεν ὁ Παροιμιαστής;

[03738] Εἰ γὰρ ὅλως ἑτέροις συντέτακται καὶ τινών ἐστιν ἀρχὴ, μέρος ἂν εἴη τοῦ παντὸς σώματος, καὶ οὐκ ἔσται μονογενὴς, ὁ πολλοὺς ἔχων τοὺς ἐφεξῆς, ὧν ἑαυτὸν καὶ ἀρχὴν ἐκτίσθαι φησίν.

[03739] Εἰ γὰρ καὶ πρῶτος ἐκτίσθη τῶν ἄλλων, ἀλλ' οὐκ ἔσται διὰ τοῦτο μόνος.

[03740] Ἡ γάρ τινος ἀρχὴ, κἂν προτερεύῃ τῶν μεθ' ἑαυτὴν διὰ τὸν χρόνον, ἔσται πάλιν αὐτοῖς ἐναρίθμιός τε καὶ συγγενής.

[03741] Γέγονε γοῦν ὁ Ῥουβὶμ ἀρχὴ τέκνων Ἰακὼβ, ἀλλ' οὐ διὰ τοῦτο μονογενὴς, οὐδὲ τῆς τῶν μεθ' ἑαυτὸν οὐσίας ἀλλότριος.

[03742] Εἰ τοίνυν ἀρχή τινων ὁ Λόγος ἐκτίσθη, οὔτ' ἂν εἴη μονογενὴς, οὔτε μὴν κατὰ τὸν τῆς φύσεως λόγον ἐκείνων ἀπεξενωμένος ὧν ἐστιν ἀρχὴ, οὕτω τε τοῖς κτίσμασι συνταχθήσεται.

[03743] Καὶ ψεύσεται μὲν ὁ Πατὴρ Υἱὸν αὐτὸν ἀποκαλῶν·

[03744] ψεύσεται δὲ καὶ ὁ μακάριος Ἰωάννης, λέγων·

[03745] Ἐν ἀρχῇ ἦν ὁ Λόγος.

[03746] Πῶς γὰρ ἦν, εἰ γέγονε;

[03747] Πῶς δὲ Θεὸς ἦν ὁ Λόγος, εἰ κτίζεται;

[03748] Πῶς δ' ἂν εἴη καὶ Κύριος ὁ μετὰ τῶν ἄλλων ὡς δοῦλος πεποιημένος, καὶ μέρος ὢν τῆς πάσης κτίσεως;

[03749] Ἀλλὰ τοῦτο ἄτοπον·

[03750] τὸ ἔκτισεν ἄρα κατὰ τῆς οὐσίας οὐ κείσεται ΑΛΛΟ.

[03751] Εἰ κατ' οὐσίαν ἐκτίσθη, καθ' ὑμᾶς, ὁ Υἱὸς ἀρχὴ τῶν ἐφεξῆς ὑπάρχων, ὡς γέγραπται, πῶς ἔχει τὸ δύνασθαι δημιουργεῖν, πῶς δὲ τῶν ἄλλων γέγονε ποιητής;

[03752] Ἀνάγκη γὰρ τήν τινος ὑπάρχουσαν ἀρχὴν τῆς αὐτῆς οὐσίας εἶναι τῷ παντὶ, οὗ καὶ ἔστιν ἀρχή.

[03753] Εἰ τοίνυν κτίσμα ὢν ὁ Υἱὸς ἔχει καὶ δύναμιν δημιουργικὴν, ἕξει τοῦτο καὶ τὰ ἄλλα κτίσματα, εἰ καὶ γέγονε δι' Υἱοῦ, καὶ αὐτὰ φύσιν ἔχοντα δημιουργικήν.

[03754] Οὐδὲν οὖν ἐν Θεῷ τὸ πλέον παρὰ τὰ κτίσματα.

[03755] Εἰ δὲ οὐκ ἔστιν ἀρχὴ τῶν ἄλλων κτισμάτων ὡς ποίημα καὶ αὐτός·

[03756] Υἱὸς ἄρα καὶ μονογενής ἐστιν.

[03757] ΑΛΛΟ, τὸ αὐτὸ διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς.

[03758] Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.

[03759] Εἴ τις φιλονεικότερον ἐξετάζειν ἐθελήσαι τὸ εἰρημένον, κακοτρόπως ἐρεῖ·

[03760] Εἰ πρῶτος ἐκτίσθη, καὶ ἀρχὴ γέγονε καθ' ὑμᾶς, πῶς εἰς τὰ ἔργα κτίζεται;

[03761] Οὐ γὰρ εἴρηκεν·

[03762] Ἔκτισέ με Κύριος, ἵνα ποιήσω τὰ ἔργα αὐτοῦ, ἀλλ' εἰς ἔργα αὐτοῦ.

[03763] Ὡς γὰρ ἤδη συνεστώτων τῶν ἔργων, ἐκτίσθαι φησὶν εἰς αὐτά.

[03764] Εἰ δὲ τοῦτο, πῶς ἔτι πρῶτός ἐστιν ὁ μετ' ἐκεῖνα δεύτερος;

[03765] Πῶς δ' ἂν εἴη τῶν ἄλλων ἀρχὴ ὁ ἐπ' αὐτοῖς γεγενημένος;

[03766] Πῶς δὲ πάντα δι' [75.269] αὐτοῦ ἐγένετο, εἰ αὐτὸς μετ' ἐκεῖνά ἐστιν;

[03767] Εἰ δὴ τοῦτο νοεῖν οὐ θέμις, τὸ ἔκτισεν οὐ κατὰ τῆς οὐσίας τοῦ Θεοῦ Λόγου τεθήσεται, ἀλλ' εὐσεβῶς νοηθήσεται παρ' ἡμῶν, εἰς τὸν περὶ τῆς ἐνανθρωπήσεως λόγον ἀνατρέχοντος τοῦ νοήματος.

[03768] ΑΛΛΟ.

[03769] Ὡς ἐξ ἀντιθέσεως τῶν αἱρετικῶν.

[03770] Κύριον, φασὶ, τὸν Πατέρα καλεῖ·

[03771] οὕτως οἶδεν ἑαυτὸν κτιστῆς ὄντα φύσεως.

[03772] Πάντα γὰρ τὰ γενητὰ, δοῦλα τοῦ ποιήσαντος Θεοῦ.

[03773] Πρὸς τοῦτο λύσις.

[03774] Ἀλλ' ὥσπερ Κύριον, οὕτω καὶ Πατέρα καλεῖ.

[03775] Καὶ εἰ δι' ἐκεῖνο δοῦλον οἶδεν ἑαυτὸν, οἶδεν ἄρα καὶ διὰ τοῦτο Υἱόν.

[03776] Εἰ δὲ Υἱὸς, οὐ κτίσμα τοῦ γεννῶντος εἰκότως ἂν λέγοιτο, ἀλλ' ἐκ τῆς οὐσίας αὐτοῦ προελθὼν ὁμολογεῖται.

[03777] Οὐκοῦν ἔστι μὲν Υἱὸς κατὰ φύσιν·

[03778] ὅτε δὲ δι' ἡμᾶς τὴν τοῦ δούλου μορφὴν ὑποδὺς γέγονεν ἄνθρωπος, τότε καὶ Κύριον τὸν Πατέρα καλεῖ.

[03779] Ὥσπερ γὰρ Υἱὸς ὢν κατὰ φύσιν ἀληθεύει Πατέρα καλῶν τὸν Θεὸν, οὕτως ὅτε τὴν τοῦ δούλου μορφὴν ἀναλαβεῖν οὐ παρῃτήσατο, πρεπόντως καὶ καλῶς ἀποκαλεῖ Κύριον τὸν Πατέρα.

[03780] Καὶ ταύτην οἶδεν αὐτὸς τὴν διαφορὰν, λέγων·

[03781] Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς.

[03782] Ἰδοὺ Πατέρα μὲν ἑαυτοῦ φησιν εἶναι τὸν Θεὸν, Κύριον δὲ τῶν τε ἐν τοῖς οὐρανοῖς καὶ τῶν ἐπὶ τῆς γῆς.

[03783] Ἀλλ' εἴπερ ἦν καὶ αὐτὸς ὥσπερ ἐκεῖνα γενητὸς, οὐκ ἂν ἑαυτῷ κλῆρον ὥσπερ ἐξαίρετον τὴν τοῦ Υἱοῦ τάξιν ἐτήρησε, πάντα τὰ ἄλλα τῷ ζυγῷ τῆς δουλείας ὑποθείς.

[03784] Ἐν γὰρ τῷ λέγειν·

[03785] Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, οὐδὲν ἀφῆκεν ἐλεύθερον, εἰ μὴ μόνον ἑαυτὸν ὡς Υἱὸς Πατέρα καλέσας τὸν Θεόν.

[03786] ΑΛΛΟ.

[03787] Ὡς ἐξ ἀντιθέσεως τῶν αὐτῶν.

[03788] Κύριον, φασὶν, ἑαυτοῦ τὸν Πατέρα καλεῖ.

[03789] Ἀλλ' εἴπερ ἦν Υἱὸς κατὰ φύσιν, οὐκ ἂν εἶπε Κύριον.

[03790] Πρὸς τοῦτο λύσις.

[03791] Πῶς οὖν ἡμεῖς δοῦλοι κατὰ φύσιν ὄντες (ἄνθρωποι γὰρ), Πατέρα καλοῦμεν τὸν Θεόν;

[03792] Εἰ γὰρ διὰ τὸ εἰπεῖν αὐτὸν Κύριον, οὐκ ἔσται γέννημα, καθ' ὑμᾶς, ὁ Υἱὸς, οὐδὲ ἡμεῖς ἐσόμεθα κατὰ φύσιν ποιήματα, Πατέρα καλοῦντες τὸν ποιητήν.

[03793] Εἰ δὲ ἡμᾶς οὐκ ἔξω τοῦ πεποιῆσθαι τίθησιν ἡ χάρις ἐπιτρέπουσα Πατέρα καλεῖν τὸν Δεσπότην, οὐδὲ ὁ Υἱὸς ἀποπεσεῖται τοῦ εἶναι κατὰ φύσιν Υἱὸς, διὰ τὴν χρείαν καὶ τὸ πρέπον τῇ καθ' ἡμᾶς οἰκονομίᾳ Κύριον ἀποκαλῶν τὸν γεννήσαντα.

[03794] Ἐπεδήμησε γὰρ ὁ τοῦ Θεοῦ Λόγος, ἵνα εἰς ἑαυτὸν ἀναλαβὼν τὰ ἀνθρώπινα, τὰ ἑαυτοῦ τῇ φύσει χαρίσηται.

[03795] Καὶ τοῦτο δεικνύει λέγων·

[03796] Πορεύομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.

[03797] Δίδωσι μὲν γὰρ τῇ ἀνθρώπου φύσει τὸ ἑαυτοῦ, Πατέρα καλεῖν ἐπιτρέπων αὐτῇ τὸν Θεόν.

[03798] Ἀναλαμβάνει δὲ αὐτὸς τὰ τῆς ἀνθρωπότητος ἴδια, Θεὸν ἑαυτοῦ τὸν Πατέρα καλῶν.

[03799] Ἀλλ' οὔτε [75.272] ἡμεῖς ἀρνησόμεθα τὴν κατὰ φύσιν δουλείαν Πατέρα καλοῦντες τὸν Θεὸν, οὔτε μὴν ὁ Υἱὸς ἀπολέσει τὸ κατὰ φύσιν ἀξίωμα, ἡμῖν ἑαυτὸν διὰ τὸ χρήσιμον ἐξομοιῶν.

[03800] ΑΛΛΟ.

[03801] Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.

[03802] Οὐ διὰ τοῦτο κτιστῆς ἔσται φύσεως ὁ Υἱὸς, οὐδὲ ποίημα κατ' οὐσίαν νοηθήσεται·

[03803] οὐ γὰρ ἁπλῶς ἐκτίσθαι φησὶν, ἀλλ' εἰς ἔργα καὶ εἰς ἀρχὴν ὁδῶν αὐτοῦ.

[03804] Προκειμένης δὲ τῆς αἰτίας, δι' ἣν ἐκτίσθαι φησὶ, πρόδηλον ἂν εἴη ὡς οὐ τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι κίνησιν αὐτοῦ σημαίνει, ἀλλὰ τὴν ἀπό τινος εἰς ἕτερόν τι μετάστασιν.

[03805] Ἦν μὲν γὰρ ἐν ἀρχῇ ὁ Λόγος, γεγονὼς δὲ σὰρξ, κατὰ τὴν Ἰωάννου φωνὴν, ἀρχὴ πάσης ὁδοῦ γέγονεν ἡμῖν ἀγαθῆς.

[03806] Ὢν οὖν ὁ Λόγος ἀεὶ, καθὸ γέγονεν ἄνθρωπος, ἐκτίσθαι φησὶν ἑαυτὸν εἰς τὰ ἔργα τοῦ Πατρός.

[03807] Ἐπιτηρήσεις ἀπὸ τῆς θείας Γραφῆς, ὅτι ὅτε τὴν ἐκ Πατρὸς γέννησιν ἑαυτοῦ σημαίνει ὁ Υἱὸς, ἢ ἕτερός τις τῶν ἁγίων περὶ αὐτοῦ, οὐ προστί θησιν αἰτίαν.

[03808] Οὐ γὰρ διατί Θεὸς ὑπάρχει, ἢ ἐκ τοῦ Πατρὸς ἐγεννήθη.

[03809] Ὅτε δὲ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν αὐτοῦ σημαίνουσιν αἱ Γραφαὶ καὶ τὴν διὰ τῆς Παρθένου γέννησιν, εὐθὺς καὶ τὴν αἰ τίαν συνάπτουσιν, ἵνα μάθωμεν ὅτιπερ ὁ ὢν ἀεὶ τοῦ Θεοῦ Λόγος, διὰ τίνα χρείαν γέγονεν ἄνθρωπος, οὐκ ἀρχὴν τοῦ εἶναι τότε λαβὼν, ἀλλ' εἰς τὴν τοῦ δούλου μορφὴν ὅσον εἰς τὸ σχῆμα μεταποιούμενος, καὶ κατὰ τοῦτο πε ποιῆσθαί τε καὶ ἐκτίσθαι νοούμενος.

[03810] Ἐν ἀρχῇ ἦν ὁ Λόγος, οὐκ ἔχει τὴν αἰτίαν·

[03811] καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, οὐκ ἔχει τὴν αἰτίαν·

[03812] καὶ Θεὸς ἦν ὁ Λόγος, οὐκ ἔχει τὴν αἰτίαν.

[03813] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί.

[03814] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.

[03815] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.

[03816] Ἐγώ εἰμι τὸ φῶς.

[03817] Ἐγώ εἰμι ἀλήθεια.

[03818] Ὅς ὢνἀπαύγασμα καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ·

[03819] ταῦτα πάντα τοῦ Υἱοῦ τὴν οὐσίαν σημαίνοντα, τὴν αἰτίαν οὐκ ἔχει δι' ἣν ταῦτά ἐστιν.

[03820] Ἐπὶ δὲ τῆς ἐνσάρκου γενέσεως, συμπεπλεγμένας ἡ Γραφὴ τὰς αἰτίας εἰσφέρει.

[03821] Λέγει γοῦν αὐτὸς ὁ Σωτήρ·

[03822] Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.

[03823] Καὶ πάλιν·

[03824] Ἐγὼ φῶς, εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ, ἐν τῇ σκοτίᾳ μὴ μείνῃ.

[03825] Καὶ πάλιν·

[03826] Ἐγὼ εἰς τοῦτο γεγένημαι, καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ.

[03827] Ὁ δέ γε μακάριος Παῦλος τὴν αἰτίαν τῆς πρὸς ἡμᾶς ἀφίξεως αὐτοῦ σαφέστατα λέγων, ἐπιστέλλει·

[03828] Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν.

[03829] Καὶ πάλιν·

[03830] Ἐπειδὴ γὰρ δι' ἀνθρώπου θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν.

[03831] Καὶ πάλιν·

[03832] Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει [75.273] διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

[03833] Καὶ πάλιν·

[03834] Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ.

[03835] Καὶ πάλιν ὁ Σωτὴρ περὶ ἑαυτοῦ·

[03836] Εἰς κρίσιν ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται.

[03837] Ὅτε τοίνυν γέγονεν ἄνθρωπος ἵνα ταῦτα πληρώσῃ τὰ ἔργα, καὶ ἀρχὴ γένηται τῶν τοιούτων ὁδῶν, εἰκότως ἂν λέγοι περὶ ἑαυτοῦ·

[03838] Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.

[03839] Οὐκ ἐκτίσθη γὰρ εἰς τὸ εἶναι παρενεχθεὶς, ἀλλ' ὢν ἀεὶ καὶ ὑπάρχων, ἐκτίσθη σὰρξ διὰ τὰς προκειμένας αἰτίας.

[03840] Ἔτι εἰς τὸ, Κύριος ἔκτισέ με, ὅτι οὐ κτίσμα ὁ Υἱός.

[03841] Φησί που Παῦλος περὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ·

[03842] Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον.

[03843] Εἰ τοίνυν τὸ καὶ δύο κτίζει Χριστὸς ἐν ἑαυτῷ, καὶ εἰς ἕνα καινὸν ἄνθρωπον ἀναμορφοῖ, τουτέστιν, εἰς τὸν κατὰ ἀρετὴν βίον·

[03844] ἡμεῖς γὰρ ἦμεν οἱ ἐν αὐτῷ κτιζόμενοι, καθὸ τῆς πρὸς ἡμᾶς ὁμοιώσεως ἐπελάβετο, καὶ ἐν αὐτῷ πρώτῳ τῆς ἀρεσκούσης Θεῷ πολιτείας ἐσχήκαμεν τὰς ἀρχὰς εἰς ἀμείνονα βίον ἀνακτιζόμενοι·

[03845] εἰκότως ἂν λέγοι καὶ νῦν ὡς ὑπὲρ ἡμῶν εἰς τὸν ἕνα κτιζόμενος ἄνθρωπον·

[03846] Κύριος ἔκτισέ με.

[03847] ΑΛΛΟ.

[03848] Γέγραπταί που περὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ Ὅτιπερ αὐτὸς τὰς ἀσθενείας ἡμῶν αἴρει.

[03849] Καὶ πάλιν·

[03850] Γέγονεν ὑπὲρ ἡμῶν κατάρα.

[03851] Καὶ πάλιν·

[03852] Τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν.

[03853] Ὥσπερ οὖν ἠσθενηκέναι λέγεται, καίτοι μὴ ἀσθενήσας πώποτε (δύναμις γὰρ Θεοῦ ἐστιν), ὅτι τὰς ἡμῶν ἀσθενείας ἐβάστασε·

[03854] γεγενῆσθαί τε αὐτὸν κατάραν ἡ θεία φησὶ Γραφὴ, οὐκ αὐτὸ δὴ τοῦτο εἰς κατάραν μεταπεποιῆσθαι σημαίνουσα, ἀλλ' ὅτι τὴν ὑπὲρ ἡμῶν κατάραν ὑπήνεγκε·

[03855] καὶ πάλιν ἁμαρτία γεγενῆσθαι λέγεται, οὐ τῆς οἰκείας φύσεως ἐπιλελησμένος, οὐδὲ εἰς ἁμαρτίαν μετενεχθεὶς, ὁ ταύτην οὐκ εἰδὼς, ἀλλ' ὅτι τὰς ἁμαρτίας ἡμῶν ἀνήνεγκε, καθὰ γέγραπται, ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τοῦ ξύλου·

[03856] οὕτως ὅταν ἡμεῖς ἐν αὐτῷ κτιζώμεθα εἰς ἕνα καινὸν ἄνθρωπον, ὡς καὶ αὐτὸς κτιζόμενος λέγεται.

[03857] Καὶ διὰ τοῦτό φησι·

[03858] Κύριος ἔκτισέ με, κτίσμα μὲν αὐτὸς οὐκ ὢν, τῆς δὲ τοῦ Πατρὸς οὐσίας ἴδιον γέννημα.

[03859] ΑΛΛΟ.

[03860] Εἰ, καθ' ὑμᾶς, αὐτὸς καθ' ἑαυτὸν ὁ τοῦ Θεοῦ Λόγος κτιστῆς οὐσίας ἐστὶ, καὶ περὶ ἑαυτοῦ φησι·

[03861] Κύριος ἔκτισέ με οὐ γέγονεν ἄρα δι' ἡμᾶς ἄνθρωπος ὁ [75.276] πολὺ πρὸ ἡμῶν.

[03862] Εἰ δέ τις τοῦτο δοίη κρατεῖν, οὔτε ἡμεῖς ἐκτίσθημεν ἐν αὐτῷ, οὔτε αὐτὸς εἶχεν ἡμᾶς ἐν ἑαυτῷ, πῶς οὖν εἰς ἕνα καινὸν ἄνθρωπον ἐν Χριστῷ κτιζόμεθα;

[03863] Δυσωπήσει γὰρ ὑμᾶς, κἂν μὴ βούλησθε, λέγων ὁ Παῦλος·

[03864] Αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ.

[03865] Εἰ δὲ ἐκτίσθημεν ἐν Χριστῷ, οὐκ ἄρα κτιστῆς οὐσίας ἐστὶν ὁ τοῦ Θεοῦ Λόγος.

[03866] Ἀλλ' ὅτε γέγονεν ἄνθρωπος, ἐν αὐτῷ κτιζόμεθα, καὶ αὐτός ἐστι τρόπον τινὰ δι' ἡμῶν ὁ λέγων·

[03867] Κύριος ἔκτισέ με.

[03868] Οὐ γὰρ ᾗ Λόγος ἐστὶν, ἁρμόσει λέγειν αὐτῷ τὴν τοιαύτην φωνὴν, ἀλλὰ διὰ τὴν ἡμετέραν σωτηρίαν, καίτοι κτίστης ὢν, γέγονεν ἐν σαρκὶ, ἵνα ἡμᾶς ἐν ἑαυτῷ κτιζομένους ἔχων εἴπῃ·

[03869] Κύριος ἔκτισέ με.

[03870] Καὶ ὥσπερ τὴν ἀΐδιον αὐτοῦ καὶ μετὰ Πατρὸς ἐξηγούμενος ὕπαρξιν λέγει·

[03871] Ἐγὼ ἤμην ᾗ προσέχαιρε, καθ' ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ·

[03872] καὶ πάλιν·

[03873] Πρὸ δὲ πάντων βουνῶν γεννᾷ με·

[03874] οὕτως ὅτε διὰ τὴν ἁπάντων ἡμῶν σωτηρίαν τὴν ἀνθρώπου μορφὴν ἐνεδύσατο, εἰκότως ὡς ἄνθρωπος λέγει·

[03875] Κύριος ἔκτισέ με.

[03876] ΑΛΛΟ.

[03877] Εἰ ἄνθρωπος ὄντως γεγενῆσθαι πιστεύεται Χριστὸς, πῶς οὐκ ἀναγκαῖον τὰ ἀνθρώπῳ πρέποντα λαλεῖν;

[03878] Ἔδει γὰρ εἰπεῖν·

[03879] Οὐκ ἐν ἀρχῇ ἤμην ἄνθρωπος, ὃ μόνῃ πρέπει τῇ θείᾳ φύσει, ἀλλὰ τηρῆσαι τὸ ἁρμόζον τῇ τῶν γενητῶν οὐσίᾳ.

[03880] Γενητὸς δὲ ὁ ἄνθρωπος·

[03881] διὰ τοῦτό φησι·

[03882] Κύριος ἔκτισέ με, ὅτι γέγονεν ἄνθρωπος, ἵνα τὸ ἀεὶ ἀνάρχως εἶναι μόνῳ σώζηται Θεῷ.

[03883] ΑΛΛΟ.

[03884] Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ.

[03885] Εἰ διὰ ταύτην οἴεσθε τὴν φωνὴν, κτιστὴν εἶναι πάντως τοῦ Υἱοῦ τὴν οὐσίαν, ὅταν ἐφεξῆς φαίνηται λέγων·

[03886] Πρὸ δὲ πάντων βουνῶν γεννᾷ με, διαφευγέτω τοῦ κεκτίσθαι τὸ ἔγκλημα, γεγεννῆσθαι φάσκων ἑαυτόν.

[03887] Ἕτερον γάρ τί ἐστι παρὰ τὸ κτίσμα τὸ γέννημα.

[03888] Τὸ μὲν γὰρ ἐκ τῆς οὐσίας τοῦ γεννῶντος πρόεισι φυσικῶς·

[03889] τὸ δὲ ἔξωθέν ἐστιν, ὡς ἀλλότριον.

[03890] Εἰ τοίνυν Θεὸς ὢν ὁ Λόγος γέγονεν ἄνθρωπος, λεγέτω μὲν ὡς ἄνθρωπος·

[03891] Κύριος ἔκτισέ με.

[03892] Τὴν δὲ προαιώνιον ὕπαρξιν αὐτοῦ σημαινέτω, βοῶν·

[03893] Πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.

[03894] Ἀντίθεσις ὡς ἐκ τῶν δι' ἐναντίας.

[03895] Οὐ πάντως, φασὶ, τὸ ἐγέννησεν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς ὄντα δεικνύει τὸν Υἱόν.

[03896] Ἀδιαφορεῖ γὰρ περὶ τὰς λέξεις ἡ θεία Γραφή.

[03897] Καὶ γὰρ καὶ ἐπὶ τῶν ὄντως κτισμάτων καὶ ἀντιλογίαν οὐκ ἐχόντων εἰς τοῦτο τίθησι τὸ, ἐγέννησεν, ὡς ὅταν λέγῃ·

[03898] Υἱοὺς ἐγέννησα καὶ ὕψωσα.

[03899] Καὶ πάλιν·

[03900] Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες.

[03901] Καὶ, Τίς ἐστιν ὁ τετοκὼς βώλους δρόσου;

[03902] Οὐ γὰρ δή που καὶ δρόσου γενέσθαι [75.277] πατέρα φυσικῶς ἐροῦμεν τὸν Θεὸν διὰ τοῦτο.

[03903] Ἓν τοιγαροῦν ἔσται καὶ τὸ αὐτὸ τῷ ἔκτισε τὸ ἐγέννησε, καὶ ἐφ' Υἱοῦ ταττόμενον.

[03904] Λύσις ἐφεξῆσ Τὴν μὲν θείαν Γραφὴν ἀδιαφοροῦσαν περὶ τὰς λέξεις πολλάκις εὑρήσομεν, οὐ μὴν ἀγνοοῦσαν τὴν ἑκάστης δύναμιν, καταχρηστικῶς δὲ ἔσθ' ὅτε δεχομένην αὐτάς.

[03905] Ἐπὶ μὲν γὰρ τῶν ποιημάτων ὅτε κτιστῆς οὐσίας αὐτὰ δεικνύειν βούλεται, λέγει·

[03906] Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.

[03907] Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον.

[03908] Οὐκ ἐγέννησεν, ἀλλ' ἐποίησε.

[03909] Τὴν δὲ τοῦ οἰκείου Λόγου γέννησιν ὁ Θεὸς ἐξηγούμενος·

[03910] Ἐξηρεύξατο, φησὶν, ἡ καρδία μου Λόγον ἀγαθόν.

[03911] Καὶ τοῖς μὲν κτίσμασιν ὁρίζουσα τοῦ εἶναι τὴν ἀρχὴν, λέγει πάλιν ἡ θεία Γραφή·

[03912] Ἐν ἀρχῇ ἐποίησεν·

[03913] ἐπὶ δὲ τοῦ Θεοῦ Λόγου·

[03914] Ἐν ἀρχῇ ἦν ὁ Λόγος Τοῖς μὲν οὖν κτίσμασιν ὁ χρόνος ἐστὶν ἡ ἀρχὴ, ὁ δὲ πρὸ τῶν αἰώνων ὑπάρχων τοῦ Θεοῦ Λόγος, ἀρχὴν ἔχει μόνον τὸν ἄναρχον Πατέρα, ἀϊδίως ὢν ἐν αὐτῷ.

[03915] Ὥσπερ οὖν ἐπὶ τῶν ὄντως κτισμάτων ὅτε τὸ ἐγέννησε κεῖται, καταχρηστικῶς καὶ οὐ φυσικῶς νοητέον, οὕτως ὅταν ἐπὶ τοῦ ὄντως γεννήματος τὸ, ἔκτισεν, ἢ ἐποίησε φέρεται, καταχρηστικῶς νοητέον, σωζομένης αὐτῷ τῆς φυσικῶς γνησιότητος.

[03916] Τοῖς μὲν γὰρ κτίσμασιν ἡ χάρις τὸ ἐγέννησε προξενεῖ·

[03917] τῷ δὲ ἀγεννήτῳ καὶ ἀκτίστῳ Λόγῳ τοῦ Πατρὸς, ἡ τῆς ἀνθρωπότητος χρεία τὸ λέγειν ἑαυτὸν ἐκτίσθαι δίδωσι.

[03918] Καὶ τὰ μὲν κτίσματα λόγῳ καὶ βουλήσει Θεοῦ καλεῖται πρὸς υἱοθεσίαν.

[03919] Ἐγὼ γὰρ εἶπα, φησὶν, Οὐκ ἐγέννησα.

[03920] Ὁ δὲ Υἱὸς τὴν ἄῤῥητον ἑαυτοῦ καὶ φυσικὴν ἐκ Πατρὸς γέννησιν καταμηνύων ἔλεγεν·

[03921] Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον καὶ ἥκω.

[03922] Καὶ πάλιν ἕτερον ἑαυτὸν παρὰ τὴν τῶν γενητῶν φύσιν ὄντα δεικνύων, φησίν·

[03923] Ὑμεῖς ἐκ τῶν κάτω ἐστὲ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί.

[03924] Οὐ γὰρ δή τις ἐρεῖ σωφρονῶν τοπικοῖς καὶ διαστηματικοῖς ὑψώμασιν ἀποσεμνύνεσθαι τὸν τοῦ Θεοῦ Λόγον·

[03925] ἀλλὰ τὸ μὲν ταπεινὸν τῆς κτιστῆς οὐσίας διὰ τοῦ κάτω σημαίνεται, τὸ δὲ ὕψος τῆς θείας καὶ πάντα ὑπεραιρούσης φύσεως διὰ τοῦ ἄνω νοεῖται.

[03926] Τοσαύτης τοιγαροῦν μεταξὺ κειμένης διαφορᾶς κτιζομένου καὶ γεννήματος, ἀδιαφορείτωσαν αἱ λέξεις, ὅτε βλάβος οὐδὲν κατὰ τῶν σημαινομένων γίνεται.

[03927] ΑΛΛΟ, διηγηματικῶς, εἰς τὸ, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, καὶ ἐφεξῆς·

[03928] Πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.

[03929] Εἰ πρὸ πάντων ἑαυτὸν γεγεννῆσθαί φησιν, οὐκ ἂν εἴη τῶν πάντων εἷς, ἀλλ' ἕτερος παρ' αὐτά.

[03930] Τὰ μὲν γὰρ πάντα ἐν ἑαυτοῖς ἔχει καὶ τὴν οἰκείαν ἀρχήν·

[03931] οὐκ ἂν γὰρ εἴη πάντα εἴ τι τῶν ἐν αὐτοῖς ἔξω μένον εὑρίσκοιτο.

[03932] Εἰ οὖν πρὸ πάντων ὁ Υἱὸς ἐγεννήθη, ἐν ἰδίῳ μὲν ἀριθμῷ τὰ πάντα κείσεται·

[03933] ἔξω δὲ αὐτῶν ἡ τοῦ Υἱοῦ νοηθήσεται γέννησις.

[03934] Ὁ δὲ τοῖς γενητοῖς ἀσύντακτος, ἑτέρας ἂν εἴη φύσεως παρ' αὐτά.

[03935] Ἐγεννήθη τοιγαροῦν, καθὸ Λόγος ἐστὶν, ἐκ Πατρός·

[03936] ἐκτίσθη δὲ, καθὸ ἄνθρωπος, καὶ γέγονεν ἀρχὴ ὁδῶν.

[03937] Ὥσπερ οὖν ἡμεῖς, ὅτε τὸν τοῦ Θεοῦ Λόγον ἐν ἑαυτοῖς [75.280] δεχόμεθα, δι' αὐτὸν υἱοὶ καλούμεθα τοῦ Θεοῦ, κατὰ φύσιν ὄντες ποιήματα, οὕτω καὶ αὐτὸς ὅτε τὴν ἡμῶν σάρκα λαμβάνει, κτίσμα καλεῖται καὶ ποίημα, κατὰ φύσιν ὑπάρχων Υἱός.

[03938] Καὶ πάλιν, ὥσπερ ἡμῶν ποιητὴς ὢν ὁ Θεὸς γίνεται καὶ Πατὴρ, οὕτω καὶ τοῦ Θεοῦ Λόγου Πατὴρ κατὰ φύσιν ὑπάρχων γίνεται καὶ κτίστης, ὅτε δι' ἡμᾶς ἐξομοιοῦται τοῖς κτίσμασιν.

[03939] Εἰ μὲν οὖν ἡμεῖς κατὰ φύσιν ἐσμὲν υἱοὶ, ἔσται καὶ αὐτὸς κατὰ φύσιν κτίσμα καὶ ποίημα.

[03940] Εἰ δὲ ἡμεῖς θέσει καὶ χάριτι πρὸς υἱότητα καλούμεθα, καὶ αὐτὸς θέσει κτίσμα διὰ τὴν καθ' ὑμᾶς οἰκονομίαν, τὸ ἐκ φύσεως οὐκ ἀπολλύων ἀξίωμα.

[03941] ΑΛΛΟ, διδασκαλία σαφὴς, ὅπως χρὴ νοεῖν εὐσε βῶς τὸ, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐ τοῦ.

[03942] Γέγονεν ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ, καὶ ὁδὸς αὐτῷ σωτηρίας δέδοται παρὰ Θεοῦ.

[03943] Ταύτην ἀπώλεσε, τὴν θείαν ἐντολὴν παραβεβηκὼς, πέπτωκεν εἰς φθορὰν, ἠνέχθη πρὸς ἁμαρτίαν, καταβέβηκεν εἰς θάνατον.

[03944] Ἔδει πάλιν ἡμῖν ὁδὸν ἑτέραν ἀναδειχθῆναι, δι' ἧς τὴν ἀρχαίαν κατάστασιν ἐκείνην ἀναβῆναι δυνησόμεθα.

[03945] Ἐπειδὴ δὲ ἀνθρώπων οὐδεὶς ἱκανὸς ὢν εἰς τοῦτο κατεφαίνετο, ἀναγκαίως αὐτὸς ὁ φιλάνθρωπος τοῦ Θεοῦ Λόγος, ἄκτιστος ὢν τὴν φύσιν, ἄνθρωπος κτίζεται δι' ἡμᾶς, βουλήσει τοῦ Πατρὸς τὴν ἡμῶν σάρκα περιβαλόμενος·

[03946] ἵνα, καθάπερ ὁ Παῦλός φησιν, ὁδὸν ἡμῖν ἐγκαινίσῃ πρόσφατον καὶ μένουσαν, καὶ πληρώσῃ τὰ ἔργα τοῦ Πατρὸς, ἀνανεῶν μὲν εἰς ἀφθαρσίαν τὸ σῶμα, τὸν δ' ἐξ ἁμαρτίας κρατήσαντα θάνατον ἀναιρῶν, καὶ αὐτὴν κατακρίνων τὴν ἁμαρτίαν, καὶ τὰ ἄλλα πάντα ποιῶν ὅσα τῇ φύσει γέγονεν ἀγαθὰ δι' αὐτοῦ.

[03947] Εἰ τοίνυν γέγονεν ἄνθρωπος, ἵνα καὶ ὁδὸς ἡμῖν γένηται τῶν ἀγαθῶν, καὶ τὰ ἔργα ταῦτα πληρώσῃ, ἃ δὴ παρὰ Πατρὸς δι' αὐτοῦ γίνεται, εἰκότως ἂν λέγοι·

[03948] Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.

[03949] Ἑξῆς δὲ πάλιν τὴν προαιώνιον ὕπαρξιν ἑαυτοῦ σημαίνων, φησί·

[03950] Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με.

[03951] Εἰ δὲ καὶ γεννᾶται καὶ κτίζεται, ἀμφοτέροις ἀποδώσει τὸ πρέπον.

[03952] Γεννᾶται μὲν γὰρ ὡς Λόγος παρὰ Πατρὸς πρὸ τῶν αἰώνων, καθάπερ φησὶ, κτίζεται δὲ ὡς ἄνθρωπος, ὅτε δι' ἡμᾶς γέγονε σάρξ·

[03953] οὕτως φησὶν ὁ εὐαγγελιστής.

[03954] ΑΛΛΟ.

[03955] Φησί που περὶ τοῦ Θεοῦ Λόγου Δαβίδ·

[03956] Ὁ ὑπάρχων πρὸ τῶν αἰώνων.

[03957] Εἰ τοίνυν ὁ μὲν Υἱὸς πρὸ τῶν αἰώνων ὑπάρχει, κτίζεσθαι δέ φησιν ἑαυτὸν εἰς τὰ ἔργα τοῦ Πατρὸς, ἀνάγκη πᾶσα συνεστώτων ἤδη τῶν ἔργων κτίζεσθαι νοεῖν αὐτόν.

[03958] Μετὰ γὰρ τὴν τῶν ποιημάτων εἰς τὸ εἶναι πάροδον, ἐν τελευταίοις τοῦ αἰῶνος καιροῖς γέγονεν ἄνθρωπος, ὅτε δὴ πρεπόντως τε καὶ λίαν εὐκαίρως τὸ, ἔκτισέ με, φησί.

[03959] Πῶς οὖν αὐτὸς ἂν ὑπάρχῃ τούτων ὁ ποιητὴς, εἰ μετ' ἐκεῖνα κτίζεται;

[03960] Εἰ δὲ πρὸ τῶν ἔργων ἐστὶν ὁ τούτων ποιη [75.281] τὴς τοῦ Θεοῦ Λόγος, κτίζεται δὲ εἰς αὐτὰ, οὐ τῆς οὐσίας αὐτοῦ δηλωτικὸν ἂν εἴη τὸ ἔκτισε·

[03961] σημαίνει δ' ἂν εἰκότως τὴν ἐνανθρώπησιν ὅτε πρὸς ἐπανόρθωσιν τῶν ἔργων τοῦ Πατρὸς γέγονε σάρξ.

[03962] Καὶ διὰ τοῦτό φησι·

[03963] Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.

[03964] ΑΛΛΟ, ὡς ἐν ἐπιτομῇ.

[03965] Ἐκτίσθαι φησὶν ἑαυτὸν εἰς ἀρχὴν ὁδῶν.

[03966] Καὶ ποίων ἄρα, μαθήσῃ διὰ τῶν ἐφεξῆς.

[03967] Πρῶτον μὲν τὰς ἀρετὰς ἐξαριθμούμενος, ἃς πρῶτος ποιήσας ἐδίδαξε καὶ ἡμᾶς·

[03968] Γίνεσθε γὰρ, φησὶν, οἰκτίρμονες·

[03969] καὶ, Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην.

[03970] Ἀπὸ τοῦ αἴροντος τὰ σὰ, μὴ ἀπαίτει.

[03971] Ὁ νόμος φησίν·

[03972] Οὐ μοιχεύσεις.

[03973] Ἐγὼ δὲ λέγω ὑμῖν·

[03974] Οὐκ ἐπιθυμήσεις, καὶ ὅσα πρὸς τούτοις ἐν τοῖς εὐαγγελικοῖς κεῖται κηρύγμασι.

[03975] Ταῦτα γὰρ ἤρξατο μὲν ἐν πρώτῳ Χριστῷ, τρέχει δὲ ἐφεξῆς εἰς ἡμᾶς.

[03976] Διὰ τοῦτό φησιν·

[03977] Ἐγώ εἰμι ἡ θύρα, Ἐγώ εἰμι ἡ ὁδός.

[03978] Ἀρχὴ τοιγαροῦν τῶν τοιούτων ἡμῖν ἔργων γενόμενος, ὅτε διὰ τοῦτο τὴν ἡμῶν σάρκα περιεβάλετο, καὶ γέγονεν ἄνθρωπος, εἰκότως ἂν λέγοι·

[03979] Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.

[03980] Τὸν αὐτὸν δὲ τοῦτον ἐφαρμόσεις λόγον καὶ τῇ ἐκ νεκρῶν ἀναστάσει, καὶ τῇ εἰς ἀφθαρσίαν τῆς σαρκὸς μεταβολῇ, καὶ τῇ ἀνόδῳ τῇ εἰς οὐρανούς.

[03981] Καὶ τούτων γὰρ ἡμῖν γέγονεν ἀρχὴ, καὶ διὰ ταῦτα κτίζεται.

[03982] ΑΛΛΟ.

[03983] Ἀπέθανε δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ὁ Χριστός.

[03984] Ὥσπερ οὖν τεθνηκότος τοῦ σώματος αὐτὸς τοῦτο λέγεται παθεῖν, καίτοι τὴν φύσιν ἀθάνατος ὢν, οὕτω κτιζομένου τοῦ σώματος, αὐτὸς ἑαυτὸν κτίζεσθαι λέγει, καίτοι τὴν οὐσίαν ἄκτιστος ὤν.

[03985] Αὐτοῦ γὰρ οὔσης καὶ οὐχ ἑτέρου τινὸς τῆς σαρκὸς, ἰδιοποιεῖται τὰ εἰς αὐτὴν συμβαίνοντα.

[03986] ΑΛΛΟ.

[03987] Ἔργον τῶν ἐπὶ τῆς γῆς τὸ κάλλιστον ἄνθρωπος, ὃς δὴ τέλειος γεγονὼς, ἀτελὴς εὑρέθη διὰ τὴν παράβασιν, πεσὼν μὲν ἐξ ἀθανασίας εἰς θάνατον, ἐξ ἀφθαρσίας δὲ εἰς φθοράν.

[03988] Ἐπεὶ τοίνυν ἕν τι τῶν ἀτοπωτάτων ἐφαίνετο, καὶ ἦν ὄντως αἰσχρὸν μέχρι παντὸς ἀτελὲς διαμεῖναι τὸ ἔργον τοῦ Θεοῦ, ἀναγκαίως ὁ τοῦ Θεοῦ Λόγος, ὁ τέλειος τὸν ἀτελῆ ἄνθρωπον περιεβάλετο·

[03989] καὶ διὰ τοῦτό φησιν εἰς τὰ ἔργα κτίζεσθαι, ἵνα τελειώσῃ αὐτὰ, ἵνα πάλιν αὐτοῖς τὴν τελειότητα περιθήσῃ, τὸ λεῖπον τῷ ἀνθρώπῳ πληρώσας δι' ἑαυτοῦ.

[03990] Καὶ γοῦν ἐν τοῖς Εὐαγγελίοις φησὶ πρὸς τὸν ἑαυτοῦ Πατέρα·

[03991] Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον τελειώσας ὃ δέδωκάς μοι ἵνα ποιήσω.

[03992] Καὶ πάλιν·

[03993] Τὰ ἔργα ἃ δέδωκέ μοι ὁ Πατὴρ, ἵνα τελειώσω αὐτὰ, αὐτὰ τὰ ἔργα μαρτυρεῖ περὶ ἐμοῦ.

[03994] Εἰ τοίνυν ὅτε γέγονεν ἄνθρωπος, τότε τὰ ἔργα τελειοῖ, καὶ εἰς αὐτὰ κτίζεται, πρόδηλον δήπουθεν ὅτιπερ οὐ τῆς οὐσίας τοῦ Λόγου σημαντικὸν ἂν εἴη τὸ, [75.284] ἔκτισε·

[03995] δηλοῖ δὲ μᾶλλον τὸν τῆς ἐπιδημίας καιρὸν, καθὸ σὰρξ γεγονὼς, ἐκτίσθαι λέγεται.

[03996] Τότε γὰρ καὶ ὁλόκληρα ποιήσας τὰ ἔργα τοῦ Πατρὸς, καὶ ἀποκαταστήσας εἰς τὸ ἀρχαῖον τὴν ἀνθρώπου φύσιν, παρέστησεν ἑαυτῷ τὴν Ἐκκλησίαν μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλ' ἁγίαν καὶ ἄμωμον·

[03997] καὶ γεγόναμεν ἐν αὐτῷ καινὴ κτίσις, οὐκέτι φοροῦσα τὸ ἀτελὲς διὰ τὴν παράβασιν καὶ τὴν ἐκ τῆς ἁμαρτίας νέκρωσιν, ἀλλὰ λοιπὸν ἀπολαβοῦσα τὸ τέλειον διὰ τὴν ὑπακοὴν τοῦ Χριστοῦ καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν.

[03998] Οὐκοῦν ἄνθρωπος διὰ ταῦτα γενόμενος, εἰκότως ἂν λέγοι τὸ, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.

[03999] ΑΛΛΟ, εἰς τὸ, Κύριος ἔκτισέ με, ὅτι οὐ κτί σμα, οὐδὲ ποίημα ὁ Υἱὸς τοῦ Θεοῦ.

[04000] Καὶ εἰς τὸ, Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με.

[04001] Εἰ κτίσμα ἐστὶ, καθ' ὑμᾶς, ὁ τοῦ Θεοῦ Λόγος, ὦ πάσης ἀσεβείας εὑρεταὶ, πῶς Θεῷ κολλώμεθα καὶ θεοποιούμεθα συναφθέντες αὐτῷ;

[04002] Πῶς δὲ μεσίτης ἐστὶ Θεοῦ καὶ ἀνθρώπων ὁ Χριστός;

[04003] Ἅπτεται μὲν γὰρ ἡμῶν, καθὸ γέγονεν ἄνθρωπος.

[04004] Εἰ δὲ κτίσμα ἐστὶ καὶ οὐ Θεὸς, πῶς ἅψεται Θεοῦ;

[04005] Ποῖος αὐτὸν ἐκείνῳ συνάψει τρόπος;

[04006] Τὰ γὰρ ἀνόμοια κατὰ τὴν οὐσίαν οὐκ ἂν ἀλλήλοις φυσικῶς συναφθείη ποτέ.

[04007] Πῶς δὲ, εἰ κτίσμα ἐστὶ, δι' αὐτοῦ σεσώσμεθα, τῆς θείας λεγούσης Γραφῆς·

[04008] Οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν αὐτούς;

[04009] Πῶς δὲ εἰς αὐτὸν πιστεύοντες δικαιούμεθα, εἴπερ κτίσμα ἐστί;

[04010] Πῶς δὲ τὸ.

[04011] Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, λύεται δι' αὐτοῦ;

[04012] Οὐ γὰρ ἦν ἔργον κτίσματι πρέπον, ἀνατρέπειν τὴν παρὰ Θεοῦ δοθεῖσαν ἀπόφασιν.

[04013] Πῶς δὲ πάλιν, εἰ κτίσμα ἐστὶν, ἀναιρεῖ τὴν ἁμαρτίαν, λέγοντος τοῦ προφήτου περὶ αὐτοῦ·

[04014] Τίς Θεὸς ὥσπερ σὺ, ἐξαίρων ἀνομίας καὶ ὑπερβαίνων ἀδικίας;

[04015] Πῶς δὲ, εἰ κτίσμα ἐστὶν, ἠδύνατο λέγειν·

[04016] Ἐὰν μὴ ὁ Υἱὸς ὑμᾶς ἐλευθερώσῃ;

[04017] καὶ γοῦν ἠλευθέρωσεν ὡς τοῦ Πατρὸς κληρονόμος, καὶ οὐ ποίημα ὑπάρχων, κατὰ τὴν τῶν θεομάχων μανίαν.

[04018] ΑΛΛΟ.

[04019] Εἰ κατὰ μίμησιν τοῦ κατὰ φύσιν Υἱοῦ καὶ οἱ κατὰ θέσιν υἱοὶ καλοῦνται, ἀνάγκη πᾶσα τὸν κατὰ φύσιν ἕτερον εἶναι παρ' αὐτοὺς καὶ κατὰ τὴν οὐσίαν ἐξηλλαγμένον.

[04020] Εἰ τοίνυν οἱ κατὰ θέσιν υἱοὶ κτίσματα, ὁ κατὰ φύσιν οὐκ ἔσται κτίσμα ἢ ποίημα, ἵνα μὴ ὁ αὐτὸς ὑπάρχῃ τοῖς κατὰ θέσιν.

[04021] ΑΛΛΟ.

[04022] Εἰ, καθ' ὑμᾶς, ὦ Ἀρειανοὶ, κτίσμα ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ, ἐν ποίᾳ γέγονεν ἄρα σοφίᾳ;

[04023] ποία δὲ χεὶρ ἡ καὶ αὐτὸν μετὰ τῶν ἄλλων δημιουργήσασα;

[04024] Γέγραπται γὰρ, ὅτι Πάντα ἐν σοφίᾳ ἐποίησας.

[04025] Καὶ αὐτὸς δέ πού φησιν ὁ Θεός·

[04026] Ἡ χείρ μου ἐποίησε ταῦτα πάντα.

[04027] Καὶ εἰ πάντα ἐν σοφίᾳ καὶ χειρὶ γέγονε Θεοῦ, αἱ δὲ θεῖαι.

[04028] Γραφαὶ περὶ τοῦ Θεοῦ Λόγου βοῶσιν, ὅτι Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐ [75.285] τοῦ ἐγένετο οὐδὲ ἕν·

[04029] οὐκ ἂν εἴη τῆς τοῦ Θεοῦ σοφίας ἔργον ὁ Υἱός·

[04030] ἀλλὰ μᾶλλον αὐτός ἐστιν ἡ σοφία καὶ ἡ χεὶρ, δι' ἧς τὰ πάντα Θεὸς ἐργάζεται.

[04031] Οὐκοῦν οὐ κτίσμα, οὐδὲ ποίημά ἐστιν.

[04032] Ἐπιτηρήσεις ἀπὸ τῆς θείας Γραφῆς, ὅτι οὐχ εἷς τῶν κτισμάτων ὁ Υἱὸς, ἀλλὰ μᾶλλον ποιητὴς αὐτῶν λέγεται καὶ ἔστιν.

[04033] Οἱ ἐν Βαβυλῶνι νεανίαι πᾶσαν, ὡς ἔπος εἰπεῖν, τὴν κτίσιν ἐξαριθμούμενοι, τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς καταλέγοντες, καὶ παρὰ πάντων ὑμνεῖσθαι δεῖν φάσκοντες τὸν Θεὸν, οὐδαμοῦ τὸν Υἱὸν ἐν τοῖς εὐλογεῖν ὀφείλουσι κατατάττουσιν, οὐδὲ εἰρήκασιν·

[04034] Εὐλογείτω ὁ Λόγος ἢ ἡ σοφία τοῦ Θεοῦ τὸν Κύριον.

[04035] Ἀλλ' εἰδότες ὅτι μετὰ Πατρὸς τὴν προσκύνησιν ἔχει, πάντων ὁμοῦ τῶν κτισμάτων ποιησάμενοι μνήμην, σιωπῶσιν αὐτὸν ὡς Δεσπότην καὶ ὡς ὑμνούμενον.

[04036] Οὐδὲν δὲ ἧττον καὶ ὁ μακάριος Ψαλμῳδὸς πολλάκις ὑμνεῖσθαι κελεύων τὸν Θεὸν, καὶ πᾶσαν ὀνομάζων τὴν κτίσιν, λειτουργούς τε καὶ ἀγγέλους, καὶ δυνάμεις, καὶ οὐρανοὺς οὐρανῶν, καὶ σελήνην καὶ ἥλιον, ὡς δοῦλα τῇ τοῦ Θεοῦ προσκυνήσει χρῆναι δεῖν ὑποκεῖσθαι λέγων, οὐδαμοῦ μὲν ἐν τούτοις κατατάττει τὸν Υἱὸν, ἀλλ' ἐκ τῶν ἐναντίων καὶ προσκυνεῖσθαι κελεύει βοῶν·

[04037] Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.

[04038] Εἰ δὲ πᾶσα ἡ κτίσις προσκυνεῖ, προσκυνεῖται δὲ ὁ Υἱὸς, οὐκ ἄρα κτίσμα ἐστὶν, ἀλλὰ Υἱὸς ἀληθινὸς μετὰ τοῦ Πατρὸς προσκυνούμενος.

[04039] ΑΛΛΟ.

[04040] Ὅτι ἕτερός ἐστι παρὰ τὰ κτίσματα ὁ Υἱὸς, καὶ οὐχ εἷς τῶν πάντων.

[04041] Πάντα διὰ τοῦ Θεοῦ Λόγου πεποιῆσθαι σημαίνουσα καὶ ἡ θεία Γραφὴ, οὕτω φησί·

[04042] Πάντα δι' αὐτοῦ ἐγένετο.

[04043] Καὶ πάλιν·

[04044] Εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα.

[04045] Ὁ δέ γε Παῦλος τρανότατα τῶν πάντων αὐτὸν διαστέλλων, λέγει·

[04046] Ζῶν γὰρ ὁ Λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ·

[04047] πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ.

[04048] Εἰ τοίνυν πάντων ἐστὶ ποιητὴς, καὶ πάντα ἐνώπιον αὐτοῦ τετραχήλισται, οὐκ ἂν εἴη τῶν πάντων εἷς ὁ τούτων ποιητής.

[04049] Καὶ ᾧ τὰ πάντα γυμνὰ καὶ τετραχηλισμένα ἐστὶν, οὐκ ἂν εὐλόγως ὑπάρχειν νοοῖτο τῶν τετραχηλισμένων.

[04050] Ἐν τῷ γὰρ λέγειν τὰ πάντα, οὐδὲν ἀφῆκεν ἐκτός·

[04051] καὶ εἰ ἐν μόνοις τοῖς κτίσμασι πληροῦται τὰ πάντα, ἕτερος ἂν εἴη παρ' αὐτὰ, ὁ μὴ ἐν αὐτοῖς ἀριθμούμενος.

[04052] Οὕτω καὶ ὁ μακάριος Παῦλος τοῦ πάντα νοεῖ τὴν δύναμιν.

[04053] Ἑρμηνεύων γὰρ τὸ, Πάντα ὑπέταξας ὑπὸ τοὺς πόδας αὐτοῦ, ἐπιφέρει σαφῶς·

[04054] Ἐν δὲ τῷ λέγειν τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον.

[04055] Εἰ τοίνυν τὸ πάντα τῶν ὅλων ἐστὶ περιεκτικὸν, πάντα δὲ ὁ Υἱὸς ποιεῖ, καὶ τὰ πάντα αὐτῷ τετραχήλισται, οὐκ ἂν εἴη τῶν πάντων εἷς, ἀλλ' ἕτερος παρ' αὐτά.

[04056] ΑΛΛΟ.

[04057] Γέγραπται, ὅτι Ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων.

[04058] [75.288] Εἰ δὲ τῷ Υἱῷ κάμπτει πᾶν γόνυ, οὐκ ἂν εἴη τῶν καμπτόντων εἷς, ἀλλ' ἕτερος παρ' αὐτά.

[04059] Καὶ πάλιν γέγραπται·

[04060] Ὅτι πᾶσα ἡ κτίσις συστενάζει, καὶ συνωδίνει ἄχρι τοῦ νῦν, ἀπεκδεχομένη τὴν ἀπολύτρωσιν τῶν υἱῶν τοῦ Θεοῦ.

[04061] Εἰ δὲ στενάζει μὲν ἡ κτίσις, καὶ ἀπεκδέχεται τὴν ἀπολύτρωσιν καὶ τὴν ἐλευθερίαν τῶν υἱῶν τοῦ Θεοῦ, οὔτε δὲ στενάζων ὁ Υἱὸς φαίνεται, οὔτε τὴν υἱοποιΐαν ἐκδέχεται ἢ τὴν ἐλευθερίαν, ἀλλ' αὐτός ἐστιν ὁ τὴν ἐλπίδα τῆς κτίσεως ἀποπληρῶν, καὶ εἰς υἱοθεσίαν τοὺς στενάζοντας καλῶν, καὶ ὁ τῆς ἐλευθερίας δοτήρ·

[04062] οὐκ ἄρα ἐν τοῖς πᾶσίν ἐστιν, οὐδὲ ἐν τῇ κτίσει καταριθμηθήσεται·

[04063] ἀλλ' ἕτερός ἐστι παρ' αὐτὴν, καθὰ μὲν ὡς κτίσματα στενάζει τοῦ βοηθοῦντος δεόμενα·

[04064] ὁ δὲ, ὡς Υἱὸς, ἐλευθεροῖ πάντα τῷ τῆς δουλείας δεσμῷ συνεχόμενα.

[04065] Εἰς τὸ, Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με.

[04066] Γέγραπται·

[04067] Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν.

[04068] Εἰ τοίνυν θεμελιοῖ μὲν ἡ σοφία τὴν γῆν, αὕτη δέ ἐστιν ἡ πάντων ἀσφάλεια (μένει γὰρ ἑδραία δι' αὐτὴν), κατὰ τίνα τρόπον ἡ θεμελιοῦσα θεμελιοῦται, παρὰ Θεοῦ, ζητητέον.

[04069] Εἴρηται τοίνυν καὶ τοῦτο κατὰ τὸν ταῖς παροιμίαις πρέποντα τύπον, πλαγίως παραδηλούμενον, καὶ κεκρυμμένην ἔχον ἐν ἑαυτῷ τὴν ἀληθεστέραν διάνοιαν·

[04070] τοιοῦτο γὰρ ἀεὶ τῆς παροιμίας τὸ σχῆμα.

[04071] Θεμελιοῦται τοίνυν ἡ σοφία, τουτέστιν, ὁ Υἱὸς τοῦ Θεοῦ, οὐ καθὸ Λόγος ἐστὶν ἀρχὴν τοῦ εἶναι δεχόμενος, ἀλλὰ καθὸ γεγονὼς ἄνθρωπος καὶ τὴν πρὸς ἡμᾶς φορέσας ὁμοίωσιν, ἀρχὴ καὶ θεμέλιος ἡμῖν γίνεται, οἰκοδομουμένοις εἰς εὐσέβειαν διὰ τῆς εἰς αὐτὸν πίστεως, καὶ εἰς τὴν καινὴν κτίσιν ἀναμορφουμένοις, καθὼς γέγραπται.

[04072] Λέγει γοῦν οὐχ ἁπλῶς, Ὁ Θεὸς Λόγον ἢ Υἱόν με πεποίηκεν, ἵνα μή τις τοῖς ἑτεροδοξοῦσιν ὑπάρχοι παρείσδυσις τοῦ καταψεύδεσθαι τῆς οὐσίας αὐτοῦ ὡς πεποιημένης, ἀλλ' ἀπολελυμένως, Ἐθεμελίωσέ με.

[04073] Ὃ γὰρ ἔφασκεν ἐν τοῖς ἀνωτέρω, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, τοῦτο καὶ διὰ τοῦτο σημαίνεται.

[04074] Ἐκεῖ μὲν γὰρ ἀρχὴν ὁδῶν ἑαυτὸν πεποιῆσθαί φησιν, ἐνταῦθα δὲ θεμέλιον ἐποικοδομουμένων ἐπ' αὐτῷ καταβεβλῆσθαι διϊσχυρίζεται, πολυτρόπως τὰ αὐτὰ λέγων, καὶ διὰ τῶν αὐτῶν νοημάτων ἀνακυκλώσας τὸν λόγον.

[04075] Ἴσον γάρ ἐστιν εἰπεῖν ἀρχὴν καὶ θεμέλιον.

[04076] Ὡς γὰρ ἐν ἐκείνοις ἀρχὴ, οὕτω καὶ ἐνταῦθα θεμέλιος τῶν ἐποικοδομουμένων ἐπ' αὐτὸν διὰ τῆς πίστεως γίνεται.

[04077] ΑΛΛΟ.

[04078] Λέγει που Παῦλος ἐπιστέλλων ὁ σοφώτατος·

[04079] Θεμέλιον ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός.

[04080] Εἰ τοίνυν κεῖται μὲν θεμέλιος ὁ Χριστὸς, δεῖ δὲ τὰ ἐποικοδομούμενα πάντως εἶναι τοιαῦτα, ὁποῖόν περ ἂν ὑπάρχοι τὸ ὑποκείμενον (οὕτω γὰρ ἂν καὶ ἡ οἰκοδομὴ συναρμολογουμένη, καθὰ γέγραπται, πληρωθήσεται εἰς ναὸν [75.289] ἅγιον), εὔδηλον δήπουθεν ὅτιπερ οὐ καθὸ Λόγος ἐστὶν, ἑαυτὸν τεθεμελιῶσθαί φησιν·

[04081] οὐδὲν γάρ ἐστι κατὰ φύσιν τῷ Λόγῳ προσεοικὸς, οὐδ' ἂν ἁρμοσθείη τι τῶν ὄντων πρὸς ἐκεῖνον φυσικῶς·

[04082] ὁ μὲν γὰρ ποιητὴς, τὰ δὲ κτίσματα·

[04083] ἀλλὰ καθὸ γέγονεν ἄνθρωπος καὶ ὅμοιος ἡμῶν κατὰ πάντα, χωρὶς ἁμαρτίας, θεμέλιον ἑαυτὸν καταβεβλῆσθαί φησι τῶν ἐποικοδομουμένων ἐπ' αὐτῷ, δυναμένων αὐτῷ συναρμολογεῖσθαι.

[04084] Καθὸ γὰρ καὶ αὐτὸς γέγονεν ἄνθρωπος, πολλὴν ἔχει πρὸς ἡμᾶς τὴν συγγένειαν διὰ τὴν τῆς σαρκὸς φύσιν.

[04085] Οὐκοῦν ἐπὶ τὴν τοῦ Σωτῆρος ἐνανθρώπησιν καὶ τοῦτο παρενεκτέον, ἵνα τὸ δύσφημον διαφύγωμεν, γεγενῆσθαι φάσκοντες, καὶ ἀρχὴν τοῦ εἶναι λαμβάνειν τὴν σοφίαν τοῦ Θεοῦ.

[04086] Ὅνπερ γὰρ τρόπον ἑτέροις ἄμπελον μὲν ἑαυτὸν εἶναί φησιν, ἡμᾶς δὲ τὰ κλήματα, οὐ ξένα δεικνύων, οὐδὲ ἑτερογενῆ τῆς ἀμπέλου τὰ κλήματα, ἀλλ' ἐξ ἐκείνης ὄντα κατὰ φύσιν, οὕτως ἐνταῦθα θεμέλιον ἡμῶν ἑαυτὸν εἶναί φησιν, ἵνα τῶν ἐποικοδομουμένων ἐπ' αὐτῷ τὴν πρὸς αὐτὸν ἐπιδείξῃ συγγένειαν φυσικὴν, ὅτε γέγονεν ἄνθρωπος.

[04087] Τότε γὰρ καὶ κατὰ φύσιν αὐτῷ συναπτόμεθα, καὶ τῆς πρὸς αὐτὸν ὁμογενείας ἐξηρτημένοι ὥσπερ τῆς ἀμπέλου τὰ κλήματα, καρποφοροῦμεν τὴν εἰς Θεὸν εὐσέβειαν.

[04088] Κεῖται τοιγαροῦν θεμέλιος μὲν ἐνανθρωπήσας ὁ τοῦ Θεοῦ Λόγος·

[04089] ἡμεῖς δὲ ἐπ' αὐτῷ καθάπερ τινὲς ἅγιοι λίθοι ἐποικοδομούμεθα, ἵνα καὶ ναὸς τοῦ ἐνοικοῦντος ἐν ἡμῖν ἁγίου Πνεύματος χρηματίσωμεν.

[04090] ΑΛΛΟ.

[04091] Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με.

[04092] Εὔλογον οἶμαι καὶ ἀναγκαῖον αὐτῶν φαινομένων παραδειγμάτων τὰς ἀνοήτους τῶν αἱρετικῶν ἀνακόπτειν κακοδοξίας·

[04093] τάχα κἂν οὕτω δυσωπηθέντες τὴν ἀλήθειαν, πρὸς τὰς δυσφημίας ἀποναρκήσωσι.

[04094] Τὸ θεμελιούμενον τοίνυν, καὶ εἰς τοιαύτην τινὰ λαμβανόμενον χρείαν, οὐ πάντως τότε τοῦ εἶναι τὴν ἀρχὴν ἔχον φαίνεται, ὅτε καὶ εἰς θεμέλιον πέμπεται.

[04095] Φέρε γὰρ εἰπεῖν, ἔστω λίθος τὸ καταπεμπόμενον καὶ ἐν τῇ γῇ κρυπτόμενον·

[04096] δεῖ πρῶτον αὐτὸν ἀπό τινος πέτρας ἢ ἐξ ὄρους ἀποτμηθέντα, πρὸς τὴν τοιαύτην λαμβάνεσθαι χρείαν·

[04097] καὶ πρότερόν γε ἔστιν, εἶθ' οὕτω θεμέλιος γίνεται εἰς βάθος γῆς καταχωννύμενος.

[04098] Ἀλλ' εἴπερ τις τῷ καταβληθέντι λίθῳ δοίη φωνὴν, καὶ τὸν ἀνθρώπῳ πρέποντα χορηγήσειε νοῦν, εἴποι ἂν τὰ καθ' ἑαυτὸν ἐξηγούμενος, ὅτι Λίθος μὲν ἤμην εἰς πέτραν κείμενος ἢ ἐν ὄρει·

[04099] νυνὶ δὲ γέγονα θεμέλιος, τὴν συνέχουσάν με γῆν περιβεβλημένος.

[04100] Οὕτω πως νοήσεις εὐσεβῶς καὶ ἐπὶ τῆς τοῦ Θεοῦ σοφίας, τουτέστι, τοῦ Υἱοῦ·

[04101] ἦν μὲν γὰρ ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν, καθὰ γέγραπται.

[04102] Ὅτε δὲ καθάπερ τις λίθος ἄνευ χειρῶν ἐξ ὄρους ἀποτμηθεὶς, τουτέστιν, ἀπὸ τῆς οὐσίας τοῦ Πατρὸς προελθὼν, καθάπερ τινὰ γῆν τὴν ἡμετέραν σάρκα περιεβάλετο, τότε καὶ τεθεμελιῶσθαί φησιν ἑαυτὸν, μονονουχὶ λέγων·

[04103] Λόγον μὲ ὄντα καὶ Υἱὸν ἀληθινὸν ὁ Πατὴρ γηΐνῳ περιβέβληκε σώματι.

[04104] ἵνα θεμέλιος γένωμαι καὶ ἀρχὴ τῶν ἐποικοδομουμένων εἰς [75.292] ἐμὲ διὰ τῆς πίστεως·

[04105] καὶ σύσσωμος τούτοις ἀναδειχθεὶς, δέξωμαι συναρμολογουμένους φυσικῶς καὶ συνδεσμουμένους πρὸς ἐμὲ διὰ τὴν κατὰ σάρκα συγγένειαν.

[04106] ΑΛΛΟ.

[04107] Ὡς ἐξ ἀντιθέσεως τῶν αἱρετικῶν.

[04108] Καὶ πῶς ἂν δύναιτο, φασὶ, τὸ ἐθεμελίωσέ με εἰς τὴν μετὰ σαρκὸς ἐκλαμβάνεσθαι τοῦ Λόγου παρουσίαν, ὅπου φησὶν αὐτὸς πρὸ τοῦ αἰῶνος ἡδρᾶσθαι, πρὸ τοῦ τὴν γῆν ποιῆσαι, πρὸ τοῦ ὄρη ἑδρασθῆναι;

[04109] Εὔδηλον γὰρ ὡς πολλοῖς ὕστερον χρόνοις μετὰ τὸ γενέσθαι τόδε τὸ σύμπαν καὶ τὰ ἐν αὐτῷ, γέγονεν ἡ ἔνσαρκος οἰκονομία τοῦ Λόγου.

[04110] Πρὸς τοῦτο λύσις.

[04111] Πρὸς δὴ τὰ τοιαῦτα τῶν αἱρετικῶν προβλήματα, δυσχερὲς μὲν οὐδὲν ἀντιλέγειν·

[04112] χρεία δὲ ὅμως τῆς τῶν ἀκροωμένων εὐλαβείας.

[04113] Ὅτι μὲν γὰρ ἐπὶ τέλει τοῦ παρόντος αἰῶνος ἡ μετὰ σαρκὸς τοῦ Λόγου γέγονε παρουσία, οὐκ ἂν, οἶμαι, τὶς τῶν εὖ φρονούντων ἀρνήσαιτο.

[04114] Φανερὰ γὰρ τὰ ἐν ταῖς θείαις βοώμενα Γραφαῖς.

[04115] Ἀλλ' ὁ γινώσκων τὰ ἐσόμενα Θεὸς καὶ οὐχ ὅτε γίνεται τὰ πράγματα, καὶ πρὸ τῆς τοῦ κόσμου καταβολῆς ᾔδει τὰ ἐν ἐσχάτοις συμβησόμενα καιροῖς.

[04116] Διὸ δὴ τὰ ἑαυτῷ πρέποντα πράττων, οὐχ ὅτε γεγόναμεν, τότε πρῶτον περὶ ἡμῶν βουλεύεται, ἀλλὰ καὶ πρὶν γενέσθαι τὴν γῆν καὶ τοὺς αἰῶνας, ἔσχεν ἐν ἑαυτῷ τῶν καθ' ἡμᾶς τὴν γνῶσιν·

[04117] καὶ προεθεμελίωσε τὸν ἑαυτοῦ Υἱὸν ὅσον εἰς τὴν οἰκείαν πρόγνωσιν, ἵνα ἡμεῖς ἐποικοδομηθέντες αὐτῷ, πάλιν ἀναστῶμεν εἰς ἀφθαρσίαν οἱ πεσόντες εἰς φθορὰν διὰ τὴν παράβασιν.

[04118] Ἤδει γὰρ ὅτι νεκροὶ μὲν ἐσόμεθα διὰ τὴν ἁμαρτίαν·

[04119] κεισόμεθα δὲ ἐν γῆς χώματι, καθὰ γέγραπται, διὰ τὴν ἑαυτῶν ἀπείθειαν, ἀκούοντες·

[04120] Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.

[04121] Ἐπειδὴ δὲ χρηστὰ περὶ ἡμῶν καὶ πάλαι προεβουλεύετο ὁ πάντων ἡμῶν ποιητής τε καὶ δημιουργὸς, προεθεώρει καὶ προώριζε τὸν δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ἐσόμενον ἄνθρωπον, τουτέστι, τὸν ἑαυτοῦ Λόγον, ἵνα καὶ ἀρχὴ ὁδῶν καὶ θεμέλιος εὑρεθῇ, ἀνακαινιζομένης εἰς ἀφθαρσίαν τῆς ἀνθρώπου φύσεως ἐν αὐτῷ, καὶ χρηματίσῃ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, καὶ ἀναστῇ τῶν κεκοιμημένων ἀπαρχή.

[04122] Ὅπερ γὰρ ὁ πάνσοφος Σολομῶν ἐν ταῖς Παροιμίαις φησί·

[04123] Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, καὶ τὰ τούτοις ἐφεξῆς·

[04124] τοῦτο καὶ ὁ Παῦλος σαφηνίζει πρὸς Τιμόθεον τὸν ἑαυτοῦ μαθητὴν ἐπιστέλλων ὧδε·

[04125] Συγκακοπάθησον τῷ Εὐαγγελίῳ κατὰ δύναμιν Θεοῦ τοῦ σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατὰ ἰδίαν πρόθεσιν καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων, φανερωθεῖσάν τε νῦν διὰ τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν.

[04126] Εἰ τοίνυν καὶ πρὸ τοῦ αἰῶνος, οὔπω γεγονότες δηλαδὴ, κλήσει ἁγίᾳ κεκλήμεθα κατὰ χάριν καὶ πρόθεσιν τοῦ πάντα προειδότος Θεοῦ, κεκλήμεθα δὲ ἐν Χριστῷ Ἰησοῦ, [75.293] δῆλον ἂν εἴη καὶ παντί τῳ σαφὲς, ὅτιπερ οὐχ ὅτε τεθεμελίωται, τότε καὶ ἀρχὴν τοῦ εἶναι λαμβάνει ὁ τοῦ Θεοῦ Λόγος·

[04127] ἀλλὰ τὴν ἔνσαρκον ἑαυτοῦ παρουσίαν ἑρμηνεύει διὰ τούτων, καὶ πρὸ τοῦ αἰῶνος ἡδρᾶσθαί φησι καὶ πρὸ πάντων τῶν κτισμάτων, ὅσον εἰς τὴν πρόγνωσιν τοῦ Πατρός.

[04128] ΑΛΛΟ.

[04129] Ἔτι εἰς τὸ, Κύριος ἔκτισέ με, καὶ εἰς τὸ, Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με.

[04130] Λέγει που Παῦλος Ἐφεσίοις ἐπιστέλλων·

[04131] Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ·

[04132] καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν.

[04133] Εἰ τοίνυν οὔπω γεγονότες, εἰς υἱοθεσίαν προοριζόμεθα διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτὸν, καὶ εὐλογίαις πνευματικαῖς εὐλογούμεθα ἐν τοῖς ἐπουρανίοις, πῶς οὐκ ἄν τις ἀκούσας λέγοντος τοῦ Υἱοῦ τοῦ Θεοῦ, Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, ὅσον εἰς τὴν πρόγνωσιν τοῦ Πατρὸς τὰ τοιαῦτα λέγειν αὐτὸν ὑπολαμβάνοι, καθ' ἣν προγνωσθέντες ἐν αὐτῇ κεκλήμεθα, καὶ πάσης εὐλογίας ἀπολαύομεν, οὔπω πρὸς ὕπαρξιν ἐνεχθέντες ὅλως, ἀλλὰ πολλοῖς ὕστερον γεγονότες καιροῖς;

[04134] Αὐτὸ δὲ δὴ τοῦτο σαφέστατα διδάσκων ἡμᾶς, αὐτὸς ὁ Κύριος λέγει·

[04135] Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.

[04136] Εἰ δὲ ἡτοίμαστο καὶ ἡ βασιλεία παρὰ τοῦ Πατρὸς τοῖς οὔπω γεγονόσι, καὶ πρὸ τῆς τοῦ κόσμου καταβολῆς, ἡτοίμαστο δὲ πάντως ἐν Χριστῷ, εἰκότως ἂν λέγοι περὶ ἑαυτοῦ·

[04137] Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων.

[04138] Ταῦτα γὰρ πάντα τῆς κτίσεως σημαίνει τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάροδον.

[04139] ΑΛΛΟ, διηγηματικῶς, δι' οὗ τὴν αἰτίαν ὥσπερ μανθάνομεν τοῦ προωρίσθαι ἐν Χριστῷ, καὶ εἰς υἱοθεσίαν ἡμᾶς κατατετάχθαι ἐξ ἀγάπης Θεοῦ καὶ Πατρός.

[04140] Τὰ συμφέροντα τῇ ἀνθρώπου φύσει προνοήσας ὁ Θεὸς καὶ Πατὴρ, καὶ γινώσκων μὲν ὅτι πεσεῖται πάντως εἰς φθορὰν, τρόπον δὲ αὐτῇ ζητήσας ἀνανεώσεως καὶ τῆς εἰς ἀφθαρσίαν ἐπανόδου, ῥίζας ὥσπερ αὐτῇ τῆς τοιαύτης ἐλπίδος ἐν τῷ ἰδίῳ κατεβάλετο γεννήματι, καὶ εἰς υἱοθεσίαν ἡμᾶς προορίζει δι' αὐτοῦ, καὶ πάσης εὐλογίας πνευματικῆς ἀξιοῖ, καίτοι οὔπω γενομένους·

[04141] ἵν' ὅταν συμβῇ πεσεῖν εἰς θάνατον διὰ τὴν παράβασιν, ὥσπερ ἐξ ἀρχαίας ῥίζης πάλιν εἰς ζωὴν ἀναβλαστήσῃ, καὶ ὡς ἤδη προευλογηθεῖσα, μὴ παντελῶς ὑπὸ τὴν κατάραν γένηται, ὅταν ἀκούσῃ·

[04142] Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.

[04143] Προθεμελιοῦται τοίνυν ἡμῶν ὁ Χριστὸς, καὶ ἐν αὐτῷ πάντες ἡμεῖς ἐποικοδομούμεθα, καὶ τοῦτο πρὸ καταβολῆς κόσμου κατὰ πρόγνωσιν τοῦ πάντα εἰδότος Θεοῦ·

[04144] ἵνα, καθάπερ ἤδη προείπομεν, ἀρχαιοτέραν ἔχωμεν τῆς κατά [75.296] ρας τὴν εὐλογίαν, καὶ τῆς εἰς τὸν θάνατον καταδίκης, τὴν εἰς ζωὴν ὑπόσχεσιν, καὶ τῆς ἐκ τοῦ διαβόλου δουλείας, τῆς υἱοθεσίας τὴν ἐλευθερίαν.

[04145] Ἀνατρέχει δὲ ἡ φύσις εἰς τὸ ἀρχαῖον, τὰ μεταξὺ συμβεβηκότα νικήσασα, διὰ τὴν χάριν τοῦ θεμελιώσαντος αὐτὴν ἐν ἀγαθοῖς ἐν Χριστῷ, καὶ πάλιν ἐκεῖνο γίνεται ὅπερ ἦν ἐν προγνώσει τοῦ Θεοῦ, ἐξ ἀγάπης προοριζομένη πρὸς πάντα τὰ κάλλιστα δι' Υἱοῦ.

[04146] ΑΛΛΟ, ὡς ἐν ὑποδείγματι.

[04147] Πῶς ἡμῖν προθεμελιοῦται ἡ τοῦ Θεοῦ σοφία πρὸ τοῦ αἰῶνος, ἀναγκαῖον ἰδεῖν.

[04148] Ὥσπερ εἴ τις ἀρχιτέκτων σοφὸς οἴκου κατασκευῆς ἀρχόμενος, ἐννοήσας τε, κατὰ τὸ εἰκὸς, μή τι ἄρα καὶ πάθοι, προϊόντος τοῦ χρόνου, τῶν ὅσα πέφυκε γίνεσθαι περὶ τὰς τῶν οἰκοδομημάτων κατασκευὰς, θεμέλιον ἀῤῥαγῆ καταβάλλεται, καὶ ῥίζαν ὥσπερ ἀκλόνητον τοῖς ἔργοις ἐπινοεῖ, ἵν' εἴ τι καὶ πάθοι σωζομένην ἔχοντα τὴν ἀρχὴν, αὖθις ἐπ' αὐτῇ καὶ ἀναστῆναι δυνηθῇ·

[04149] τὸν αὐτὸν δὴ τρόπον ὁ πάντων δημιουργὸς, τῆς ἡμετέρας σωτηρίας προεθεμελίωσε τὸν Χριστὸν, καὶ πρὸ τῆς τοῦ κόσμου κατασκευῆς, ἵν' ἐπειδήπερ συμβῇ πεσεῖν διὰ τὴν παράβασιν, αὖθις ἀνακτισθῶμεν ἐπ' αὐτῷ.

[04150] Ὅσον μὲν οὖν εἰς βουλήν τε καὶ πρόθεσιν τοῦ Πατρὸς, καὶ πρὸ τοῦ αἰῶνος θεμελιοῦται Χριστός·

[04151] τὸ δέ γε ἔργον οἰκείῳ γέγονε καιρῷ, οὕτως ἀπαιτούσης τῆς χρείας τοῦ πράγματος.

[04152] Ἀνανεούμεθα γὰρ ἐν Χριστῷ κατὰ τὸν τῆς ἐπιδημίας καιρὸν, οἱ καὶ πάλαι τῆς σωτηρίας αὐτὸν θεμέλιον ἔχοντες.

[04153] ΛΟΓΟΣ Ις'.

[04154] Περὶ ἀϊδιότητος Υἱοῦ, καὶ ὅτι ἀμερίστως προῆλθεν ἐκ τῆς οὐσίας τοῦ Πατρός.

[04155] Ἀντίθεσις Ἀρειανῶν·

[04156] πρὸς ἣν αἱ λύσεις ἐφεξῆς.

[04157] Καὶ πῶς ἂν δύναιτο, φασὶν, ἀΐδιος εἶναι ὁ Υἱός;

[04158] πῶς δὲ προελθὼν ἐκ Πατρὸς, οὐ πάντως αὐτοῦ καὶ μεμέρισται;Τὸ γὰρ ἔκ τινος προελθὸν, μέρος ἂν εἴη τῆς οὐσίας, ἀφ' ἧς καὶ προελήλυθε.

[04159] Τὸ δὲ ἅπαξ ἀπομερισθὲν, οὐκ ἂν ὁλόκληρον εἶναι νοοῖτο.

[04160] Ἐξ ὑποδείγματος ἡ λύσις.

[04161] Τί οὖν ἄρα φήσουσι συμβαίνειν περὶ τὸν ἥλιον, ὅταν ἐκπέμπῃ τὸ ἴδιον ἀπαύγασμα;

[04162] Τί δὲ περὶ τὸ πῦρ νομίζουσι γίνεσθαι, ὅταν ἐξ ἑαυτοῦ τὴν θερμασίαν ἐκπέμπῃ;

[04163] Μερισμοὺς ἄρα καὶ ἀποκοπὰς ἐν ταῖς τοιαύταις οὐσίαις ὑπολαμβάνουσι γίνεσθαι;

[04164] Καὶ μὴ λάμπει μὲν ὁ ἥλιος κατ' οὐδένα τρόπον ἐλαττούμενος;

[04165] Διέλοι δ' ἂν οὐδεὶς τοπικῶς τὸ ἀπαύγασμα ἀπ' αὐτοῦ.

[04166] Ἀπὸ δέ γε τοῦ πυρὸς, οὐ μεμερισμένως ὁρῶμεν τὴν θερμασίαν ἐκτρέχουσαν, ἀλλ' ἔστι τῆς τοῦ πυρὸς οὐσίας καρπὸς ἀμερίστως ἐξ αὐτῆς προϊὼν, ὥσπερ καὶ τὸ ἀπαύγασμα τοῦ φωτός.

[04167] Καὶ οὐκ ἂν εἴη τὸ φῶς ποτε χωρὶς ἀπαυγάσματος, οὐδὲ τὸ πῦρ χωρὶς τοῦ θερμαίνειν.

[04168] Ἀεὶ γὰρ παραπέφυκε ταῖς τοιαύταις οὐ [75.297] σίαις τὰ ἐξ αὐτῶν τικτόμενα.

[04169] Οὕτω μοι νόει τὸν Υἱὸν ἐκ τῆς τοῦ Πατρὸς οὐσίας προερχόμενον, ἀϊδίως τε ὄντα ἐν αὐτῷ, καὶ ἐν ἰδίᾳ νοούμενον ὑποστάσει, καὶ κατ' οὐδένα τρόπον ἐλαττοῦντα τὴν τοῦ Πατρὸς οὐσίαν, ἢ αὐτὸν ταύτης ἀπομεριζόμενον·

[04170] ἀλλ' εἶναί τε αὐτὸν ἐν Πατρὶ, καὶ ἔχειν ἐν ἑαυτῷ τὸν Πατέρα, ὡς καὶ ἀληθεύειν λέγοντα·

[04171] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί·

[04172] καὶ διὰ τὸ τῆς οὐσίας ἀπαράλλακτον, αὐτόν τε ἐν τῷ Πατρὶ, καὶ ἐν αὐτῷ φαίνεσθαι τὸν Πατέρα, οὕτω τε δύνασθαι λέγειν·

[04173] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν·

[04174] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.

[04175] ΑΛΛΟ.

[04176] Οἱ λέγοντες ἀποκεκόφθαι τῆς τοῦ Πατρὸς οὐσίας τὸν Υἱὸν, διὰ τὸ ἐξ αὐτῆς προελθεῖν, καὶ εἶναι μέρος λοιπὸν οὐχ ὁλόκληρον, λεγέτωσαν ἀποκεκόφθαι καὶ τοῦ φωτὸς τὸ ἀπαύγασμα, καὶ τοῦ πυρὸς τὴν ἐξ αὐτοῦ προϊοῦσαν θερμασίαν, καὶ τοῦ νοῦ τὸν λόγον·

[04177] καὶ δεικνύτωσαν ὅτι μέρη ταῦτα διῃρημένως ἐστὶ τῶν οὐσιῶν, ἐξ ὧν καὶ προέρχονται, ἢ ὅτι χωρὶς μὲν ἀπαυγάσματος ἦν ποτε τὸ φῶς, χωρὶς δὲ θερμασίας τὸ πῦρ, ἄλογος δὲ ὁ νοῦς.

[04178] Καὶ τότε φανταζέσθωσαν τοιαῦτά τινα καὶ περὶ τὸν τοῦ Θεοῦ Λόγον.

[04179] Εἰ δὲ ταῦτα σύνεστι μὲν ἀεὶ ταῖς οὐσίαις, ἀφ' ὧν καὶ προέρχονται, ἀμερίστως δὲ τοῦτο ποιοῦσι, καὶ οὐ κεχωρισμένως (οὐ γὰρ πάθη καὶ ἀποκοπὰς ἐμποιοῦσιν αὐταῖς), πῶς οὐ πάσης εἰσὶν ἀσεβείας ἐπέκεινα ταῦτα τῇ θείᾳ φύσει προσάπτοντες, ἃ μηδὲ περὶ τὴν τῶν γενητῶν φύσιν γενέσθαι δοίη τις ἂν, εἴ γε νοῦν ἔχοι καὶ φρονοίη καλῶς;

[04180] ΑΛΛΟ.

[04181] Ὡς ἐξ ἀντιθέσεως τῶν αἱρετικῶν.

[04182] Καὶ πῶς, φασὶ, δύναται ὁ Υἱὸς ἀΐδιος εἶναι μετὰ Πατρός;

[04183] Καὶ γὰρ οἱ τῶν ἀνθρώπων υἱοὶ τίκτονται μετὰ τοὺς πατέρας, καὶ χρόνοις ὕστερον γίνονται πολλοῖς, οὐκ ὄντες πρὶν γεννηθῆναι.

[04184] Πῶς δὲ πάλιν ὁ Υἱὸς Λόγος εἶναι δύναται, ἢ εἰκὼν τοῦ Θεοῦ;

[04185] Καὶ γὰρ ὁ τῶν ἀνθρώπων λόγος οὔτε ἐνυπόστατός ἐστιν, οὔτε μετὰ τὸ ῥηθῆναι σώζεται·

[04186] ἀλλ' εὐθὺς εἰς τὸ μὴ ὂν ἀναλύεται, σημήνας τὸ κατὰ διάνοιαν τῷ λαλοῦντι κείμενον, καὶ τὰ ἐν τῷ βάθει τῆς καρδίας φανεροποιήσας νοήματα.

[04187] Πρὸς τοῦτο λύσις.

[04188] Εἰ μὲν ὡς ἄνθρωπος οὕτως ἐστὶ καὶ Θεὸς, καὶ πλέον τῶν ἐν ἡμῖν οὐδὲν ἐν αὐτῷ, κρατείτω καὶ ἐπ' αὐτοῦ τὰ ἀνθρώπινα·

[04189] καὶ προϋπαρχέτω τοῦ ἰδίου γεννήματος ὥσπερ καὶ ἡμεῖς·

[04190] καὶ ἐκ τοῦ μὴ ὄντος ἔστω τὸ ἐξ αὐτοῦ προελθόν.

[04191] Εἰ δὲ πολὺ τῶν ἡμετέρων τὸ Θεῖον ἀπῴκισται, καὶ οὐδὲν αὐτῷ κοινὸν πρὸς ἡμᾶς, ὅσον εἰς τὸν τῆς οὐσίας λόγον, πῶς αὐτὸ τοῖς ἀνθρωπίνοις καταδεσμοῦσι κακοῖς, καὶ ταῖς ἡμετέραις ἀνάγκαις ὑποτιθέντες οὐκ αἰσχύνονται;

[04192] Ὅσῳ γὰρ ἂν τὴν ἀνθρώπου φύσιν ἐξάλληται, τοσοῦτον, οἶμαι, καὶ τῶν παρ' ἡμῖν ἐθῶν τε καὶ νόμων φυσικῶν ἔσται καὶ ἀμείνων.

[04193] Οὐκοῦν φθαρτοὶ μὲν ἡμεῖς, ἄφθαρ [75.300] τος δὲ ὁ Θεός.

[04194] Ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθημεν·

[04195] ἀεὶ δὲ ἦν καὶ ἔσται Θεός.

[04196] Ὁποῖος δ' ἂν ὁ τίκτων ὑπάρχῃ, τοιοῦτον εἶναι χρὴ καὶ τὸν ἐξ αὐτοῦ τικτόμενον.

[04197] Ἀΐδιος δὲ ὁ Θεὸς καὶ Πατὴρ, ἀΐδιον ἄρα καὶ τὸ ἐξ αὐτοῦ φῶς ἦν καὶ ἔστι.

[04198] Συνῆν ἄρα τῷ φωτὶ τὸ ἀπαύγασμα.

[04199] Καὶ ὁ μὲν ἐξ ἀνθρώπου προερχόμενος λόγος, εἰς τὸ μὴ ὂν ἀναλύεται, καὶ οὔτε ζῶν ἐστιν, οὔτε ἐνεργής.

[04200] Καὶ γὰρ καὶ ὁ τοῦτον γεννήσας ἄνθρωπος, ἐκ τοῦ μὴ ὄντος ἐστὶ καὶ ὑπόκειται φθορᾷ.

[04201] Ὁ δὲ τοῦ Θεοῦ Λόγος ζῶν ἐστι·

[04202] καὶ ἐκ ζῶντος προελθὼν, ἦν ἀεὶ καὶ ἔστιν.

[04203] Οὐ γὰρ ἦν, οὐδὲ ἔσται ποτὲ, χωρὶς Λόγου Θεός.

[04204] Καὶ γοῦν ὁ Παῦλός φησι περὶ αὐτοῦ, ὅτι Ζῶν ὁ Λόγος τοῦ Θεοῦ καὶ ἐνεργής.

[04205] Δημιουργὸς γοῦν ἐστι, καὶ πάντα γέγονε δι' αὐτοῦ, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν.

[04206] ΑΛΛΟ.

[04207] Ὡς ἐξ ἀντιθέσεως τῶν αἱρετικῶν.

[04208] Οὐκ ἔστι, φασὶν, ὁ Χριστὸς ἡ ἔμφυτος καὶ ἐνυπάρχουσα τῷ Θεῷ δύναμις καὶ σοφία, ἀλλ' ἑτέρα μὲν ἐκείνη περὶ ἧς καὶ ὁ Παῦλός φησιν, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θεότης·

[04209] ἕτερος δὲ παρ' ἐκείνην ὁ Χριστὸς, καὶ ἕτεραι πολλαὶ σὺν αὐτῷ δυνάμεις τε καὶ σοφίαι καλούμεναι.

[04210] Καὶ ἡ μὲν ἔμφυτος ὄντως καὶ ἀληθὴς τοῦ Θεοῦ δύναμις, ποιητικὴ τῶν ὅλων ἐστίν·

[04211] αἱ δὲ γεγόνασι παρ' αὐτῆς, εἰ καί τις ἐξαίρετος τοῦ Θεοῦ δύναμις παρὰ τὰς ἄλλας ὑπάρχει Χριστὸς, εἰς τοῦτο γενομένη, ἵνα δυναμώσῃ τὰ δυνάμεως χρήζοντα·

[04212] ἵνα σοφώσῃ τὰ δεόμενα σοφισμοῦ, ἵνα δικαιώσῃ τὰ δικαιοσύνην οὐκ ἔχοντα.

[04213] Ἔστιν οὖν, φησὶν, ἡ μὲν ἔμφυτος τοῦ Θεοῦ δύναμις ἄναρχός τε καὶ ἀγένητος, ἀϊδίως ἐν Πατρί.

[04214] Γέγονε δὲ ὁ Χριστὸς ἐπὶ ταῖς εἰρημέναις αἰτίαις.

[04215] Εἰ δὲ νομίζουσί τινες αὐτὸν εἶναι τὸν Χριστὸν τὴν ἔμφυτον τοῦ Θεοῦ δύναμιν διὰ τὸ γεγράφθαι παρὰ Παύλῳ·

[04216] Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, τί ἄρα ἐροῦσιν ἀκούοντες τοῦ Θεοῦ λέγοντος περὶ τῆς κάμπης·

[04217] Ἡ δύναμίς μου ἡ μεγάλη;

[04218] Τί δὲ ποιήσουσι πολλὰς Θεοῦ δυνάμεις σημαίνοντος τοῦ Ψαλμῳδοῦ, δι' ὧν φησιν·

[04219] Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ;

[04220] Πρὸς ταῦτα λύσις.

[04221] Εἰ διὰ τοῦτο γέγονεν ὁ Χριστὸς, ἵνα δικαιώσῃ τὰ δικαιοσύνης δεόμενα, ἵνα σοφώσῃ τὰ δεόμενα σοφισμοῦ, ἵνα δυναμώσῃ τὰ δυνάμεως χρήζοντα, ἡμεῖς ἄρα αὐτῷ γεγόναμεν τοῦ εἶναι αἴτιοι, καὶ οὐδ' ἂν ἐγένετο καθ' ἡμᾶς, εἰ μὴ Θεὸς ἐβουλεύσατο δημιουργῆσαι τὰ γενητά.

[04222] Καὶ εἰ τῆς ἡμῶν ἕνεκα χρείας ταῦτά ἐστιν, ὄργανον ἄρα τῆς ἡμῶν δημιουργίας ἐστὶν, οὐκ ἐξ ἑαυτοῦ τοιοῦτος ὑπάρχων, ἀλλ' οὕτω γεγονὼς δι' ἡμᾶς.

[04223] Ἆρ' οὖν ὥσπερ καλεῖται δύναμις διὰ τὰ δυναμούμενα, καὶ σοφία διὰ τὰ σοφούμενα, οὕτω καὶ ὁ Υἱὸς διὰ τὰ υἱοποιούμενα, καὶ οὐδέν ἐστι κυρίως δι' ἑαυτὸν, πάντα δὲ ταῦτα δι' ἡμᾶς.

[04224] Πῶς οὖν σωθήσεται τὸ ἐν Ψαλμοῖς ᾀδόμενον·

[04225] Αὐτὸς ἐποίησε ἡμᾶς, καὶ οὐχ ἡμεῖς, εἴπερ ἡμεῖς αὐτῷ δεδώκαμεν τοῦ εἶναι τὰς αἰτίας;

[04226] Εἰ γὰρ καὶ αὐτὸς φαίνοιτο τῆς [75.301] ποιήσεως ἡμῶν αὐτουργὸς, ἀλλ' ἡμεῖς αὐτῷ γεγόναμεν τοῦ εἶναι τὰ σπέρματα, καὶ διὰ τὴν ἡμετέραν χρείαν ἐκτίσθη, καθ' ὑμᾶς.

[04227] Ὥσπερ ἀμέλει καὶ ὁ οὐρανὸς, ἵνα καλύπτῃ τοὺς ἐπὶ γῆς, καὶ ὁ ἥλιος ἵνα φαίνῃ τοῖς φωτὸς δεομένοις·

[04228] καὶ ἡ γῆ δὲ ὁμοίως ἵνα τρέφῃ τὰ τροφῆς δεόμενα.

[04229] Καὶ τὸ περιττὸν οὐδὲν ἐν Υἱῷ καὶ κτίσμασιν, εἴ γε καὶ αὐτὸς ὡς ἐκεῖνα τάξιν ἔχει τὴν ὑπουργικήν·

[04230] φεῦγε τοῦ λόγου τὴν ἀτοπίαν.

[04231] ΑΛΛΟ, ἐκ τῶν αὐτῶν.

[04232] Ὁμολογεῖς καὶ ἄκων, αἱρετικὲ, τὴν ἔμφυτον τοῦ Θεοῦ σοφίαν καὶ δύναμιν, ἀγενήτως ἐνυπάρχειν αὐτῷ·

[04233] ὅταν οὖν ἀκούσῃς ἀγένητον τὸν Υἱὸν, μὴ πάλιν λέγε·

[04234] Δύο οὖν ἀγένητα.

[04235] Αὐτὴν δὲ ταύτην τὴν ἐν Θεῷ σοφίαν καὶ δύναμιν ἀγενήτως τε καὶ ἀχρόνως ὑπάρχουσαν πιστεύομεν εἶναι τὸν Υἱὸν, ὃς καὶ πάντα δεδημιούργηκε, καὶ δι' ἡμᾶς γέγονε σὰρξ, κατὰ τὴν Ἰωάννου φωνήν.

[04236] ΑΛΛΟ, ὡς ἐν ἐρωτήσεως σχήματι, ἀποδεικτικὴν ἔχον δύναμιν.

[04237] Διατί τὰ πάντα ὁ Πατὴρ ἐργάζεται δι' Υἱοῦ;

[04238] ἢ διατί πάλιν ἐν τῷ ἁγίῳ βαπτίσματι καὶ ὁ Υἱὸς τῷ Πατρὶ συγκατονομάζεται;

[04239] Διατί δὲ γενητῆς ὑπάρχων φύσεως, καθ' ὑμᾶς, συναριθμεῖται τῷ κτίσαντι;

[04240] Τίς δὲ χρεία τοῦ πεποιημένου εἰς τὴν τῶν πάντων τελείωσιν καὶ ἁγιασμόν;

[04241] Πῶς δὲ βοηθὸν αὐτὸν ἐπικαλούμεθα;

[04242] Καίτοι πολλὰ μὲν καὶ ἕτερα κτίσματα γεγονότα φαίνεται, ἀλλὰ τούτων οὐδὲν εἰς τὴν τῶν εἰρημένων χρείαν παραλαμβάνεται·

[04243] μόνος δὲ ὁ Υἱὸς ἀεὶ συνυπάρχων τῷ Πατρί.

[04244] Ποῖον γὰρ ἔχει λόγον, εἰ μὴ Θεὸς ὑπάρχοι καὶ αὐτὸς, εἰς κτίστην καὶ κτίσμα τὴν πίστιν κυρήττεσθαι;

[04245] Διατί δὲ καὶ δημιουργὸς ὀνομάζεται, εἰ μὴ τοῦτό ἐστι κατὰ φύσιν ὅπερ καὶ ὁ Πατήρ;

[04246] Καὶ μὴν αὐτὸς ἔφησεν ὁ Υἱός·

[04247] Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι.

[04248] Ἔχει δὲ ὁ Πατὴρ τὸ δύνασθαι δημιουργεῖν, τοῦτο καὶ ἐν Υἱῷ σώζεται.

[04249] Ὁμοίως τὸ ἁγιάζειν, τὸ σώζειν, καὶ ὅσα πρέπει Θεῷ, πάντα δι' Υἱοῦ.

[04250] Σύνεστι γὰρ ἀεὶ τῷ Πατρὶ, ὡς τῷ φωτὶ τὸ ἀπαύγασμα.

[04251] Θεὸς ἄρα Υἱὸς, οὐ πεποιημένος, καθάπερ ἐκεῖνοι ψευδόμενοι λέγουσιν, ἀλλ' ἐκ τῆς τοῦ Πατρὸς οὐσίας προελθὼν γνήσιον γέννημα.

[04252] ΛΟΓΟΣ ΙΖʹ.

[04253] Ὅτι τῶν προσόντων τῷ Υἱῷ, οὐδὲν τῇ κτίσει πρόσεστι φυσικῶς·

[04254] πάντα δὲ ἐκ μετοχῆς ἢ καθ' ὁμοίωσιν τὴν πρὸς τὸν διδόντα φορεῖ·

[04255] ὁ δὲ Υἱὸς οὐχ οὕτως.

[04256] Διόπερ ἕτερος παρ' αὐτήν.

[04257] Εἰ δὲ τοῦτο, οὐκ ἄρα κτίσμα ἐστίν.

[04258] Ἀπολογία αὐτολεξεί.

[04259] Εἰ πᾶσα ἡ κτίσις ἐν ἀγνοίᾳ καθέστηκε τῇ περὶ τὸν Πατέρα, οὐδεὶς γὰρ οἶδε τίς ἐστιν ὁ Πατὴρ, οἶδε δὲ μόνος ὁ Υἱὸς, οὐκ ἄρα κτίσμα τυγχάνει.

[04260] ΑΛΛΟ.

[04261] Εἰ μηδὲν τῶν γεγονότων ἐστὶ φύσει Θεὸς, φύσει δὲ Θεὸς ὁ Υἱὸς, οὐκ ἄρα τῶν γεγονότων ἐστίν.

[04262] Ἦν [75.304] δ' ἡμῶν καταγέλαστος ὁ πρότερος βίος, ὅτι μὴ οὖσι φύσει θεοῖς ἐδουλεύσαμεν, πολλῷ μᾶλλον νῦν ἐσμεν ἀθλιώτεροι, τῷ μὴ φύσει θεῷ προσάγοντες τὴν λατρείαν·

[04263] φεῦγε τὸ ἄτοπον.

[04264] ΑΛΛΟ.

[04265] Εἰ πᾶν τὸ γενητὸν ἕτερόν ἐστι πάντη τοῦ ἀγενήτου κατὰ τὴν φύσιν, οὐ δύναται τῆς ἐκείνου δόξης ἰσομέτρως κοινωνεῖν.

[04266] Τὴν γὰρ δόξαν μου, φησὶν ὁ Θεὸς, ἑτέρῳ οὐ δώσω.

[04267] Εἰ δὲ κοινωνεῖ ὁ Υἱὸς ἐρχόμενος ἐν τῇ δόξῃ τοῦ Πατρὸς, οὐκ ἄρα κτίσμα ἐστὶν ὁ τὴν τοῦ ἀκτίστου δόξαν ἠμφιεσμένος.

[04268] ΑΛΛΟ.

[04269] Θεὸν ἀληθινὸν ἀποκαλοῦσιν αἱ θεῖαι Γραφαὶ τὸν Υἱὸν, καὶ οὕτω πιστεύομεν.

[04270] Εἰ δὲ πᾶν τὸ γενόμενον πρόσφατόν ἐστιν ὡς πρὸς τὸ ἀγένητον·

[04271] οὐχ ὅσιον δὲ εἶναι Θεὸν πρόσφατον ἐν ἡμῖν, οὐκ ἔσται ἄρα Θεὸς πρόσφατος ὁ Υἱὸς, ὅπερ ἐστὶ τὸ ἀγένητον.

[04272] ΑΛΛΟ.

[04273] Εἰ τὸ γενητὸν καθόλου ἕτερόν ἐστι τοῦ ἀγενήτου, οὐ δεῖ αὐτῷ προσκυνεῖν.

[04274] Ἀπηγόρευσε γὰρ τοῦτο τὸ θεῖον λόγιον.

[04275] Εἰ δὲ τῷ Υἱῷ προστασσόμεθα προσκυνεῖν, οὐκ ἔτι δὲ καὶ ἑτέρῳ Θεῷ, ὅπερ ἐστὶ τὸ γενητόν·

[04276] οὐ γενητὸς ἄρα ὁ Υἱός.

[04277] ΑΛΛΟ.

[04278] Εἰ πᾶν τὸ γενόμενον δοῦλόν ἐστι τοῦ πεποιηκότος, ἀδυνάτως ἄρα ἔχει ἑτέρῳ τὴν ἐλευθερίαν ὀρέγειν, ἧς αὐτὸ οὐκ ἔτυχεν.

[04279] Εἰ δὲ παρέχει ὁ Υἱὸς, οὐχ ὡς δοῦλος δηλονότι, Κύριος δὲ μᾶλλον καὶ Θεός.

[04280] ΑΛΛΟ.

[04281] Εἰ πᾶσα ἡ κτίσις ὑπὸ φύσιν οὖσα τῇ φύσει δουλεύει ὑφ' ἣν καὶ πεποίηται, ἐλεύθερον δὲ πάντη τὸ θεῖον καὶ κρεῖττον ἀνάγκης φυσικῆς, δῆλον ὡς οὐ δεδούλωται φύσει Θεός.

[04282] Ἐπεὶ δὲ Θεὸς ὁ Υἱὸς, οὐκ ἔσται ἄρα ὑπὸ φύσιν, ὅπερ τῶν γεγονότων ἐστὶν οἰκεῖον.

[04283] Ὁ δὲ τῆς πρὸς τὴν κτίσιν ὁμογενείας φυσικῶς ἀπῳκισμένος, πῶς οὐκ ἂν εἴη παρ' αὐτὴν ἑτεροφυής τε καὶ ξένος;

[04284] ΑΛΛΟ.

[04285] Εἰ μηδὲν τῶν ἐν τῇ κτίσει φυσικῶς ἀπηκρίβωται πρὸς τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ὁμοιότητα, ὅμοιος δὲ ὁ Υἱὸς, ὡς τὸν ὁρῶντα αὐτὸν, τὸν Πατέρα ὁρᾷν, οὐκ ἄρα κτίσμα ὁ τὴν ἐκείνου ἀπηκριβωμένως φέρων ὁμοιότητα.

[04286] ΑΛΛΟ.

[04287] Εἰ πάντα τὰ κτίσματα δοῦλα τοῦ Θεοῦ, ἀλλ' οὐ κύρια τῆς δόξης, οὐκέτι δὲ ὁ Υἱός·

[04288] τῆς γὰρ δόξης Κύριος·

[04289] οὐκ ἄρα κτίσμα τυγχάνει.

[04290] ΑΛΛΟ.

[04291] Εἰ πᾶν τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρενεχθὲν, αὖθις ἐνδέχεται καὶ εἰς τὸ μὴ ὂν χωρῆσαι, οὐκ ἔστι [75.305] δὲ τοῦτο ἐνδεχόμενον ἐπὶ τοῦ Υἱοῦ, εἴπερ ἀληθῶς ἐστι Θεὸς, οὐκ ἄρα ἐκ τοῦ μὴ ὄντος ὁ Υἱὸς, ἀλλ' ἐκ τοῦ ὄντως Πατρὸς γενητός.

[04292] ΑΛΛΟ.

[04293] Εἰ κτισμάτων ἴδιον τὸ δύνασθαι ἁμαρτάνειν, οὐκ ἔτι δὲ καὶ τοῦ Υἱοῦ, οὐκ ἄρα κτίσμα τυγχάνει.

[04294] ΑΛΛΟ.

[04295] Εἰ μηδὲν τῶν γεγονότων ἀνεδείχθη ποτὲ ἐκ μὴ ὄντων ποιοῦν οὐσίας, ποιεῖ δὲ ὁ Υἱὸς, πῶς τῶν γεγονότων ἐστίν;

[04296] ΑΛΛΟ.

[04297] Εἰ πᾶν τὸ γενητὸν ὅμοιον ὡς πρὸς ἑαυτὸ κατὰ τὸν τοῦ πεποιῆσθαι λόγον, καὶ οὐδὲν οὐδενὸς διαφέρει καθὸ γέγονεν ἕκαστον·

[04298] ἔστι δὲ γενητὸς καὶ ὁ Υἱὸς, οὐδενὸς ἄρα ἔσται διαφέρων ἢ καὶ αὐτὸς γέγονεν.

[04299] Εἰ δὲ πάντων τῶν γενητῶν κατὰ πάντα διαφέρει, δῆλον ὅτι καὶ κατὰ τὸν τῆς γενέσεως τρόπον, ὅπερ ἐστὶ τὸ μὴ γενέσθαι.

[04300] Οὕτω γὰρ διοίσει τῶν γεγονότων.

[04301] Εἰ δὲ τοῦτο, πῶς οὐ Θεός;

[04302] ΑΛΛΟ.

[04303] Εἰ πᾶσα ἡ κτίσις ἐν διαστήματι ἤτοι χρόνῳ γέγονεν, οὐδὲν δὲ τούτων προλαμβάνει τὴν Υἱοῦ γέννησιν, οὐκ ἄρα γέγονεν αὐτός.

[04304] Εἰ δὲ προλαμβάνεται διαστήματι χρονικῷ τε καὶ γενητῷ, πῶς πάντων ἐστὶ δημιουργὸς, διαστήματι προλαμβανόμενος γενητῷ;

[04305] Εἰ δ' ἀγένητον εἴη τοῦτο τὸ διάστημα, συνάμιλλον εὑρήσει Θεὸς τῆς ἑαυτοῦ ἀγενησίας τὸ διάστημα.

[04306] Εἰ δὲ μήτε ῥοπὴ, μήτε διάστημα, μήτε ἄλλο τί ἐστι πρὸ τοῦ Υἱοῦ, πόθεν προϋπάρχειν λέγουσι τὸν Πατέρα, τοῦτο προϋπάρχειν σημαίνοντος οὐχ εὑρισκομένου;

[04307] ΑΛΛΟ.

[04308] Εἰ μηδὲν τῶν γενομένων λέλεκταί τε καὶ ἔστιν ἐπὶ πάντων Θεὸς, ἔστι δὲ ἐπὶ πάντων Θεὸς ὁ Υἱὸς, οὐκ ἄρα τῶν γενομένων ἐστίν.

[04309] Εἰ δὲ Θεὸς ἐπὶ πάντων ὑπάρχων ὁ Υἱὸς, καὶ γενητός ἐστιν, ἔστι δὲ ἐπὶ πάντων Θεὸς καὶ ὁ Πατὴρ, γενητὸς ἔσται κατ' αὐτοὺς, ὅπερ ἀσεβὲς ἐννοεῖν.

[04310] ΑΛΛΟ.

[04311] Εἰ μηδὲν τῶν γενομένων τὰ αὐτὰ δύναται ποιεῖν τῷ Θεῷ, πάντα δὲ ἃ ποιεῖ ὁ Πατὴρ, ὁμοίως καὶ ὁ Υἱὸς, οὐκ ἄρα τῶν γενομένων ἐστίν.

[04312] ΑΛΛΟ.

[04313] Εἰ πάντα τὰ γενητὰ ἐξ ἑτέρου τὸ εἶναι ἔχει, πολλῷ μᾶλλον τὸ λέγεσθαι αὐτοὺς θεούς.

[04314] Εἰ δὲ μετοχῇ ἔχουσι τὸ εἶναι θεοὶ (οὐ φύσει δηλονότι θεοὶ τὰ γενητὰ), τοῖς δ' οὐ φύσει θεοῖς προσκυνεῖν ἀπαγορευτέον.

[04315] Εἰ δὲ τούτοις μὲν ἀπαγορευτέον, οὐκέτι δὲ καὶ τῷ Υἱῷ, οὐχ ὡς μὴ φύσει ἄρα Θεῷ ὅπερ ἐστὶ τὰ γεννητά.

[04316] ΑΛΛΟ.

[04317] Εἰ τὸν ἐκ μὴ ὄντων ὑφιστῶντα οὐσίας ἐνεδέχετο [75.308] ὑφ' ἑτέρου γενέσθαι, ποιεῖ δὲ ἐκ μὴ ὄντων ὁ Πατὴρ, ἐνδέχεται ἄρα αὐτὸν, κατ' αὐτοὺς, ἐκ μὴ ὄντων γεγονέναι.

[04318] Εἰ δὲ ἀπρεπὲς καὶ ἀδύνατον ἑτέρων φύσεων δημιουργὸν ἐννοεῖν ὑφ' ἑτέρας ἐκτίσθαι φύσεως, ἀτοπώτερον ἄρα, τὸν ἁπάσης φύσεως αὐτουργὸν ὑφ' ἑτέρας δημιουργεῖσθαι φύσεως ὑπολαμβάνειν.

[04319] Καὶ γὰρ ἂν τὸ ποιοῦν ἐγίνετο καὶ τὸ γινόμενον ἐποίει, εἴπερ ὁ Υἱὸς γινόμενος ἐποίει, κατ' ἐκείνους, ὅπερ ἐστὶν ἀτοπώτατον·

[04320] εἴ γε μόνῃ προσήκει τηρεῖσθαι τῇ θείᾳ φύσει τὰ αὐτῆς ἐξαίρετα, ὧν ἓν καὶ πρῶτον ὑπάρχει τὸ ἐκ μὴ ὄντων δύνασθαι δημιουργεῖν.

[04321] ΛΟΓΟΣ ΙΗʹ.

[04322] Ὅτι μὴ ταυτὸν κτίσμα καὶ γέννημα, μηδὲ τῷ κτίζειν τὸ γεννᾷν ἐπὶ Θεοῦ·

[04323] καὶ ἄλλα διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς ἔχοντα τὸ συμπέ ρασμα.

[04324] Ἀπολογία αὐτολεξεί.

[04325] Εἰ τὸ γέννημα τῷ κτίσματι ταυτὸν ἦν παρὰ Θεῷ, οὐκ ἂν ἐπὶ τὸν Μονογενῆ ἐφέρετο φωνή·

[04326] Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός·

[04327] ἅτε δὴ καὶ τῶν ἀψύχων κατὰ φύσιν υἱῶν ὄντων Θεοῦ, εἴπερ τὸ κτίσμα ταυτὸν τῷ γεννήματι τυγχάνει.

[04328] ΑΛΛΟ.

[04329] Εἰ ὥσπερ τὸ κτίσμα κυρίως λέγεται ἐφ' ἡμῶν, οὕτως καὶ τὸ γέννημα, ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ Υἱοῦ, οὐδὲν ἡμῶν ἕξει πλέον εἰς ὑπεροχὴν κτίσμα καὶ γέννημα κυρίως ὤν.

[04330] ΑΛΛΟ.

[04331] Εἰ τὸ γέννημα καὶ τὸ κτίσμα ταυτὸν τυγχάνει, ἔστι δὲ κτίσμα καὶ τὸ Πνεῦμα τὸ ἅγιον, κατ' αὐτοὺς, δῆλον ὅτι καὶ γέννημα.

[04332] Εἰ δὲ καὶ τὸ Πνεῦμα γέννημα, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ γέννημα, καὶ τὰ πάντα γεννήματα, πῶς μονογενὴς ὁ Υἱὸς ὁ μετὰ πολλῶν ἀδελφῶν εἰσαγόμενος;

[04333] ΑΛΛΟ.

[04334] Εἰ, εἴ τι κτίσμα Θεοῦ, τοῦτο καὶ γέννημα, οὐδὲν τῶν γεγονότων λείπεται τῆς υἱοθεσίας.

[04335] Εἰ δὲ τοῦτο, μάτην ἡμῖν υἱοθεσίαν ἐπηγγείλατο ὁ Θεὸς, ἅτε δὴ καὶ τῶν ἀψύχως ἐχόντων τοῦτο κατὰ φύσιν, εἴπερ, εἴ τι κτίσμα, τοῦτο καὶ γέννημα κυρίως ἐστίν.

[04336] ΑΛΛΟ.

[04337] Εἰ τὸ γέννημα καὶ τὸ κτίσμα ταυτόν ἐστιν, ἔστι δὲ τὸ γενόμενον Θεοῦ κτίσμα φύσει, κτίσμα Θεοῦ δηλονότι καὶ φύσει γέννημα Θεοῦ τὸ αὐτό.

[04338] Εἰ δὲ τὸ φύσει, ἀλλ' οὐ θέσει γεννώμενον, ὁμοούσιον τῷ Θεῷ, πᾶν τὸ γενόμενον εὑρεθήσεται φύσει, εἴπερ τὸ κτίσμα φύσει καὶ γέννημα τυγχάνει, καὶ οὐ μετοχῇ.

[04339] ΑΛΛΟ.

[04340] Εἰ τὸ κτίσμα τοῦτο καὶ γέννημα κυρίως ἦν, πολλῷ [75.309] μᾶλλον ὑπὲρ τὰ ἄλλα ἦσαν οἱ ἄγγελοι κυρίως υἱοί.

[04341] Εἰ δὲ τὰ πολλῷ κρείττονα μέτρῳ κυρίως οὐκ εἰσὶν υἱοὶ (οὐδενὶ γάρ ποτε τῶν ἀγγέλων εἶπεν·

[04342] Υἱός μου εἶ σὺ), οὐκ ἔσται ἄρα τὸ κτίσμα τοῦτο καὶ γέννημα κυρίως.

[04343] ΑΛΛΟ.

[04344] Εἰ κτίσμα καὶ γέννημα ταυτόν ἐστιν, ὁ κτίζων ἔσται καὶ Πατήρ.

[04345] Εἰ δὲ κτίζει ὁ Υἱὸς, ἔσται ὁ αὐτὸς καὶ Πατήρ.

[04346] Εἰ δὲ τοῦτο, ἔσται Πατρὸς Πατὴρ ὁ ἀγένητος, οὐδὲν πλέον ἔχων τῆς καθ' ἡμᾶς πραγματείας ἐν τῇ ἑαυτοῦ θεογονίᾳ, εἴπερ τὸ γέννημα τοῦτο ὃ καὶ κτίσμα τυγχάνει.

[04347] ΑΛΛΟ.

[04348] Εἰ τὸ κτίσμα ἐστὶν ἀληθῶς καὶ γέννημα, καθάπερ ὁ Υἱὸς, ἔσται τῶν πάντων ἀδελφὸς ὁ Υἱὸς, οὐ μὴν Κύριος ὁ Θεός.

[04349] Εἰ δὲ ἔστι Κύριος καὶ Θεὸς, οὐκ ἄρα ἀδελφός.

[04350] Εἰ τοίνυν τῷ Υἱῷ ὄντι μονογενεῖ οὐδὲν τῶν ὄντων ἐστὶν ἀδελφὸν, οὐδὲ γεννήματα κυρίως εἰσὶ τὰ λοιπὰ, εἰσὶ δὲ κτίσματα κυρίως·

[04351] πῶς ἄρα ταυτὸν κτίσμα καὶ γέννημα;

[04352] ΑΛΛΟ.

[04353] Εἰ τὸ ποίημα ἔσται καὶ γέννημα, ὁ ποιῶν ἔσται καὶ γεννήτωρ.

[04354] Καὶ προάγων μὲν τὸ πᾶν ἐξ ἑαυτοῦ ὡς γεννήτωρ, ἔξωθεν δὲ τὸ αὐτὸ ποιῶν ὡς δημιουργός.

[04355] Εἰ δὲ ἔξωθεν τοῦτο ποιεῖ ὃ καὶ τίκτειν ἐξ ἑαυτοῦ δύναται, ἑνὸς ὄντος ἤδη τοῦ ἐπ' ἀμφοῖν τρόπου, πῶς τὸ ἐν ἑνὶ πράγματι συναχθὲν, δύο πραγμάτων ἂν ἔχοι προσηγορίας, εἰ μὴ ἄρα θατέρα αὐτῶν εἴη διεψευσμένη;

[04356] ΑΛΛΟ.

[04357] Εἰ τὸ κτίσμα τοῦτο καὶ γέννημα, κτίσμα δὲ, ὥς φασι, τὸ Πνεῦμα, δῆλον ὅτι καὶ γέννημα.

[04358] Ἀλλ' εἰ μὲν Πατρὸς, οὐκέτι μονογενὴς ὁ Υἱός.

[04359] Εἰ δὲ Υἱοῦ, ἔσται Υἱὸς Υἱοῦ, εἴπερ τὸ κτίσμα τοῦτο καὶ γέννημα τυγχάνει.

[04360] Ὅτι μὴ τῷ κτίζειν τὸ γεννᾷν ταυτόν ἐστιν ἐπὶ Θεοῦ.

[04361] Εἰ τὸ γεννᾷν καὶ τὸ ποιεῖν ταυτόν ἐστι παρὰ Θεῷ, γεννᾷ δὲ τὸν Υἱὸν ἀμεσιτεύτως, δῆλον ὅτι καὶ πάντα γεννᾷ ἢ ποιεῖ ἀμεσιτεύτως.

[04362] Εἰ δὲ γεννᾷ μὲν οὐ διά τινος, οὐκέτι δὲ καὶ τὰ πάντα ποιεῖ ἀμεσιτεύτως, πῶς τὸ γεννᾷν ταυτόν ἐστι τῷ ποιεῖν παρὰ Θεῷ;

[04363] Ποιεῖ δὲ σεισμὸν, λοιμὸν, κατακλυσμὸν, ταῦτα ἔσται γεννῶν ἃ ποιεῖ, εἴπερ τῷ ποιεῖν τὸ γεννᾷν ταυτόν ἐστι παρ' αὐτῷ.

[04364] ΑΛΛΟ.

[04365] Εἰ ὅθεν γεννᾷ Θεὸς, ἐκεῖθεν καὶ κτίζει, οὐδὲν ἀράχνου διοίσει, κατ' αὐτοὺς, τοῦ τὸ κτίζειν παρὰ τὸ γεννᾷν οὐκ ἄλλως ἔχοντος.

[04366] Ἀλλ' οὗτος μὲν νόμῳ φύσεως ἀγόμενος, ὅθεν γεννᾷ, ἐκεῖθεν καὶ κτίζει.

[04367] Θεὸς δὲ, οὐκ ὢν ὑπὸ φύσιν, ὡς ἀνάγκῃ φύσεως ὑποκείμενος παρ' αὐτῶν ἀτιμάζεται.

[04368] ΑΛΛΟ.

[04369] Εἰ ἐπεὶ ἀσύνθετον τὸ Θεῖον, ὡσαύτως ἔχει τῷ γεν [75.312] νᾷν τὸ ποιεῖν, ὡσαύτως ἕξει καὶ τὸ προγινώσκειν τῷ ποιεῖν, ἵνα καὶ ταύτῃ ᾖ ἀσύνθετον.

[04370] Εἰ δὲ τοῦτο, ἔσται ποιῶν ἃ προγινώσκει κακὰ, εἴπερ ταυτὸν ταῦτα παρ' αὐτῷ, ὅτι δὴ καὶ ἀσύνθετον.

[04371] ΑΛΛΟ.

[04372] Εἰ τὸ γεννᾷν καὶ τὸ κτίζειν ὡσαύτως ἔχει Θεὸς, ἐπειδὴ ἀσύνθετος, καὶ τὸ ὁρᾷν τῷ γεννᾷν ταυτὸν ἂν εἴη παρ' αὐτῷ, ἵνα πάντῃ ἐν αὐτῷ τὸ ἀσύνθετον ᾖ.

[04373] Εἰ δὲ μὴ ὄντα παρ' αὐτῷ ταῦτα ἀδιάφορα (οὐ γὰρ ὅπερ ὁρᾷ, τοῦτο πάντως καὶ τίκτει), τὸ ἁπλοῦν αὐτοῦ οὐ λυμαίνεται, οὐδὲ τὸ γεννᾷν δηλονότι αὐτὸν ἑτέρως καὶ κτίζειν ἄλλως, στέρησιν αὐτῷ τοῦ ἀσυνθέτου ἐργάζεται.

[04374] ΑΛΛΟ.

[04375] Εἰ παρ' οἷς τοῦ γεννᾷν τὸ κτίζειν ἕτερον, παρὰ τούτοις τὸ ἐξ ἑαυτῶν γεννᾷν, ἔξωθεν δὲ κτίζειν ὑπάρχει, παρ' ᾧ δὲ τὸ γεννᾷν τῷ κτίζειν ταυτὸν, τὸ ἔξωθεν κτίζειν οὐχ ὑπάρχει, ὡς οὐδὲ τὸ οἴκοθεν γεννᾷν.

[04376] Εἰ δὲ τὸ ἔξωθεν μόνον αὐτῷ συγχωροῦσιν, ὅ ἐστι μὲν ποιεῖν, γεννᾷν δὲ οὐ θέλουσι, θέσει ἔσται πατὴρ ὁ κατὰ φύσιν δημιουργός.

[04377] ΑΛΛΟ.

[04378] Εἰ τὸ γεννᾷν καὶ τὸ κτίζειν παρὰ Θεῷ, ἐπειδὴ ἀσύνθετος, ταυτόν ἐστιν, οὐκέτι δὲ καὶ παρ' ἡμῖν, ἐπεὶ μὴ τοιοῦτοι, ἔσται ταυτὸν παρ' αὐτῷ τὸ προνοεῖν τῷ γεννᾷν.

[04379] Οὐ γὰρ ταυτὸ τοῦτο παρ' ἡμῖν, ὅτι σύνθετοι·

[04380] εἰ δὲ τὸ ἁπλοῦν αὐτοῦ καὶ ἀσύνθετον τὴν παρ' ἡμῖν διαφορὰν οὐκ ἀλλοίαν εἶναι παρ' αὐτῷ ἐξεβιάσατο;

[04381] οὐδὲ τὸ γεννᾷν αὐτὸν ἄλλως, καὶ κτίζειν ἑτέρως, στέρησιν αὐτῷ τοῦ ἀσυνθέτου ἐργάζεται.

[04382] ΑΛΛΟ.

[04383] Εἰ τῷ γεννᾷν ταυτόν ἐστι τὸ ποιεῖν, ὁ γεννῶν ἔσται ποιῶν τὸ γεννώμενον, καὶ γεννῶν τὸ ποιούμενον.

[04384] Ἀλλὰ τὸ μὲν ποιεῖν, ἐνεργείας ἐστὶ, φύσεως δὲ τὸ γεννᾷν.

[04385] Φύσις δὲ καὶ ἐνέργεια οὐ ταυτόν·

[04386] οὐκ ἄρα τῶ γεννᾷν τὸ ποιεῖν ταυτὸν ἔσται.

[04387] ΑΛΛΟ.

[04388] Εἰ τῷ ποιεῖν δημιουργός τίς ἐστι, τῷ δὲ γεννᾷν πατὴρ, οὐκ ἂν εἴη ταυτὸν τὸ ποιεῖν τῷ γεννᾷν, εἴπερ ἕτερον μὲν ἔστι πατὴρ, δημιουργὸς δὲ ὁμοίως ἕτερον.

[04389] Εἰ δὲ τῷ ποιεῖν ταυτόν ἐστι τὸ γεννᾷν, ὁ ποιῶν ἔσται καὶ πατήρ.

[04390] Εἰ δὲ ἔστι ποιητὴς ὁ υἱὸς ἅμα τῷ πατρὶ, ὁ δὲ ποιῶν ἔστι καὶ πατὴρ, ἔσται καὶ αὐτὸς πατὴρ, ὅπερ ἄτοπον.

[04391] ΑΛΛΟ.

[04392] Εἰ ταυτόν ἐστι πατὴρ καὶ δημιουργὸς, ἐπεὶ καὶ τῷ γεννᾷν τὸ ποιεῖν ταυτὸν, ἔστι δὲ ἐνεργείας ὄνομα ὁ δημιουργὸς, καὶ τὸ πατὴρ εἰκότως ἐνεργείας, ἀλλ' οὐ σχέσεως ἂν εἴη·

[04393] εἰ δὲ καὶ τοῦτο κἀκεῖνο ἐνεργείας ἐστὶ, κατὰ τὸν αὐτὸν χρόνον ἔσται γεννῶν καὶ ποιῶν [75.313] ὁ Θεὸς, τῆς ἐνεργείας καὶ ἐν τῷ γεννᾷν καὶ ἐν τῷ κτίζειν οὐκ ἄλλως ἐχούσης.

[04394] ΛΟΓΟΣ ΙΘ.

[04395] Πρὸς τοὺς λέγοντας, ὅτι ὁ Υἱὸς οὐκ ἔστιν ἀληθι νὸς Λόγος τοῦ Πατρὸς, ἀλλ' ἕτερός ἐστι παρ' αὐτὸν τῇ φύσει καὶ ξένος, τὸ δὲ ἐντεῦθεν συν αγόμενον, ὅτι καὶ ὁμοούσιος τῷ Πατρὶ, καὶ οὐκ ἔξωθεν, ἀλλ' ἐκ τῆς οὐσίας ἐστὶν αὐτοῦ.

[04396] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[04397] Εἰ Λόγος, φησὶν, ὁ Υἱός ἐστιν, ὁμοούσιον δὲ εἶναί φατε τῷ Πατρὶ, μὴ διαλλαττέτω κατά τι γοῦν ὡς πρὸς αὐτόν·

[04398] οὕτω γὰρ ἂν εἴη καὶ ὁμοούσιος.

[04399] Εἰ δὲ τοῦτο, καλείσθω καὶ ἔστω Λόγος καὶ ὁ Πατήρ.

[04400] Ἀλλ' οὐ παραδέξεται τοῦτο τῆς θείας Γραφῆς ὁ σκοπὸς, καὶ τῶν ἁγίων ἀποστόλων τὸ κήρυγμα.

[04401] Πατέρα γὰρ οἶδε τὸν Πατέρα καὶ οὐχ Υἱόν·

[04402] καὶ πάλιν τὸν Υἱὸν ἐν μόνῃ τῇ τοῦ Υἱοῦ προσηγορίᾳ τηρεῖ, οὐκ ἐῶσα καλεῖσθαι οὐδὲ εἶναι Πατέρα·

[04403] ἕτερος ἄρα παρ' αὐτόν ἐστι καὶ διεστηκὼς κατὰ τὴν οὐσίαν.

[04404] Οὐκοῦν οὐδὲ Λόγος ἀληθινὸς, οὐδὲ ἐξ αὐτοῦ προελθὼν ὁ φύσει μεμερισμένος.

[04405] Πρὸς τοῦτο λύσις.

[04406] Καὶ ποῦ τὸν Ἰωάννην, ὦ βέλτιστε, θήσεις, Λόγον ἀποκαλοῦντα τὸν Υἱὸν, καὶ ταύτην αὐτῷ κυριωτάτην ἀνατιθέντα τὴν ἐπωνυμίαν καὶ τῆς οὐσίας αὐτοῦ μάλιστα σημαντικήν;

[04407] Φάσκει γάρ·

[04408] Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος.

[04409] Ὁρᾷς ὅπως τῆς οὐσίας τοῦ Υἱοῦ παραστατικόν ἐστι τοὔνομα, καὶ τὸ καλεῖσθαι Λόγον, ὅπερ ἐστὶ κατὰ φύσιν σημαίνει.

[04410] Θεὸς γὰρ ἦν ὁ Λόγος, φησίν.

[04411] Εἰ δὲ μὴ φύσεως εἴη καὶ τῆς οὐσίας δηλωτικὸν ἐπὶ τοῦ Υἱοῦ τὸ Λόγος ὄνομα, σημαίνει τι πάντως ἕτερον.

[04412] Καὶ γὰρ ζητεῖν ἀναγκαῖον, τί κατὰ φύσιν ὢν ὁ Υἱὸς, ἐκλήθη Λόγος, εἰ μὴ τὴν οὐσίαν αὐτοῦ σημαίνει τοὔνομα.

[04413] Οἷον τέκτονά τις εἰπὼν, ἢ λιθοξόον, ἢ ταχυγράφον, οὐ τί ἐστι κατὰ φύσιν σημαινόμενον ὁρίζεται, ἀλλ' οἷον ἔχει τὸ ἐπιτήδευμα μηνύει.

[04414] Εἰ τοίνυν οὐ τὴν οὐσίαν τοῦ Υἱοῦ σημαίνει τοὔνομα, καὶ τὸ καλεῖσθαι Λόγον, οὐ τί ἐστιν κατὰ φύσιν παρίστησιν αὐτὸν, ἀλλὰ φέρε εἰπεῖν οἷον ἔχει τὸ ἐπιτήδευμα, τί μάτην τὸν εὐαγγελιστὴν θαυμάζομεν;

[04415] Πῶς δὲ ὁ υἱὸς ἐκλήθη βροντῆς ὡς μέγα τι λαλήσας καὶ ὑπέρογκον;

[04416] Καίτοι πολλοῖς ἑτέροις ὀνόμασιν ἀποκαλούσης τὸν Υἱὸν τῆς θείας Γραφῆς, ἀλλὰ Λόγον εἰρηκὼς, παράδοξόν τι καὶ ὑπερφυὲς ἐφθέγξατο·

[04417] καὶ οὐδὲν ἕτερον ἐπ' αὐτῷ προστέθεικεν, οἷον ἐπὶ τοῦ Παύλου φαίνεται, τὸ, Παῦλος ἀπόστολος.

[04418] Ἠρκέσθη δὲ τῷ εἰπεῖν, Λόγον, εἰς τὸ παραστῆσαι τοῦ Υἱοῦ τὴν οὐσίαν.

[04419] Αὐτὸς ἄρα ἐστὶν ὁ ἀληθινὸς Λόγος τοῦ Πατρὸς, καὶ οὐχ ἕτερός τις παρ' ἐκεῖνον.

[04420] ΑΛΛΟ.

[04421] Εἰ διὰ ταύτην ὑπειλήφασι τὴν αἰτίαν οἱ χριστομάχοι μὴ εἶναι τὸν Υἱὸν ὁμοούσιον τῷ Πατρὶ, ἐπεὶ μήτε ὁ Πατὴρ Λόγος ἐστὶ, μήτε ὁ Λόγος Πατὴρ, καὶ τὴν ἑνότητα τῆς φύσεως τῷ διαφόρῳ τῶν ὀνομάτων δια [75.316] τέμνειν δύνασθαι πεπιστεύκασι, λεγέτωσαν ἡμῖν πῶς ὁ προπάτωρ Ἀδὰμ ὁμοούσιος ἔσται πρὸς τὸν ἐξ αὐτοῦ γεγονότα, οὔτε αὐτὸς Ἄβελ εἶναι δυνάμενος, οὔτε μὴν τοῦ Ἄβελ ἐσομένου ποτὲ Ἀδάμ.

[04422] Ἀλλ' οὐκ ἐκβάλλει τῆς οὐσίας τὴν ταυτότητα, ἡ τῶν ὀνομάτων διαφορά.

[04423] Καὶ τοῦτο ἐπὶ γενητῆς καὶ κτιστῆς οὐσίας.

[04424] Πῶς οὖν οὐκ ἀσεβὲς ἐπὶ τῆς ἀγενήτου φύσεως ἐκεῖνο δοξάζειν, πάντα ὑπερκειμένης τὰ γενητά;

[04425] Ὡς οὖν εἴπερ ἦν ἑτεροούσιος, οὐκ ἂν ἦν Λόγος ἀληθινὸς, οὕτως ἐπειδήπερ ὁμοούσιος, ἀληθινὸς ἂν εἴη Λόγος.

[04426] ΑΛΛΟ.

[04427] Σημαντικὰ μὲν τὰ ὀνόματα τῶν οὐσιῶν ἐστι, τὰ πρῶτα δὴ μάλιστα καὶ τὰ κυριώτατα·

[04428] ἀλλὰ πολλὴν ἄν τις ἐν τούτοις ἴδοι τὴν διαφοράν.

[04429] Τὰ μὲν γὰρ καθολικώτερον τὰ ὄντα σημαίνει, καὶ γενικὴν ποιεῖται τὴν δήλωσιν·

[04430] τὰ δὲ εἰς τὸ καθ' ἓν τὰ καθόλου σημαινόμενα διατέμνοντα, πολλὰ τὰ ὄντα φαίνεσθαι ποιεῖ.

[04431] Οἷον φέρε εἰπεῖν, τὸ ἄνθρωπος ὄνομα ἁπλῶς τε καὶ ἀπολελυμένως λεγόμενον, σύμπαν σημαίνει τὸ ἀνθρώπειον γένος, ἢ τὴν οὐσίαν αὐτήν·

[04432] τὸ δὲ Παῦλος τυχὸν ἢ Πέτρος, Ἰάκωβος ἢ Κηφᾶς, εἰς τὸ καθ' ἕνα σχίζον τὴν ἀνθρωπότητα, πολλοὺς εἶναι τοὺς ἀνθρώπους ποιεῖ.

[04433] Οὐκοῦν ἡ τῶν ὀνομάτων διαφορὰ λαμβάνεται μὲν ἐπὶ τῶν ὁμοουσίων, οὐ μὴν ἐκβάλλει τῆς πρὸς ἄλληλα φυσικῆς ἐμφερείας τὰ τοῖς αὐτοῖς εἴδεσιν ὑποπίπτοντα.

[04434] Ὅταν οὖν ὁ μὲν Πατὴρ λέγηται Πατὴρ, ὁ δὲ Υἱὸς Λόγος, οὐκ ἔσται τὴν φύσιν ἢ οὗτος πρὸς ἐκεῖνον, ἢ ἐκεῖνος ὡς πρὸς τοῦτον ἀνόμοιος, ἐν μόνοις ὀνόμασιν ἔχοντες τὴν διαστολήν.

[04435] Δέδεικται γὰρ ὡς οὐκ ἀνατρέψει τῶν ὁμοφυῶν τὴν πρὸς ἄλληλα φυσικὴν ὁμοιότητα τῶν ὀνομάτων ἡ διαφορά.

[04436] Οὐδὲν ἄρα κωλύει τὸν Υἱὸν ὁμοούσιον εἶναι τῷ Πατρὶ, κἂν Υἱὸς καλεῖται καὶ μὴ Πατὴρ αὐτός ἐστιν ὁ ἀληθινὸς αὐτοῦ Λόγος.

[04437] Ἁπλῆ γὰρ οὖσα ἡ τοῦ Πατρὸς οὐσία, οὐδὲν ἕτερον ἐπιδέξεται μεσολαβοῦν τὴν γέννησιν τοῦ ἐξ αὐτοῦ φυσικῶς προελθόντος Λόγου, καὶ ὡς ἓν ὄντως πρὸς αὐτὸν, καθὸ φύσει καὶ αὐτὸς Θεὸς καὶ ζῶν ἐκ ζῶντος ἐξελάμφθη Πατρός.

[04438] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[04439] Ἐν τοῖς Εὐαγγελίοις, φησὶν, εὑρίσκομεν λέγοντα τὸν Υἱὸν ὡς πρὸς τὸν Πατέρα·

[04440] Πάτερ, δόξασόν σου τὸν Υἱὸν, ἀντακούοντα δὲ παρ' αὐτοῦ·

[04441] Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω.

[04442] Καὶ πῶς ἂν εἶναι δύναιτο Λόγος τοῦ Πατρὸς κατὰ ἀλήθειαν ὁ Υἱὸς, ὅπου φαίνεται πρὸς αὐτὸν διαλεγόμενος ὁ Πατήρ;

[04443] διάλεξις δὲ λόγου χωρὶς οὐκ ἂν γένοιτό ποτε.

[04444] Ἢ τοίνυν αὐτὸς ἑαυτῷ ἔσται διαλεγόμενος, ἢ εἴπερ ὄντως λέγει τι πρὸς αὐτὸν ὁ Πατὴρ, ἕτερός ἐστι παρὰ τὸν ἐνδιάθετον καὶ ἐνυπάρχοντα τῷ Θεῷ κατὰ φύσιν Λόγον, ὃς λαλεῖ πρὸς αὐτὸν, κατὰ βούλησιν τοῦ Πατρός.

[04445] Πρὸς ταῦτα λύσις.

[04446] Οὐ παύσῃ συκοφαντῶν τὴν ἀσώματον οὐσίαν, λόγον ἐξ αὐτῆς ἀποτελεῖσθαι πιστεύων τοιοῦτον, ὁποῖος ἂν εἴη καὶ ὁ ἀνθρώπινος, διὰ χειλέων καὶ γλώττης ἀποκτυπούμενος·

[04447] καὶ τὴν τοῦ πέλας προσαράσσων ἀκοὴν, ἵνα δὴ καὶ γένοιτο σαφὴς τοῦ λαλοῦντος ἡ βούλησις.

[04448] [75.317] Εἰ γὰρ ἐθελήσαις ἀποσώζειν τῇ ἀσωμάτῳ φύσει τὸν αὐτῇ κατάλληλον λόγον, οὐ τοιαύτην εἶναι νομιεῖς τοῦ Πατρὸς τὴν φωνὴν, ὡς εἰς ἀκοὴν φέρεσθαι σωματικῶς.

[04449] Οὐ γὰρ μόνος ὁ Κύριος ἠκροάσατο τοῦ Πατρὸς λέγοντος·

[04450] Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω·

[04451] ἀλλὰ γὰρ καὶ οἱ συνόντες αὐτῷ.

[04452] Διδάσκων δὲ σαφῶς ὁ Χριστὸς, ὅτι κυρίως καὶ φυσικῶς οὐκ ἐκείνη τοῦ Πατρὸς ἦν ἡ φωνὴ, ἀλλά τις κτύπος φωνῇ προσεοικὼς ἐξήγγελλε τοῦ Πατρὸς τὴν ἐφ' Υἱῷ βούλησιν.

[04453] Καὶ ὅτιπερ εἴη τίμιος παρ' αὐτῷ, λέγει πρὸς τοὺς ἀκροωμένους·

[04454] Οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς.

[04455] Πρόσχες γὰρ ἀκριβῶς ὡς οὐκ ἔφησεν, Οὐ δι' ἐμὲ λελάληκεν ὁ Πατὴρ, ἢ ἐβόησεν, ἢ ἕτερόν τι τοιοῦτον, ἀλλ' ὅτι Οὐ δι' ἐμὲ γέγονεν ἡ φωνὴ, ἀλλὰ δι' ὑμᾶς.

[04456] Εἰ τοίνυν διά τινος θείας ἐνεργείας γέγονεν ἡ φωνὴ, οὐ διὰ Χριστὸν, ὡς αὐτός φησιν, ἀλλὰ διὰ τοὺς συνόντας αὐτῷ, ἀμήχανον δὲ ἦν ἀνθρώπους ὄντας ἑτέρως δύνασθαι μαθεῖν τοῦ Πατρὸς τὴν βούλησιν, εἰ μὴ ἀνθρωπεία πρὸς αὐτοὺς ἐγένετο φωνή·

[04457] τί μάτην τὰ οἰκονομικῶς γεγονότα καὶ ἀνθρωπίνως διοικούμενα δι' ἡμᾶς πάλιν ἀναφέρεις ἐπὶ τὴν ἀσώματον οὐσίαν, ῥιψοκινδύνως τὰ τῇ γενητῇ πρέποντα φύσει καὶ ἐπὶ τὴν ἀγένητον ἀνατιθείς;

[04458] ΑΛΛΟ.

[04459] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[04460] Φαίνεταί που λέγων, φασὶν, ὁ Πατὴρ πρὸς τὸν Υἱόν·

[04461] Ποιήσωμεν ἄνθρωπον.

[04462] Καὶ αὐτὸς δὴ πάλιν ὁ Σωτὴρ πρὸς Ἰουδαίους διαλεγόμενος λέγει·

[04463] Ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ' ὅσα ἤκουσα παρὰ τοῦ Πατρὸς, ταῦτα ἀπαγγέλλω ὑμῖν.

[04464] Ἆρ' οὖν εἴ τις ὑμᾶς ἔροιτο τοὺς ἐπὶ δογμάτων ὀρθότητι μεγαλαυχουμένους, πότερόν ποτε ὡς πρὸς εἰδότα τὸν Υἱὸν ὁ Πατὴρ ὅπερ ἔμελλεν ἐρεῖν διαλέγεται, ἢ ὡς πρὸς μὴ εἰδότα, τί ἂν ἀποκρίνοισθε;

[04465] Εἰ μὲν οὖν οὐκ οἶδε, μανθάνει δὲ τότε ὅταν ὁ τοῦ Πατρὸς λόγος πρὸς αὐτὸν γένηται περί τινος, ἕτερός ἐστι παρὰ τὸν ὄντα φύσει·

[04466] εἰ δὲ οἶδε, πῶς οὐκ ἀμαθὲς καὶ ἀνόητον τὸ πρὸς εἰδότα λέγειν ὥσπερ οὐκ εἰδότα;

[04467] Καὶ ἐπ' ἀνθρώπων γὰρ οὐκ ἔξω λόγου τὸ τοιοῦτον κείσεται.

[04468] Εἰ δὲ ἄτοπον τοιούτῳ τινὶ περιπίπτειν φάναι τὸν Θεὸν, δῆλον ὅτι ὡς πρὸς οὐκ εἰδότα λέγει.

[04469] Οὔτε οὖν αὐτός ἐστιν ὁ ἐνδιάθετος Λόγος, οὔτε μὴν οἶδεν ἅπερ βούλεται ὁ Θεὸς καὶ Πατὴρ, εἰ μὴ γένοιτο πρὸς αὐτὸν ὁ παρ' αὐτοῦ λόγος.

[04470] Πρὸς τοῦτο λύσις.

[04471] Οὐδὲν οὖν διοίσει προφητῶν ὁ ἐν προφήταις λαλῶν τοῦ Θεοῦ Λόγος, καὶ τὰ ἐσόμενα προμηνύων αὐτοῖς·

[04472] οὐ γὰρ εἶχον ἐξ ἑαυτῶν τὸ εἰδέναι ταῦτα·

[04473] μόνῳ δὲ ἁρμόζει Θεῷ ἐσομένων ἡ πρόγνωσις.

[04474] Καὶ τί ποιήσωμεν, τοῦ Κυρίου σαφῶς ἑαυτὸν τῆς πρὸς ἐκείνους ἰσότητος ἀποδιορίζοντος;

[04475] δι' ὧν οὕτω φησίν·

[04476] Εἰ ἐκείνους εἶπε θεοὺς, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγέ [75.320] νετο, καὶ οὐ δύναται λυθῆναι ἡ Γραφὴ, ὃν ὁ Θεὸς ἡγίασε καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε ὅτι Βλασφημεῖς, ὅτι εἶπον·

[04477] Υἱὸς τοῦ Θεοῦ εἰμι.

[04478] Καὶ γὰρ εἰ τὴν πρὸς τοὺς προφήτας εἶχεν ἰσότητα φυσικὴν, οὐκ ἂν ὡς ἐκ τοῦ ἐλάττονος τῶν καθ' ἑαυτὸν ἐποιεῖτο τὴν σύγκρισιν, τὰ ἐκείνων λαμβάνων εἰς παραδείγματος δύναμιν.

[04479] Λέγων γὰρ, Εἰ ἐκείνους εἶπε θεοὺς, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο, σαφῶς ἀποδείκνυσιν οὐ λόγον γεγενῆσθαι Θεοῦ πρὸς αὐτὸν, ὥσπερ καὶ πρὸς ἐκείνους, ἀλλ' ὅτιπερ αὐτὸς εἴη τοῦ Πατρὸς ὁ λόγος ὁ πρὸς τοὺς προφήτας λεγόμενος.

[04480] Πῶς οὖν ὁ τοσοῦτον τῶν προφητῶν ἀπεσχοινισμένος καὶ ἄνω που κείμενος, οὐδὲν ἕξει πλέον αὐτῶν κατὰ τὴν σὴν, ὦ βλάσφημε, τόλμαν;

[04481] ΑΛΛΟ.

[04482] Εἰ οὐκ οἶδεν ὁ Υἱὸς τὴν τοῦ Πατρὸς βούλησιν, ἐκδέχεται δὲ, καθάπερ οἱ χριστομάχοι νομίζουσι, τὸν παρ' αὐτοῦ λόγον, ἵνα δή ποτε καὶ μάθοι, καὶ ὥσπερ πρός τινα τῶν προφητῶν ὁ Πατὴρ διαλέγεται πρὸς αὐτὸν, ἴσος ἄρα προφήταις ἐστί.

[04483] Ποῖ δὴ οὖν ἄρα χωρήσει πάλιν ἡμῖν ὁ ἅγιος Ψαλμῳδὸς ἐν Πνεύματι λέγων, ὅτι Τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ;

[04484] καὶ τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;

[04485] Ἰδοὺ γὰρ ἐνθάδε σαφῶς οὐδένα φησὶν οὔτε ἐν προφήταις, οὓς καὶ νεφέλας τροπικώτερον λέγει, οὔτε μὴν τοῖς εἰς υἱότητα Θεοῦ καταταττομένοις διὰ τῆς χάριτος, ἴσον ἔσεσθαι τῷ κατὰ φύσιν Υἱῷ.

[04486] Πῶς οὖν ἀληθεύσει Δαβὶδ ὁ ἐν Πνεύματι τὰ τοιαῦτα λέγων, εἴπερ καὶ λόγος τοῦ Πατρὸς πρὸς αὐτὸν γίνεται, καθάπερ πρὸς τοὺς ἁγίους, καὶ οὐκ οἶδε τὴν τοῦ Πατρὸς βούλησιν καθάπερ ἐκεῖνοι, ἀλλ' ἐκδέχεται τὴν ἀποκάλυψιν αὐτῆς διὰ τῆς ἀκροάσεως;

[04487] Εἰ δὲ δύσφημον τὸ ψεύδεσθαι τὸ Πνεῦμα λέγειν, δύσφημον δὲ πάντως, καὶ οὐχ ἑτέρως ἔχον, ὑπερέξει προφητῶν ὁ Κύριος ἀσυγκρίτοις ὑπεροχαῖς, αὐτὸς ὢν ὁ ἀληθινὸς λόγος καὶ ἡ τοῦ Πατρὸς βούλησις καὶ σοφία.

[04488] ΑΛΛΟ.

[04489] Εἰ ἕτερός ἐστιν ὁ ἐνυπάρχων τῷ Πατρὶ κατὰ φύσιν Θεὸς Λόγος παρὰ τὸν ἐν ταῖς θείαις Γραφαῖς σημαινόμενον, καὶ κεῖται μέν τις ἐν Πατρὶ κεκρυμμένος καὶ ἐνδιάθετος·

[04490] ἕτερος δέ τίς ἐστιν ἐξαγγελτικὸς τῶν παρ' αὐτοῦ λαλουμένων, ὃν καὶ Ἰωάννης Θεὸν Λόγον εἶναί φησι, πῶς ἔτι τῷ Θεῷ καὶ Πατρὶ τὸ ἁπλοῦν καὶ ἀσύνθετον σωθήσεται;

[04491] Εἴπερ ἀναγκαίως ὁ κεκρυμμένον τι καὶ ἐμφανὲς ἔχων, ἁπλοῦς οὐκ ἂν εἴη, σύνθετος δὲ μᾶλλον καὶ ἐκ δύο συγκείμενος.

[04492] Ἔστι δὲ ἁπλοῦς κατὰ φύσιν ὁ Θεὸς, καὶ οὐδὲν ἐν αὐτῷ σύνθετον.

[04493] Εἷς ἄρα Λόγος ἐν αὐτῷ φυσικός τε καὶ ἐνδιάθετος ὁ Υἱός.

[04494] ΑΛΛΟ.

[04495] Εἰ, καθάπερ οἱ χριστομάχοι τολμῶσι λέγειν, ἕτερος ὢν παρὰ τὸν ἐνυπάρχοντα φύσει Θεὸν Λόγος ὁ διὰ τῶν Εὐαγγελίων ἡμῖν κηρυττόμενος, οὐκ οἶδε τὰ κεκρυμμένα τοῦ Πατρὸς, μανθάνει δὲ ὅτε πρὸς αὐτὸν διαλέγεται·

[04496] ἐξ ἀγνωσίας ἄρα εἰς γνῶσιν ἔρχεται, καὶ ἐξ ἀνοίας εἰς νόησιν.

[04497] Καὶ πῶς ἀληθεύσει λέγων·

[04498] [75.321] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.

[04499] Πῶς δὲ ἀπαράλλακτος εἰκὼν ἔσται τοῦ γεγεννηκότος, εἰ καθάπερ ἄνθρωπος ἀγνοίᾳ κρατεῖται;

[04500] Χρὴ γὰρ πάντως ἢ καὶ τὸν Πατέρα λέγειν τι τῶν ἐσομένων ἀγνοεῖν, ἢ εἰ πάντα γινώσκει, καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἔχει τὸν Υἱὸν, ἀδύνατον μὴ τοιαύτην ἔχειν αὐτὸν τὴν γνῶσιν, ὁποίαν καὶ ὁ Πατὴρ, οὗ καὶ ἔστι χαρακτὴρ καὶ εἰκὼν ἀπαράλλακτος.

[04501] Ἀντίθεσις ὡς ἐκ τοῦ Εὐνομίου.

[04502] Καὶ τίς οὕτω, φησὶν, ἀμαθὴς ὡς τολμῆσαι λέγειν τὰ ὀνόματα κατὰ πραγμάτων κείμενα, μὴ ἕτερα εἶναι παρ' αὐτά;

[04503] Ἰδοὺ γὰρ, ὁ μὲν οὐρανὸς, ἔργον οὕτω μέγα καὶ ἐξαίρετον Θεοῦ·

[04504] τὸ δὲ ὄνομα, δι' οὗ σημαίνεται, ἕτερόν ἐστι παρ' αὐτόν·

[04505] καὶ γνωσόμεθα τοῦτο ἐντεῦθεν.

[04506] Ὁ μὲν γὰρ οὐρανὸς πρᾶγμά ἐστιν ὁρατὸν, τὸ δὲ ἐπ' αὐτῷ κείμενον ὄνομα οὐ ταῖς ὄψεσιν ὑποπίπτει, ἀλλ' ἔστι μόνον ἀκουστόν.

[04507] Οὐκ οὖν διὰ τὸ λέγεσθαι Λόγος ὁ Υἱὸς, πάντως ἐστὶ τοῦτο ὃ νοοῦσί τινες, ἀλλὰ καλεῖται μὲν Λόγος, ἔστι δὲ ἕτερόν τι κατὰ φύσιν.

[04508] Πρὸς ταῦτα λύσις.

[04509] Σιωπᾷν ἔδει, καὶ μηδὲν

>

[04510] ἀποκρίνεσθαι πρὸς τὴν οὕτως ἀνόητον τοῦ λόγου κατασκευήν.

[04511] Ὅμως δ' οὖν ἐρωτητέον τοὺς ὅσοι τὰ τοιαῦτά φασιν, εἰ μὴ τὰ ὀνόματα κυρίως κατὰ πραγμάτων κείμενα, τὰς οὐσίας αὐτῶν σημαίνει, κἂν ἕτερα παρὰ ταῦτα τυγχάνῃ.

[04512] Καὶ γοῦν τὸ ἄνθρωπος ὄνομα, σημαίνει μὲν τοῦ ἀνθρώπου τὴν φύσιν, ἕτερον δέ τί ἐστι παρ' αὐτόν.

[04513] Ὁ μὲν γὰρ ἄνθρωπος πρᾶγμα ὁρατὸν, τὸ δὲ ἐπ' αὐτῷ ὄνομα μόνον ἀκουστόν.

[04514] Οὐκοῦν εἴ τις ἄνθρωπον ὀνομάσαι, ἐπειδὴ μὴ τοῦτό ἐστι πάντως ὃ σημαίνει τοὔνομα, κατὰ τὸν ἐκείνων συλλογισμὸν, ἕτερόν τι νοείτω, καὶ μὴ πάντως τοῦτο ὃ σημαίνει τοὔνομα.

[04515] Εἰ δὲ μανίας ἀνάμεστον τοῦτό γε, οὐκ ἀποβλητέον τὰς τῶν ὀνομάτων κυριολογίας, οὐδὲ ἕτερόν τι παρὰ τὸ σημαινόμενον δι' αὐτῶν νοητέον·

[04516] ἀργήσει γὰρ οὕτω τῶν αἱρετικῶν ἡ μανία.

[04517] Δεικνύτω δὲ ἡμῖν ὁ δεινὸς εἰς λογισμοὺς ὅτι μὴ κύριον ὄνομα τῷ Υἱῷ τοῦ Θεοῦ τὸ Λόγος, καὶ ἀντιταττέσθω ταῖς θείαις Γραφαῖς, καὶ τῷ μακαρίῳ εὐαγγελιστῇ Ἰωάννῃ, πρεπωδεστάτην καὶ κυριαιτάτην εἰδότι τοῦ Υἱοῦ τὴν προσηγορίαν διὰ τοῦ καλεῖσθαι Λόγον·

[04518] Ἐν ἀρχῇ γὰρ, φησὶν, ἦν ὁ Λόγος.

[04519] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[04520] Καὶ πῶς ἂν δύναιτο, φησὶ, λόγος εἶναι τοῦ Πατρὸς καὶ σοφία ὁ Υἱὸς, εἴπερ ἡ μὲν σοφία ἐπιστήμη ἐστὶν, ὁ δὲ λόγος ῥήματος ἀργὴ προφορά;

[04521] Ἐπιστήμη δὲ οὐκ ἐνυπόστατόν τί ἐστιν, ἀλλ' οὐδὲ ζῶον καὶ λόγος ὁμοίως.

[04522] Ὁ δὲ Υἱὸς ζῶόν ἐστιν·

[04523] οὐκ ἄρα ἐπιστήμη, οὐδὲ σοφία, οὐδὲ λόγος.

[04524] Εἶτα πρὸς τούτῳ, πῶς ἂν γένοιτο λόγος ἐν λόγῳ, ἀδυνάτου παντάπασιν ὄντος τοῦ τὸ ὅμοιον ἐν ὁμοίῳ γίνεσθαι;

[04525] οὐδὲ γὰρ ἂν γένοιτο χρῶμα ἐν χρώματι.

[04526] Εἴπερ οὖν ἦν ὁ λόγος ὄντως ὁ [75.324] φύσει τοῦ Πατρὸς Υἱὸς, πῶς ἂν πρὸς αὐτὸν ἐγένετο λόγος, φέρε εἰπεῖν, ἐν τῷ, Ποιήσωμεν ἄνθρωπον;

[04527] Πρὸς τοῦτο λύσις.

[04528] Σκανδαλίζῃ πάλιν οὐκ ἀναβαίνων τὰ ἀνθρώπινα·

[04529] ἀλλ' ὥσπερ ἐπιλελησμένος ὅτι σοι περὶ τῆς θείας οὐσίας ὁ λόγος ἐστὶν, ἐκ τῶν καθ' ἡμᾶς ὁρίζῃ τὰ ἐκείνῃ προσόντα.

[04530] Ἢ οὐκ οἶσθα ὅτι τοῖς καθ' ἡμᾶς ὀνόμασι τὸ Θεῖον ἀποκαλεῖται, πάντα δὲ ἑτέρως ἐστὶν ἢ καθάπερ ἡμεῖς;

[04531] Οὐ γὰρ ἐπειδήπερ ὁ μὲν ἀνθρώπου λόγος ἀνυπόστατος καὶ γλώττης ἐξήχημα πρὸς ἀέρα πεμπόμενον, διὰ τοῦτο καὶ ὁ θεῖος ὡσαύτως ἕξει λόγος, ἀλλὰ ζῶν ἐκ ζῶντος, καὶ ὑφεστηκὼς ἐξ ὑφεστηκότος ἐστί.

[04532] Καὶ πάλιν, οὐκ ἐπειδήπερ ἡ ἐν ἡμῖν σοφία καὶ ἐπιστήμη οὐκ ἐν ὑποστάσει κεῖται καθ' ἑαυτὴν, διὰ τοῦτο καὶ ἡ ἐνυπάρχουσα τῷ Θεῷ σοφία τὸ ἐνυπόστατος εἶναι καθ' ἑαυτὴν ζημιωθήσεται.

[04533] Ἀλλ' εἴπερ ὁμολογεῖς μὴ καθ' ἡμᾶς εἶναι τὸν Θεὸν, ὁμολογεῖς δηλονότι καί πως τὰ αὐτοῦ μὴ εἶναι τῶν καθ' ἡμᾶς, ἀλλ' ὑπὲρ ἡμᾶς τοσοῦτον, ὅσον καὶ κατὰ τὸν τῆς οὐσίας λόγον διέστηκεν.

[04534] ΑΛΛΟ, πρὸς τὸ αὐτό.

[04535] Ἠγνόησεν ὁ σοφὸς, ὡς οἴεται, καὶ ὀξὺς εἰς τὸ νοεῖν ἀμέτρῳ περιπεσὼν δυσφημίᾳ·

[04536] ζῶον γὰρ ὀνομάζει τὸν Κύριον, οὐκ εἰδὼς ὅτι τὸ ζῶον ἕτερόν ἐστι παρὰ τὴν ζωὴν, ὥσπερ ἡ ἐπιστήμη παρὰ τὸν ἐπιστήμονα.

[04537] Ζωὴν μὲν γὰρ εἴ τις λέγοι, αὐτὸ σημαίνει τὸ πρᾶγμα τὸ ἔν τισι γινόμενον καὶ ζωοποιοῦν αὐτά·

[04538] ζῶον δὲ λέγων, τὸ μετέχον τοῦ ζωοποιοῦντός φησιν.

[04539] Ἀλλ' οὐχ οὕτως ἑαυτὸν ὁ Κύριος ὀνομάζων φαίνεται, ζωὴν δὲ μᾶλλον ἀποκαλεῖ.

[04540] Εἰ δὲ ζωὴ ὑπάρχων καὶ ζῶόν ἐστι κατὰ τὴν ἐκείνου φρενοβλάβειαν, λεγέσθω καὶ ὁ Πατὴρ ζῶον, ἐπειδήπερ φαίνεται λέγων·

[04541] Ζῶ ἐγὼ, λέγει Κύριος.

[04542] Ἀλλὰ ταῖς ἐκείνου φλυαρίαις ἐῤῥῶσθαι φράσαντες, καὶ τὸ ἀποστολικὸν ἐκεῖνο προσθέντες·

[04543] Τὰ νοήματά σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ἐπὶ τὴν ὀρθότητα τῶν δογμάτων δραμούμεθα, καὶ οὐ ζῶον κατ' ἐκείνους, ἀλλὰ ζωὴν ἐροῦμεν τὸν Κύριον, ζωογονοῦσαν τὰ πάντα ὡς ἐν αὐτῷ κινεῖσθαι καὶ εἶναι, κατὰ τὴν Παύλου φωνήν.

[04544] ΑΛΛΟ, εἰς τὸ αὐτό.

[04545] Λόγον ἡ θεία Γραφὴ τὸν Υἱὸν ὀνομάζειν, καὶ προφορὰν ῥημάτων τοιούτων ὁποῖά ἐστι τὰ ἀνθρώπινα, φαντάζεται πάλιν ὁ γοργὸς εἰς ἀβουλίαν καὶ νεανικὸς εἰς τὸ μὴ νοεῖν ὀρθῶς τὰ θεῖα μυστήρια·

[04546] οὐκ εἰδὼς ὅτι κατὰ μὲν τὴν ἡμετέραν συνήθειαν οὕτως αὐτὸν αἱ θεῖαι κηρύττουσι Γραφαί.

[04547] Διαλέγεται δὲ ἀῤῥήτως Πατὴρ πρὸς Υἱὸν, ἔχοντος αὐτοῦ φυσικῶς τοῦ εἰδέναι τοῦ τεκόντος τὴν βούλησιν, οὐ λόγον ἐκφαίνειν δυνάμενον τὰ κεκρυμμένα περιμένοντος, ἐπεὶ καὶ αὐτός ἐστιν ὁ Λόγος.

[04548] Ὅτε τοίνυν ἐπὶ Θεοῦ τι λέγεται τῶν ὅσα μᾶλλον ἀνθρώποις ἐστὶ πρεπωδέστερα, ἀναβαινέτω τὰ καθ' ἡμᾶς ὁ ἀκροώμενος, καὶ ἐπὶ τὴν [75.325] πνευματικὴν καὶ τὴν ἐν νοήσει τῇ θείᾳ τρεχέτω κατάληψιν.

[04549] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[04550] Ἀλλ' οὐκ ἐξαρκεῖ, φησὶν, εἰς Υἱοῦ δήλωσιν τὸ Λόγος ὄνομα, οὐδ' ἂν γένοιτο σαφὴς ἡ οὐσία αὐτοῦ διὰ τῆς τοιᾶσδε προσηγορίας·

[04551] φέρεται γὰρ καὶ κατὰ πολλῶν ἑτέρων ῥημάτων ἀργῶν τε καὶ ἀνυποστάτων.

[04552] Πρὸς ταῦτα λύσις.

[04553] Οὐκοῦν ἀτονήσει πρὸς τὸ παραστῆσαι τοῦ Θεοῦ τὴν οὐσίαν τὸ Θεὸς ὄνομα.

[04554] Φέρεται γὰρ καὶ κατὰ τῶν μὴ φύσει θεῶν, κατὰ τὸ, Ἐγὼ εἶπα·

[04555] Θεοί ἐστε.

[04556] Τί δὲ κωλύσει κἀκεῖνο λέγειν, ὡς ἐπείπερ τὸ δίκαιος ὄνομα, καὶ τὸ ἀγαθὸς, καὶ τὸ ἅγιος, καὶ ἐπ' ἀνθρώπων τάττεται (πολλοὶ γὰρ τοιοῦτοι κατὰ μετοχὴν τοῦ κατ' ἀλήθειαν καὶ ὄντως ἀγαθοῦ καὶ δικαίου τυγχάνοντος), οὐ κυρίως ἐπὶ Θεοῦ τετάξεται τῶν εἰρημένων ἕκαστον;

[04557] Εἰ δὲ κοινὰ μὲν ἡμῖν πρὸς αὐτὸν τὰ ὀνόματα, αὐτῷ δὲ μόνῳ κατὰ φύσιν τὸ πρᾶγμα ἐπαληθεύεται, οὐδὲν κωλύσει καὶ Λόγον κυρίως κεκλῆσθαι τὸν Υἱὸν, παραστατικήν τε τῆς οὐσίας αὐτοῦ ταύτην ἔχειν τὴν ἐπωνυμίαν, εἰ καὶ ἕτεροι λόγοι πολλοί τινες εἶεν καταχρηστικῶς καὶ πρὸς μίμησιν τοῦ κατ' ἀλήθειαν κεκλημένου.

[04558] Διὰ γὰρ ταύτην τὴν αἰτίαν περὶ ἑαυτοῦ φησιν ὁ Υἱός·

[04559] Ἐγώ εἰμι ἡ ἀλήθεια.

[04560] Ὥστε ὅπερ ἄν τις εἴποι περὶ αὐτοῦ θεοπρεπές τε καὶ ἄξιον τῆς θείας γεννήσεως, ἐρεῖ μὲν ἐπ' αὐτοῦ κυρίως, ἐπὶ δὲ τῶν ἑτέρων οὐκέτι, καταχρηστικῶς δὲ μᾶλλον, καθάπερ εἴρηται.

[04561] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[04562] Λόγος εἴρηται, φησὶ, παρὰ ταῖς θείαις Γραφαῖς, οὐχ ὡς ἐκ Πατρὸς κατὰ φύσιν ὑπάρχων, ἢ αὐτὸς ὢν ὁ ἐνδιάθετος λόγος, ἀλλ' ὅτι τὸν Πατρὸς λόγον ἀκούσας καὶ ἡμῖν ἐξαγγέλλει·

[04563] ὥσπερ οὖν καὶ ἁγιασμὸς εἴρηται, ὅτι ἁγιάζει, καὶ δικαιοσύνη, ὅτι δικαιοῖ.

[04564] Πρὸς τοῦτο λύσις.

[04565] Εἰ Λόγος ἐκλήθη, κατὰ τὴν σὴν, ὦ βέλτιστε, δυσφημίαν, οὐχ ὅτι κατὰ φύσιν τοῦτό ἐστιν ἐκ Πατρὸς προελθὼν, καὶ τῆς τοῦ τεκόντος οὐσίας ἐκφαντικὸς, ἀλλ' ὅτι τὸν παρὰ Πατρὸς ἀκούσας λόγον, ἐξαγγέλλει τοῦτον εἰς ἡμᾶς·

[04566] τήρει καὶ ἐν τοῖς ἄλλοις τὴν ἴσην ἀκολουθίαν, ἵνα καὶ μειζόνως ἀσχημονήσῃς.

[04567] Εἰ γὰρ Λόγος ἐστὶν, ὅτι λόγον ἀκήκοεν, ἀναγκαῖον εἰπεῖν ὅτι καὶ δικαιοσύνη καὶ ἁγιασμός ἐστιν, ὡς δικαιοσύνης καὶ ἁγιασμοῦ μέτοχος, καὶ οὐ κατὰ φύσιν ταῦτα ὑπάρχων.

[04568] Τὰ δὲ μὴ κατὰ φύσιν προσόντα τισὶν, ἀλλ' ἔξωθεν ἐπιγεγονότα, ῥᾳδίως ἀποσυμβήσεται.

[04569] Καί ποτε δικαιοσύνης καὶ ἁγιασμοῦ ἔρημος, καθ' ὑμᾶς, ὁ τοῦ Θεοῦ Λόγος φανεῖται, ὁ λέγων·

[04570] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.

[04571] Φθανούσης τοιγαροῦν καὶ εἰς αὐτὸν ἤδη τὸν Πατέρα τῆς δυσφημίας, παραιτητέον τῶν χριστομάχων τὴν κακόνοιαν.

[04572] [75.328] ΑΛΛΟ.

[04573] Οὐκ ἐπινομοθετήσεις, ὦ χριστομάχε, ταῖς θείαις Γραφαῖς·

[04574] οὐδ' ἂν γένοιτό τις ἔκφρων τοσοῦτον, ὡς ἕτερα λέγοντος τοῦ θείου Πνεύματος περὶ τοῦ Υἱοῦ, τοῖς σοῖς πείθεσθαι νόθοις σοφίσμασι μᾶλλον, καὶ μὴ ἐκείνῳ προσέχειν.

[04575] Λόγον τοιγαροῦν ὀνομάζει τὸν Υἱὸν τὸ Πνεῦμα τὸ ἅγιον·

[04576] αὐτὸς δὲ οὐ Λόγον εἰσφέρεις, ἀλλὰ Λόγου μέτοχον.

[04577] Εἰ γὰρ διὰ τοῦτο κεκλῆσθαι φῂς αὐτὸν Λόγον, ἐπειδήπερ λόγον ἀκούσας παρὰ τοῦ Πατρὸς, τοῦτον εἰς ἡμᾶς ἐξήγγειλε, πῶς οὐχ εὑρεθήσῃ ληρῶν;

[04578] Ὁ γὰρ τοιοῦτος οὐκέτι Λόγος ἐστὶν, ἀλλὰ Λόγου μέτοχος·

[04579] οὐ γὰρ ἂν εἴη ταυτὸν ὡς πρὸς ἑαυτὸ τὸ μέτοχόν τινος καὶ μετεχόμενον.

[04580] Οἷον φέρε εἰπεῖν, ἡ σοφία πρὸς τὸν σοφὸν τὸν μετέχοντα αὐτῆς, οὐδὲ ἡ γραμματικὴ πρὸς τὸν γραμματικὸν τὸν μετέχοντα αὐτῆς.

[04581] Ἕτερον γάρ τι πρᾶγμα καὶ ἕτερόν ἐστιν.

[04582] Ἀνάγκη τοίνυν ἢ Λόγον ὁμολογεῖν καὶ οὐ Λόγου μέτοχον·

[04583] ἢ εἰ μετέχει Λόγου, μηκέτι Λόγον ὀνομάζειν.

[04584] Ἀναιρεῖ γὰρ τοῦτο ἐκεῖνο.

[04585] Καὶ ἐκείνῳ τοῦτο μάχεται, καὶ δεῖ πάντως ἕν τι τῶν εἰρημένων ὑπάρχειν τὸν Υἱόν·

[04586] ἀμφότερα δὲ οὐδαμῶς.

[04587] Λόγον δὲ αὐτὸν ὀνομαζούσης τῆς θείας Γραφῆς, ἐῤῥῶσθαι φράσωμεν εἰκότως τοῖς εἰσφέρουσιν αὐτὸν οὐ Λόγον, ἀλλὰ Λόγου μέτοχον.

[04588] ΛΟΓΟΣ Κ΄.

[04589] Εἰς τὸ, Ὑπέμεινε σταυρὸν αἰσχύνης καταφρονήσας, διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα.

[04590] Ἀντίθεσις ὡς ἐκ τῶν δι' ἐναντίας.

[04591] Γέγραπται, φασίν·

[04592] Ἕκαστοι τοῦτο φρονεῖτε ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ·

[04593] ἕως τοῦ, Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα.

[04594] Εἰ τοίνυν ὑψώθη παρὰ τοῦ Θεοῦ, καὶ ἐδοξάσθη, καὶ ὡς ἐν χαρίσματος μέρει ἔσχε τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ὅτι ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, μισθὸν ἔχει τῆς ταπεινώσεως τὴν τιμὴν καὶ τὸ ὄνομα τὸ ὑπὲρ πάντα·

[04595] οὐ φύσει Θεὸς ὢν ὁ Υἱὸς, ἀλλ' ἐκ προσθήκης ταῦτα γενόμενος.

[04596] Τὸ δὲ προσθήκης δεόμενον, ἀτελὲς ἂν εἴη καὶ ἐλλιπὲς ὅσον εἰς τὴν οἰκείαν φύσιν.

[04597] Καὶ τὸ ὑψούμενόν που, κάτωθεν ἀνάγκη πρὸς τοῦτο ἐπαίρεσθαι·

[04598] καὶ τὸ χάριν δεχόμενον δεῖσθαι χρὴ πάντως οὗ δέχεται·

[04599] καὶ τὸ τιμᾶσθαι ζητοῦν, οὐκ εἶναι τοιοῦτον ἀνάγκη λέγειν, ὅπερ δὴ καὶ γενέσθαι βούλεται.

[04600] Εἰ οὖν ἐχαρίσθη αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, φύσει μὲν τοῦτο οὐκ ἦν, γέγονε δὲ ὕστερον κατὰ χάριν·

[04601] τὸ δὲ οὕτως ἔχον, οὐκ ἂν εἴη Θεὸς, πρόσφατον γάρ.

[04602] Πρὸς ταῦτα λύσις ἐφεξῆς ὡς ἐν ἐπιτομῇ.

[04603] Καὶ ποία γέγονε προσθήκη τιμῆς τῷ ἐν μορφῇ μὲν ὑπάρχοντι Θεοῦ, ἐνδυσαμένῳ δὲ τὴν τοῦ δούλου μορφήν;

[04604] Πῶς δὲ μᾶλλον οὐκ ἠλαττῶσθαι δόξειεν ἂν, ὁ τὸ μεῖζον ἀφεὶς καὶ τὸ ἔλαττον ἀναλαβών;

[04605] Θεὸς ὑπ [75.329] άρχων γέγονεν ἄνθρωπος, ἵνα ποῖον εὕρῃ μισθόν;

[04606] Ἢ πῶς ἐδοξάσθη ὁ ἀπὸ δόξης εἰς ἀτιμίαν καταβεβηκώς;

[04607] Πῶς δὲ γέγονεν ὑψηλὸς ὁ τῆς θεότητος τὸ ἀξίωμα ὑπεριδὼν, καὶ εἰς ἀνθρωπότητα κατελθών;

[04608] Πῶς ὁ κατελθὼν, γέγονεν ἄνω;

[04609] Ποίαν ἔχει βελτίωσιν ὁ ἐν ἐλάττοσι γεγονὼς ἐξ ἀμεινόνων;

[04610] Εἰ Θεὸς ὢν ὕψιστος καὶ ἐν ὑψηλοῖς κατοικῶν ὑψοῦσθαι λέγεται, ποῖ δὲ ἔτι μετὰ τὴν τοῦ Θεοῦ φύσιν ἀναβήσεται τὸ ὑψούμενον;

[04611] Πῶς δὲ ἦν ταπεινὸς ὁ ἐν κόλποις ὢν τοῦ ὑψηλοτάτου Πατρός;

[04612] Ποίας προσθήκης ἐδεῖτο Θεός;

[04613] Εἰ διὰ τοῦτο καταβέβηκεν, ἵνα καὶ ὑψωθῇ, τίς ἦν ἡ χρεία τῆς καταβάσεως;

[04614] Εἰ διὰ τοῦτο ἐταπείνωσεν ἑαυτὸν, ἵνα καὶ δοξασθῇ, τίς ἦν ἡ χρεία τῆς ταπεινώσεως;

[04615] Πῶς δὲ οὐκ ἄσοφος ὁ μετὰ πόνου ζητῶν, ὃ καὶ δίχα πόνων ἔχειν ἐδύνατο;

[04616] Πῶς ἔλαβε τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα ὁ διαπαντὸς ἐν αὐτῷ προσκυνούμενος;

[04617] Ῥητὰ, ὅτι Θεὸς ὁ Υἱός.

[04618] Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με·

[04619] καὶ, Προσκυνησάτωσαν τῷ ὀνόματί σου, Κύριε, τῷ μεγάλῳ.

[04620] Πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ.

[04621] Δότε δόξαν ὀνόματι αὐτοῦ.

[04622] Οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.

[04623] Πῶς οὖν ἔλαβεν, ὅπερ ἔχων ἀεὶ φαίνεται;

[04624] Λύσις ἑτέρα.

[04625] Εἰ ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ Θεὸς ἦν ὁ Λόγος, καὶ ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, ὕστερον δὲ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐταπείνωσεν ἑαυτὸν, διά τε τοῦτο ὑψοῦσθαι λέγεται, πῶς οὐκ ἔσται παντί τῳ σαφὲς, ὅτιπερ οὐ περὶ τὴν τοῦ Λόγου φύσιν τοῦτο γίνεσθαι συμβαίνει, ἀλλ' εἰς τὸ τῆς ἀνθρωπότητος μυστήριον;

[04626] Ὧ γὰρ ἁρμόσει τὸ ταπεινὸν, τούτῳ καὶ τὸ ὑψοῦσθαι πρέπειν ἀκολουθεῖ.

[04627] Ταπεινὸν δὲ χρῆμα ἡ ἀνθρωπότης, περὶ αὐτὴν ἄρα καὶ τὸ ὑψοῦσθαι νοηθήσεται.

[04628] Οὐ πρότερον δὲ περὶ τοῦ Θεοῦ Λόγου τοιοῦτόν τι λέγουσαν εὑρήσομεν τὴν Γραφὴν, εἰ μὴ, Σὰρξ γέγονε, καὶ ἐσκήνωσεν ἐν ἡμῖν.

[04629] Εἰ τοίνυν περὶ τὴν πρόσληψιν τῆς σαρκὸς ἡ ταπείνωσις γεγενῆσθαι λέγεται, δι' αὐτὴν ἔσται καὶ περὶ αὐτὴν ἡ ὕψωσις.

[04630] ΑΛΛΟ, εἰς τὸ αὐτό.

[04631] Ὁ Παῦλος ἐπιστέλλων φησὶν, ὅτι Πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, οὐκ εἰς ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν.

[04632] Ὥσπερ οὖν ἐν τοῖς οὐρανοῖς καὶ ἐν προσώπῳ τοῦ Πατρὸς ὑπάρχων ἀεὶ, νῦν ὑπὲρ ἡμῶν εἰσέρχεται μὲν εἰς τὸν οὐρανὸν, ἐμφανίζεται δὲ τῷ Πατρί·

[04633] οὕτω πάλιν καὶ νῦν ὑπὲρ ἡμῶν ὑψοῦται καὶ δοξάζεται, καὶ λαμβάνει τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα·

[04634] ἵν' ὥσπερ ἐν αὐτῷ καὶ εἰς τὸν οὐρανὸν εἰσερχόμεθα καὶ ἐμφανιζόμεθα τῷ Πατρὶ, οὕτω πάλιν ἐν αὐτῷ δοξαζόμενοι, καὶ ὑψούμενοι, καὶ υἱοὺ Θεοῦ χρηματίζωμεν.

[04635] [75.332] ΑΛΛΟ.

[04636] Τοῦ Σωτῆρος ἡμῶν τὴν εἰς οὐρανοὺς ἀνάληψιν ὁ Ψαλμῳδὸς ἐξηγούμενος διὰ τοῦ Πνεύματος λέγει·

[04637] Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

[04638] Ἐνταῦθα γὰρ ταῖς ἐν τοῖς οὐρανοῖς ἁγίαις δυνάμεσιν ἐπιτάττει τὸ Πνεῦμα τὰς πύλας ἀνοίγειν εἰσερχομένῳ Χριστῷ.

[04639] Ἀλλ' ἦν καὶ πρὸ τῆς ἀναλήψεως εἴσω τε τῶν πυλῶν καὶ ἐν τοῖς οὐρανοῖς ὡς Θεός.

[04640] Τί οὖν ἔδει τῶν τοιούτων τοῦ Πνεύματος προσταγμάτων;

[04641] Ἢ πῶς ὁ ἔνδον ὢν εἰσέρχεσθαι λέγεται;

[04642] Ὥσπερ οὖν οὐ καθὸ Θεός ἐστιν, ἀλλὰ καθὸ ἄνθρωπος, δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν τὰς τῶν οὐρανῶν εἰσέρχεται πύλας, ἡμᾶς ἐν αὐταῖς εἰσάγων δι' ἑαυτοῦ, καὶ ταύτην δι' ἡμᾶς ἐνεκαίνισε τὴν ὁδόν·

[04643] οὕτω καὶ ὕψιστος τυγχάνων, ὑψοῦται δι' ἡμᾶς, ὡς ἄνθρωπος, ἵν' ἡμεῖς ὑψωθῶμεν ἐν αὐτῷ φοροῦντι τὴν πρὸς ἡμᾶς ὁμοίωσιν, καὶ οὕτως ἀναμορφώσῃ πρὸς ἑαυτὸν εἰς τὸ κατ' εἰκόνα τοῦ κτίσαντος, ἀνακαινίζων τὴν φύσιν ὥσπερ ἦν ἐξ ἀρχῆς.

[04644] Σχόλια, περὶ σαρκώσεως τὸν αὐτὸν ἔχοντα νοῦν.

[04645] Εἰς τὸ, Ἐχαρίσατο αὐτῷ, καὶ, Ὑπερύψωσεν αὐτόν·

[04646] καὶ ὅσα τοιαῦτα λέγεται περὶ Χριστοῦ.

[04647] Ὕψιστος ὁ τοῦ Θεοῦ Λόγος ἀεὶ, καθὸ Θεός·

[04648] ὑψοῦται δὲ ὡς ἄνθρωπος·

[04649] ἀνενδεὴς ὢν ὡς Θεὸς, λαμβάνειν ὡς ἄνθρωπος λέγεται·

[04650] προσεκυνεῖτο παρὰ πάντων ὡς Θεὸς, δέχεται νῦν τὴν προσκύνησιν ὡς ἄνθρωπος.

[04651] Εἰ ὡς ἄνθρωπος ἀπέθανε, καὶ ψόγον οὐδένα τῷ Θεῷ Λόγῳ τοῦτο προστρίβεται, οὐδὲν ἀδικήσει καὶ τὸ λέγεσθαι λαβεῖν·

[04652] ὥσπερ γὰρ ἐκεῖνο περὶ τὴν ἀνθρωπότητα γέγονεν, οὕτω καὶ ταῦτα ὁμοίως.

[04653] Εἰ ἀθάνατος ὢν Θεὸς, λέγεται τεθνάναι ὡς ἄνθρωπος, Ὕψιστος ὢν ὡς Θεὸς, ὑψοῦσθαι λέγεται, ὡς ἄνθρωπος.

[04654] Πῶς Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός.

[04655] Ὅτι διὰ τῆς ἐνανθρωπήσεως τὸ ἀπολωλὸς ἀνεσώθη·

[04656] τὸ συντετριμμένον κατεδεσμεύθη, τὸ πλανώμενον ἐπεστράφη·

[04657] συντείνει δὲ ταῦτα εἰς δόξαν τοῦ Θεοῦ καὶ Πατρός.

[04658] ΑΛΛΟ.

[04659] Εἰ Θεὸς ὢν γέγονεν ἄνθρωπος, καὶ ἔργῳ τοῦτο παθεῖν ὑπέμεινε, σκανδαλιζέσθω μηδεὶς, εἰ τὰ τῇ ἀνθρωπότητι πρέποντα καὶ τῷ σχήματι τῷ οἰκετικῷ φέρεται καὶ ἐπ' αὐτοῦ·

[04660] ὡς γὰρ ἄνθρωπος καὶ λαμβάνειν καὶ ὑψοῦσθαι λέγεται.

[04661] Ὁ δὲ τὴν ἀνθρωπότητα αὐτὴν ὑπομείνας, οὐκ ἂν εὐλόγως ψέγοιτο, καὶ τὰ τῆς ἀνθρωπότητος ἴδια φορέσαι μὴ παραιτούμενος.

[04662] Ἴδιον δὲ ἀνθρώπου φύσεως τὸ λαμβάνειν παρὰ Θεοῦ, κατὰ τὸ ῥητὸν τὸ λέγον·

[04663] Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;

[04664] Εἴληφεν ἄρα ὡς ἄνθρωπος κατὰ χάριν, ἅπερ εἶχεν ὡς Θεὸς φυσικῶς.

[04665] ΑΛΛΟ.

[04666] Εἰ πάντα δι' Υἱοῦ ὁ Πατὴρ ἐργάζεται, χωρίς τε αὐτοῦ γέγονεν οὐδὲν, ἀναγκαῖον εἰπεῖν, ὅτιπερ αὐτὸς ἦν ἑαυτῷ καὶ τὸ ὑψοῦσθαι διδοὺς, καὶ τὴν παρὰ [75.333] Πατρὸς χάριν διακονούμενος.

[04667] Ἐδέχετο μὲν γὰρ θεοποιουμένου τοῦ ἀναληφθέντος ναοῦ, καὶ ἦν φύσει Θεὸς Λόγος ὢν τοῦ Πατρός·

[04668] ὑψοῦτο δὲ πάλιν καθὸ καὶ ἄνθρωπος γεγονὼς, καὶ ἐν τῇ τοῦ δούλου μορφῇ φαινόμενος προσεκυνεῖτο, καὶ πάλαι τοῦτο ἔχων μετὰ Πατρός.

[04669] Ἔσται τοίνυν περὶ τὴν ἀνθρωπότητα ἡ χάρις καὶ ἡ ὕψωσις, εἰς ἑαυτὸν οἰκειουμένου τοῦ Θεοῦ Λόγου τὰ περὶ τὸν ἴδιον αὐτοῦ ναὸν συμβαίνοντα.

[04670] Οὐ γὰρ ἑτέρου τινὸς, ἀλλ' αὐτοῦ τὸ σῶμα, διὸ καὶ ὡς αὐτὸς λελόγισται.

[04671] Εἷς γὰρ ὁ Χριστὸς ἔκ τε ἀνθρωπότητος καὶ Θεοῦ Λόγου κεκερασμένος, οὐκ ἐκ τοῦ τετράφθαι πρὸς ὅπερ οὐκ ἦν, ἀλλ' ἐκ τοῦ προσλαβεῖν τὸν ἐκ Παρθένου ναόν.

[04672] ΑΛΛΟ.

[04673] Ψάλλει που Δαβίδ·

[04674] Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

[04675] Εἶτά φησι·

[04676] Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως.

[04677] Καὶ ἦν ὁ Λόγος καὶ πρὸ τῆς χρίσεως βασιλεύων μετὰ Πατρός.

[04678] Πῶς οὖν εἰς βασιλέα χρίεται καὶ ἁγιάζεται ὁ ἀεὶ βασιλεύων καὶ ἅγιος ὤν;

[04679] Ὥσπερ τοίνυν ἀεὶ τοῦτο ὢν, ἐν ἐσχάτοις καιροῖς βεβασιλευκέναι λέγεται·

[04680] οὕτω καὶ ὕψιστος ὢν, ὑψοῦσθαι λέγεται διὰ τὴν ἔνσαρκον οἰκονομίαν.

[04681] Ὑψοῦται δὲ, καὶ χρίεται καὶ ἁγιάζεται δι' ἡμᾶς, ἵνα δι' αὐτοῦ τρέχῃ λοιπὸν εἰς πάντας ἡ χάρις, ὡς ἤδη δοθεῖσα τῇ φύσει, καὶ λοιπὸν ὅλῳ σωζομένη τῷ γένει.

[04682] Οὕτω καὶ ὁ Σωτὴρ ἔλεγεν ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ·

[04683] Ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι.

[04684] Ὅσα γὰρ ἐν Χριστῷ, ταῦτα καὶ εἰς ἡμᾶς.

[04685] Οὐχ ἑαυτῷ δεχομένου τὸν ἁγιασμὸν (αὐτὸς γὰρ ἦν ὁ ἁγιάζων), ἀλλ' ἵνα τοῦτον τῇ φύσει δι' ἑαυτοῦ προξενίσῃ, ὁδὸς ὥσπερ καὶ ἀρχὴ τῶν εἰς ἡμᾶς ἀγαθῶν γινόμενος.

[04686] Διὸ δὴ καί φησιν·

[04687] Ἐγώ εἰμι ἡ ὁδός·

[04688] δι' ἧς ὥσπερ πρὸς ἡμᾶς ἡ θεία καταβέβηκε χάρις, ὑψοῦσα καὶ ἁγιάζουσα καὶ δοξάζουσα, καὶ θεοποιοῦσα τὴν φύσιν ἐν πρώτῳ Χριστῷ.

[04689] ΑΛΛΟ.

[04690] Εἰ Θεὸς ὢν ἄνθρωπος γέγονε, καὶ οὐκ ἄνθρωπος ὢν γέγονε Θεὸς, χρίεται δὲ ὡς ἄνθρωπος, ἵνα δοξασθῇ, δῆλον ὅτι περὶ τὴν ἀνθρωπότητα ἡ χάρις.

[04691] ΑΛΛΟ.

[04692] Εἰ αὐτὸς ὢν τοῦ Πνεύματος χορηγὸς, κατὰ τὸ περὶ αὐτοῦ λεγόμενον·

[04693] Λάβετε Πνεῦμα ἅγιον·

[04694] τὸ Πνεῦμα λαμβάνειν λέγεται περὶ τὴν ἀνθρωπότητα, καὶ ἡ δόσις καὶ τὸ λαμβάνειν ὁμοίως.

[04695] ΑΛΛΟ.

[04696] Φησί που Χριστὸς ὡς πρὸς τὸν Πατέρα διαλεγόμενος·

[04697] Ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν.

[04698] Ὁ δὲ ἑαυτὸν ἁγιάσαι δυνάμενος, καὶ μὴ παρ' ἑτέρου τοῦτο ζητῶν, κύριος τοῦ ἁγιάζειν ἐστίν.

[04699] Εἰ δὲ οὐκ ἔστιν ἐν χρείᾳ, περὶ τὸ χρῇζον ὁ ἁγιασμὸς ἀποτελεῖται.

[04700] Ἁγιάζεται δὲ ἡ ἀνθρώπου φύσις.

[04701] Καὶ τοῦτο ἦν ἄρα [75.336] δι' ἡμᾶς ἐν Χριστῷ πληρούμενον, ἵνα ἡμεῖς ἁγιασθῶμεν ἐν αὐτῷ.

[04702] ΑΛΛΟ.

[04703] Ὡς ἐξ ἀντιθέσεως αἱρετικῶν.

[04704] Γέγραπται, φασίν·

[04705] Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου.

[04706] Οὐκ ἂν οὖν ὅλως κεχρίσθαι τὸν Κύριον δώσομεν, εἰ μὴ δικαιοσύνην ἠγάπησε, καὶ ἐμίσησεν ἀδικίαν.

[04707] Ὁ γὰρ σύνδεσμος ὁ αἰτιολογικὸς, τουτέστι, διὰ τοῦτο, μεταξὺ κείμενος, μισθὸν ὥσπερ ἀρετῆς τὸ χρίσμα δεικνύει.

[04708] Εἰ δὲ διὰ τοῦτο χρίεται, ὅτι δικαιοσύνην ἀγαπᾷ, καὶ ἀδικίαν μισεῖ, δῶρον ἔχει τὸν ἁγιασμόν.

[04709] Ὁ δὲ προσθήκης τινὸς δεηθεὶς, ἀτελὴς ἂν εἴη, καὶ οὐχ ὅμοιος τῷ τελείῳ Πατρί.

[04710] Πρὸς τοῦτο λύσις.

[04711] Ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἀκούσῃ πάλιν, αἱρετικέ.

[04712] Ἐπειδὴ, φησὶν, ἐμίσησας ἀδικίαν, καὶ ἠγάπησας δικαιοσύνην, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, οὐχ ἵνα μισθὸν ἀρετῆς τὸ χρίσμα δεδόσθαι τις ὑπολάβῃ, ἀλλ' ἵνα τοιῶσδε νοήσωμεν τὸ λεγόμενον.

[04713] Τρεπτῆς ὑπάρχων φύσεως ὁ προπάτωρ Ἀδὰμ, καὶ πεφυκὼς ἔσθ' ὅτε ποτὲ μὲν τὴν δικαιοσύνην ἀγαπᾷν καὶ μισεῖν τὴν ἀδικίαν, ποτὲ δὲ πάλιν εἰς τὴν ἐναντίαν ἕξιν μεταπηδᾷν, καὶ ἀγαπᾷν μὲν τὴν ἀδικίαν, μισεῖν δὲ τὴν δικαιοσύνην (τοῦτο γὰρ τῶν τρεπομένην ἐχόντων τὴν φύσιν ἴδιον), παρηνέχθη παρὰ τοῦ διαβόλου.

[04714] Ἐπειδὴ δὲ πρὸς τὴν τοῦ τοιούτου νοσήματος λύσιν ἔδει τὸν ἄτρεπτον τοῦ Θεοῦ Λόγον ἑαυτὸν ὑπὲρ ἡμῶν ἀντιθεῖναι τῷ πονηρῷ, ἵν' ὥσπερ διὰ τῆς ἐκείνου τροπῆς ἐνικήθημεν, οὕτω διὰ τῆς ἀτρεψίας τοῦ Λόγου κρατήσωμεν·

[04715] διὰ τοῦτο χρίεται ὡς ἀεὶ καὶ [ἀ]παραλλάκτως δικαιοσύνην ἀγαπῶν, καὶ μισῶν ἀδικίαν, καὶ τραπῆναι μὴ δυνάμενος.

[04716] Ὅταν οὖν λέγῃ, Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀδικίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, τοιαύτην τινὰ δέχου διάνοιαν·

[04717] Ἐπειδὴ πάντων τῶν γενητῶν τρεπομένην ἐχόντων τὴν φύσιν οὐδὲν ἠδύνατο μάχεσθαι τῷ διαβόλῳ, σὺ δὲ ἐξ ἀτρέπτου Πατρὸς ἄτρεπτος ὢν, Θεὸς Λόγος, ἀεὶ δικαιοσύνην ἀγαπᾷς, τήν τε ἀδικίαν μισεῖς, ἔχρισέ σε ὁ Θεὸς, ἵνα ἐν σοὶ καὶ πρώτῳ τὴν ἀνθρώπου φύσιν παρ' αὐτὰ νικῶσαν θεάσηται.

[04718] ΑΛΛΟ, ἐκ τοῦ αὐτοῦ συναχθὲν συλλογισμοῦ.

[04719] Εὑρίσκεται παρὰ τῇ θείᾳ Γραφῇ περὶ τοῦ Θεοῦ καὶ Πατρὸς κείμενα τοιαῦτα πολλὰ, ὅτι Δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησε.

[04720] Καὶ πάλιν·

[04721] Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

[04722] Καὶ πάλιν·

[04723] Ἐγώ εἰμι Κύριος ὁ ἀγαπῶν δικαιοσύνην, καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας.

[04724] Ἆρ οὖν εἴ τις καὶ διὰ ταῦτα λέγοι·

[04725] Μέγας ὁ Κύριος ἡμῶν, ὅτι τὴν δικαιοσύνην ἀγαπᾷ, μισεῖ δὲ τὴν ἀδικίαν, μισθὸς ἔσται τῷ Θεῷ καὶ Πατρὶ τὸ μέγας καὶ ἀρετῆς ἀνταπόδοσις, ὅτι τάδε μὲν ἀγαπᾷ, μισεῖ δὲ ἐκεῖνα;

[04726] Ἀλλ' οὐκ ἄν τις οὕτω μανείη ποτέ.

[04727] Ὥσπερ οὖν ἐπὶ [75.337] τοῦ Πατρὸς εὐσεβῶς νοεῖται τὰ τοιῶσδε λεγόμενα, οὕτως ἂν εὐλόγως ἐκληφθείη καὶ ἐφ' Υἱοῦ.

[04728] Πρὸς γὰρ τὸ ἀρχέτυπον ἡ εἰκὼν, καὶ πρὸς τὴν εἰκόνα τὸ ἀρχέτυπον.

[04729] Εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου τὸ λέγον·

[04730] Ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων.

[04731] Οἱ τῆς οὐσίας τοῦ Θεοῦ Λόγου τολμῶντες κατηγορεῖν, καὶ τὸν Υἱὸν τοῖς γενητοῖς συντάττειν σπουδάζοντές φασι, σοφιζόμενοι τὴν ἀλήθειαν·

[04732] Εἰ κρείττων γέγονε τῶν ἀγγέλων ὁ Υἱὸς, ἀπὸ τροπῆς ἄρα ἔχει τοῦτο τῆς ἐπὶ τὸ ἄμεινον·

[04733] ὃ γὰρ οὐκ ἦν ἐγένετο.

[04734] Τὸ ὅλως μεταποιεῖσθαι δυνάμενον, καὶ ἀπό τινος εἰς ἕτερόν τι παραφέρεσθαι, τρεπτῆς ἂν εἴη φύσεως.

[04735] Εἰ δὲ τρεπτῆς, δῆλον ὅτι καὶ γενητῆς, ἧς ἴδιον ἡ τροπή.

[04736] Πρὸς τοῦτο λύσις.

[04737] Πρῶτον μὲν οὖν προσήκει τὸν εἰς ἔρευναν τῶν θείων εἰσβαίνοντα Γραφῶν, τὸν καιρὸν ἐπιτηρεῖν καθ' ὃν λέγεται τὸ δηλούμενον, καὶ πρόσωπον παρ' οὗ, ἢ δι' οὗ, ἢ περὶ οὗ λέγεται·

[04738] οὕτω γὰρ ἂν ἀπλανὴς ἡ διάνοια φυλαχθείη τοῖς ὀρθῶς ἐθέλουσι νοεῖν.

[04739] Γνωσόμεθα μὲν οὖν τὸ ἀπὸ τοῦ καιροῦ χρήσιμον, τῶν ἁγίων ἀποστόλων ἀκούοντες λεγόντων Χριστῷ·

[04740] Πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας;

[04741] Ἐκ δὲ τοῦ μὴ εἰδέναι καιρὸν, ἐζημιώθησαν οἱ περὶ Ὑμέναιον καὶ Ἀλέξανδρον, νομίσαντες ἀνάστασιν ἤδη γεγονέναι, καὶ τοῦτο λέγοντες Ὅτι δὲ τῶν προσώπων ἀναγκαία καὶ ἐπωφελὴς ἡ γνῶσις, εἰσόμεθα πάλιν, ὅταν ὁ Εὐνοῦχος λέγῃ πρὸς Φίλιππον·

[04742] Δέομαί σου, περὶ τίνος ὁ προφήτης λέγει, περὶ ἑαυτοῦ ἢ περὶ ἑτέρου τινός;

[04743] ἢ ὡς ὅταν ὁ μακάριος Παῦλος, τοῦ Σωτῆρος τὸ πρόσωπον εἰσφέρεσθαι βουλόμενος, λέγῃ·

[04744] Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκε.

[04745] Πρόδηλον γὰρ, ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος.

[04746] Ὅτι δὲ καὶ τὸ πρᾶγμα μὴ ἀγνοεῖν ἀναγκαῖον, ἐντεῦθεν ἔσται καταφανές.

[04747] Ὅταν γὰρ οἱ προφῆται τὰ περὶ τοῦ Σωτῆρος προκηρύττωσι, καὶ ὁ μὲν λέγῃ·

[04748] Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει·

[04749] ἑτέρωθι δὲ πάλιν, Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη·

[04750] καὶ μὴ κυρίως τὰ τοιαῦτα νοῆται περὶ Χριστοῦ, μακράν που τῆς ἀληθείας ὁ νοῦς οἰχήσεται, καὶ τῶν εὐσεβῶν ἐκπετασθήσεται νοημάτων.

[04751] Ἀναγκαία τοίνυν τῶν εἰρημένων ἡ ἐπιτήρησις.

[04752] Ἐπιτηρηθέντων τοίνυν ἀκριβῶς καιροῦ, καὶ προσώπου, καὶ πράγματος, εὑρεθήσεται ταῦτα λέγων ὁ Παῦλος, ὅτι δι' ἡμᾶς ἐνηνθρώπησεν ὁ τοῦ Θεοῦ Λόγος, ὅτε τῶν ἁμαρτιῶν ἡμῶν καθαρισμὸν ποιησάμενος ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τότε κρείττων γέγονε τῶν ἀγγέλων·

[04753] οὐ τὴν φύσιν εἰς ἕτερόν τι μεταβαλὼν, ἢ ὅπερ οὐκ ὢν φαίνεται πρότερον, ὕστερον γεγονώς·

[04754] οὐ γὰρ περὶ τῆς φύσεως τοῦ Υἱοῦ νῦν ὁ λόγος ἐστὶ τῷ Παύλῳ, ἀλλὰ περὶ πράγματος γενομένου ἐν καιρῷ τῆς ἐνανθρωπήσεως.

[04755] Οὐκοῦν οὐ τῇ φύσει τῶν ἀγγέλων τὴν τοῦ Υἱοῦ φύσιν συγκρίνεσθαι θέλων, κρείττονα τῶν ἀγγέλων αὐτὸν γεγενῆσθαί φησιν, ἀλλὰ [75.340] πραγμάτων ποιεῖται σύγκρισιν·

[04756] καὶ κατὰ τοῦτο κρείττονα τὸν Υἱὸν γενέσθαι φησίν.

[04757] Ἔσται δὲ τοῦ λεγομένου τοιοῦτος ὁ νοῦς·

[04758] Ὁ Παῦλος Ἑβραίοις διαλεγόμενος καὶ μετὰ πολλῆς παῤῥησίας ἀποδεῖξαι βουληθεὶς, ὅτι κρείττων ἐστὶν ἡ Χριστοῦ διακονία καὶ τῆς τῶν προφητῶν ἀποστολῆς καὶ τοῦ διακονηθέντος δι' ἀγγέλων νόμου, ἀπὸ τῆς τῶν προσώπων ἀξίας ποιεῖται τὴν σύγκρισιν, καί φησι·

[04759] Πάλαι λαλήσας ὁ Θεὸς τοῖς πατράσιν ἡμῶν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ ἐποίησε τοὺς αἰῶνας.

[04760] Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς.

[04761] Τοσαύτην τοίνυν περιθεὶς τῷ Υἱῷ τὴν δόξαν, καὶ τὰ τῆς φύσεως τοῦ Πατρὸς ἴδια προσάψας αὐτῷ, τότε φησὶ κρείττονα γενέσθαι τῶν ἀγγέλων, ὅσῳ καὶ μεῖζον ἔχει παρ' ἐκείνους τὸ ὄνομα, ὡς Υἱὸς καὶ κληρονόμος, καὶ ἀπαύγασμα, καὶ χαρακτὴρ, καὶ εἰκὼν, καὶ ὁμόθρονος, καὶ ποιητής.

[04762] Εἰ δὲ πολὺ κρείττων καὶ διαφορώτερος τῶν ἀγγέλων διὰ ταῦτα νοεῖται, κρείττων ἄρα καὶ ἡ αὐτοῦ τῆς ἐκείνων διακονίας.

[04763] Σημαίνοι δ' ἂν εἰκότως ἐνθάδε τὸ γέγονεν, οὐ τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγὴν (ἦν γὰρ ὁ Λόγος ἐν ἀρχῇ), οὐδὲ τὴν ἐξ ἐλάττονος εἴς τι μεῖζον μεταβολὴν (τέλειος γὰρ ἐκ τελείου Πατρὸς ὑπῆρχεν ὁ Υἱός), ἀλλ' ὥσπερ ἐν συγκρίσει δόξης καὶ ἀξιώματος τὸ μεῖζον καὶ κρεῖττον ὀφθέν.

[04764] Ὥσπερ ἂν εἴ τις ἄνθρωπος ἵππῳ συγκρίνοιτο, καὶ λέγοιτο κρείττων αὐτοῦ γεγενῆσθαι παρὰ τοῖς δοκιμάζουσι διὰ τὸ εἶναι λογικόν.

[04765] Ὅτι γὰρ τὸ γενέσθαι οὐ πάντως φύσεως σημαίνει μεταβολὴν, πρόδηλον ἔσται διὰ τοῦ λέγοντος πρὸς Θεόν, Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν·

[04766] καὶ πάλιν·

[04767] Ἐγένετό μοι Κύριος εἰς καταφυγήν·

[04768] καὶ, Ἐγένετό μοι Κύριος εἰς σωτηρίαν.

[04769] Διακονίας ἄρα καὶ δόξης, καὶ οὐ φύσεως, τῷ Υἱῷ πρὸς ἀγγέλους ἡ σύγκρισις.

[04770] Παράθεσις ῥητῶν σημαίνουσα ὅτι τὸ, κρείττων, ἡ θεία Γραφὴ καὶ ἐπὶ τῶν πολὺ διεστηκότων, ἢ κατὰ τὸν τῆς φύσεως λόγον, ἢ κατὰ τὴν ἀξίαν τίθησιν, ἢ κατὰ τὸ μέτρον τῆς χάριτος.

[04771] Ὅσον εἰς τὴν χάριν·

[04772] Κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας·

[04773] τί γὰρ ἴσον ἔσται τῶν αὐλῶν τῶν οὐσῶν ἐν τοῖς οὐρανοῖς;

[04774] Εἰς ἀνομοιότητα φύσεως·

[04775] Λάβετε παιδίαν, καὶ μὴ ἀργύριον·

[04776] κρείσσων γὰρ σοφία λίθων ἐκλεκτῶν.

[04777] Ἡσαΐας περὶ τῶν εὐνούχων εἰσφέρει λέγοντα Θεόν·

[04778] Κρεῖσσον υἱῶν καὶ θυγατέρων ὄνομα αἰώνιον δώσω αὐτοῖς.

[04779] Οὐκοῦν τὸ κρεῖσσον, οὐκ ἐπὶ τῆς τυχούσης διαφορᾶς, ἀλλὰ καὶ ἐπὶ μεγάλης καὶ ἀσυγκρίτου πολλάκις ὑπεροχῆς τάττεται.

[04780] ΑΛΛΟ, εἰς τὸ αὐτό.

[04781] Ἐπεξηγούμενος τὴν οἰκείαν φωνὴν ὁ μακάριος Παῦλος, καὶ σαφέστατα δεικνύων, τί ἐστι τὸ, Κρείττων γενόμενος τῶν ἀγγέλων, ἐπιφέρει τοῖς εἰρη [75.341] μένοις·

[04782] Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων·

[04783] Κάθου ἐκ δεξιῶν μου;

[04784] καὶ ὅτι περὶ τοῦ Υἱοῦ γέγραπται·

[04785] Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.

[04786] Εἰ δὲ ὁ τῆς συγκρίσεως λόγος, τὸ μὲν ὡς συγκαθεζόμενον τῷ Πατρὶ καὶ προσκυνούμενον εἰσφέρει, τοὺς δὲ ὡς παρεστηκότας τε καὶ προσκυνεῖν ἐπιτεταγμένους, οὐκ ἐπὶ τῆς οὐσίας ἔσται πάντως τὸ, κρείττων·

[04787] ἀλλ' ἐν τοῖς περὶ τὴν οὐσίαν ἀξιώμασι καὶ ταῖς ἔξωθεν τῆς φύσεως τιμαῖς.

[04788] Οὐκοῦν οὐχ ἕν τι τῶν γενητῶν ὁ Υἱὸς, ἀλλ' ἕτερόν τι παρὰ ταῦτα, τουτέστι, Λόγος ἴδιος τοῦ Πατρός.

[04789] ΑΛΛΟ, εἰς τὸ αὐτό.

[04790] Τὸ γέγονεν, ὅτε μόνον καὶ καθ' ἑαυτὸ λέγεται, σημαίνει πολλά·

[04791] καὶ οὐ πάντως ὑποστάσεώς ἐστι δηλωτικὸν, ἀλλ' ὅταν αὐτῷ τι συνάπτηται, τότε γνωριεῖ τὴν καθ' οὗ κατηγορεῖται δύναμιν·

[04792] οἷον, φέρε εἰπεῖν, γέγονέ τις τέκτων ἢ λιθοξόος, οὐ πάντως ἄνθρωπος ἵνα καὶ τέκτων·

[04793] ἀλλ' ἐπειδήπερ ἄνθρωπος, γέγονε τέκτων, τῆς τέχνης ὢν δεκτικὸς, καὶ κατὰ μόνης ἐνθάδε τῆς ἐπιστήμης χωρήσει τὸ γέγονεν, οὐ πάντως κατὰ τῆς ὑποστάσεως ἢ τῆς εἰς τὸ εἶναι παραγωγῆς.

[04794] Οὐκοῦν εἰ λέγοιτο Χριστὸς κρείττων γεγενῆσθαι τῶν ἀγγέλων, οὐ περὶ τὸν τῆς φύσεως λόγον ἔχει τὴν σύγκρισιν, ἀλλὰ περὶ τιμὴν καὶ ἀξίωμα.

[04795] ΑΛΛΟ, εἰς τὸ αὐτό.

[04796] Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων.

[04797] Τὸ γέγονεν εἰ καὶ κατὰ τῆς οὐσίας τάττοιτο τοῦ Υἱοῦ, οὐδὲν αὐτὴν ἀδικήσει τῆς λέξεως ἡ δύναμις, ἀδιαφόρως κειμένης πολλάκις κατὰ τῶν γεννωμένων.

[04798] Ἐπὶ μὲν οὖν τῶν ὄντως γινομένων καὶ ποιουμένων, οὐκ ἄν τις ἐπιδεῖξαι τὸ γεννᾶσθαι κείμενον κυρίως καὶ κατὰ φύσιν·

[04799] ὅτι κἂν γεννώμενον φαίνηται, ἔχει πρὸ ἑαυτοῦ τὸ πεποιῆσθαι παρὰ τοῦ κτίσαντος.

[04800] Οἷον ἄνθρωπος γεννᾶται μὲν, πεποίηται δὲ, καὶ κύριον αὐτοῦ τοῦτο μᾶλλον ἢ τὸ δεύτερον.

[04801] Εἰ δὲ καὶ λέγοιντό τινες διὰ τοῦ Πνεύματος γεγεννῆσθαι, ἀλλὰ καὶ οὗτοι πρὸς μίμησιν τοῦ ἀληθῶς γεννηθέντος ἐκ Πατρὸς Θεοῦ Λόγου, καὶ οὐκ ἔξω τοῦ πεποιῆσθαι τυγχάνουσιν·

[04802] ὥστε τὸ τῆς γεννήσεως ὄνομα καταχρηστικῶς ἂν εἴη μᾶλλον ἢ φυσικῶς ἐν τοῖς γενητοῖς.

[04803] Τὸ δὲ γεννηθὲν, κἂν γενέσθαι λέγηται, οὐδὲν ὑπομένει τὸ βλάβος, ἀδιαφορούσης περὶ τοῦτο τῆς θείας Γραφῆς.

[04804] Λέγει γὰρ ὅτι ἐγένοντο τῷ Ἰὼβ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς.

[04805] Καὶ πάλιν·

[04806] Ἦν Ἀβραὰμ ἑκατὸν ἐτῶν ὅτε ἐγένετο αὐτῷ Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ.

[04807] Εἰ δὲ τὸ γεννώμενον γενέσθαι λέγεται καὶ ἐπ' ἀνθρώπων, ἀδιαφορείτω τις τοῦτο ἀκούων καὶ περὶ τοῦ Υἱοῦ.

[04808] Ἐπὶ δὲ τῶν γενητῶν οὐκ ἀδιαφορήσει διὰ τὸν προαποδεδομένον λόγον.

[04809] ΑΛΛΟ.

[04810] Εἰς τὸ αὐτὸ, ὡς ἐκ τῶν δι' ἐναντίας.

[04811] Γέγραπται, φησὶ, περὶ Υἱοῦ, ὅτι Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων.

[04812] Ἐπειδὴ δὲ φιλοῦσιν αἱ συγκρίσεις ἀεὶ γίνεσθαι περὶ τὰ ὁμοειδῆ (οὐδὲ γὰρ [75.344] ἄν τις εὐλόγως ἵππῳ συγκρίναι τὸν ἄνθρωπον ἢ κυνὶ τὸ πρόβατον, ἀλλ' ἄνθρωπον μὲν ἀνθρώποις, τὸ δὲ πρόβατον τῷ προβάτῳ), ἀνάγκη πᾶσα γενητὸν εἶναι συνομολογεῖν τὸν Υἱὸν, ὃς ἀγγέλοις συγκρίνεται τοῖς γενητὴν ἔχουσι τὴν φύσιν.

[04813] Πρὸς τοῦτο λύσις.

[04814] Φιλοῦσι μὲν ὁμολογουμένως ἐν τοῖς ὁμοειδέσιν αἱ συγκρίσεις γίνεσθαι.

[04815] Ἀλλ' ὅταν τὰ τοιαῦτα πρὸς ἄλληλα κρίνηται, τὸ κρείττων λέγεσθαι μισεῖ, καὶ οὐκ οἰκείως ἐπιδέξεται τὴν φωνήν·

[04816] ἁρμόσει δὲ ἐπ' αὐτῶν τὸ μᾶλλον καὶ τὸ ἧττον, καὶ τὸ διαφερόντως λέγεσθαι, καὶ τὸ πλέον ἔσθ' ὅτε·

[04817] ἃ δὴ καὶ κυριωτέραν δεικνύει τὴν σύγκρισιν·

[04818] οὕτως Ἰωσὴφ ὡραῖος παρὰ τοὺς ἀδελφούς.

[04819] Ἀστὴρ δὲ πάλιν ἀστέρος οὐ κρείττων, ἀλλὰ διαφέρει ἐν δόξῃ·

[04820] οὕτως ὁ Σωτὴρ, ὅτε τοῖς ἀνθρώποις ὡς ἄνθρωπος συγκρίνεται, οὐ κρείττων κάλλει λέγεται, ἀλλ' ὡραῖος παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.

[04821] Ὅτε δὲ τὰ ἑτεροειδῆ πρὸς ἄλληλα τὴν σύγκρισιν ἔχει, τότε λέγεται τὸ κρεῖττον οἰκειότερον.

[04822] Οὕτω καὶ γέγραπται·

[04823] Κρείσσων γὰρ σοφία λίθων πολυτελῶν.

[04824] Ποία δὲ κοινωνία φύσεως σοφίᾳ καὶ λίθοις;

[04825] Εἰ τοίνυν ἕτερον μὲν ἔχει τύπον ἐν τοῖς ὁμοειδέσιν ἡ σύγκρισις, ἐπὶ δὲ τῶν ἀνομοίων κατὰ τὴν φύσιν τὸ κρεῖττον τάττεται, οὐκ ἔσται τοῖς ἀγγέλοις ὅμοιος ὁ Υἱὸς, οὐδὲ γενητὸς ὥσπερ ἐκεῖνοι, ἀλλ' ὑπερβολικὴν ἔχει τὴν σύγκρισιν.

[04826] Καὶ διὰ τοῦ λέγεσθαι κρείττων, ἑτεροειδὴς ἔσται μᾶλλον ἢ ὁμοειδής.

[04827] ΑΛΛΟ, εἰς τὸ αὐτό.

[04828] Εἰ διὰ τὸ λέγειν τὴν Γραφὴν, Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὁμοειδὴς ἔσται τοῖς ἀγγέλοις ὁ Υἱὸς ὡς πρὸς αὐτοὺς ἔχων τὴν σύγκρισιν, ὁράτωσαν ποῖ ποτε ὁ λόγος αὐτοῖς κινδυνεύσει.

[04829] Ὥρα γὰρ ὁμολογεῖν καὶ συγκαθεσθῆναι δύνασθαι τῷ Θεῷ τοὺς ἀγγέλους καὶ συμβασιλεύειν αὐτῷ·

[04830] καὶ τὸ περιττὸν οὐδὲν ἐν Υἱῷ παρ' ἐκείνους.

[04831] Τὰ γὰρ ἀλλήλοις ὁμοειδῆ, κἂν ἔχῃ τινὰ πρὸς ἄλληλα τὴν διαφορὰν, ἀλλὰ τῆς αὐτῆς ἔχεται φύσεως.

[04832] Οὕτω γὰρ ἂν εἴη καὶ ὁμοειδῆ.

[04833] Οὐκοῦν ἐπειδήπερ περὶ μὲν ἀγγέλων λέγεται·

[04834] Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, περὶ δὲ τοῦ Υἱοῦ·

[04835] Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ὁμοειδεῖς δὲ ἄγγελοι καὶ ὁ Υἱὸς κατ' ἐκείνους, διὰ τὸ πρὸς αὐτοὺς ἐν τῷ λέγεσθαι κρείττων ἔχειν τὴν σύγκρισιν·

[04836] οὐδὲν ἄρα κωλύσει καὶ ἀγγέλους δύνασθαι συγκαθεσθῆναι τῷ Θεῷ, εἰ καὶ μή τις αὐτῶν ἠξιώθη τοῦ πράγματος.

[04837] Καὶ μάτην, ὡς εἰκὸς, ὁ Παῦλος λέγει·

[04838] Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων·

[04839] Κάθου ἐκ δεξιῶν μου;

[04840] Ἢ πῶς τοῦτο δίδωσιν ὡς ἐξαίρετον τῷ Υἱῷ, ἑλκούσης αὐτὸ πρὸς ἑαυτὴν καὶ τῆς τῶν ἀγγέλων φύσεως, εἴπερ εἰσὶν ὁμοειδεῖς πρὸς αὐτόν;

[04841] Κοινὰ γὰρ ἅπασι τοῖς ὁμοειδέσι τὰ ἐν τῇ αὐτῇ φύσει κείμενα.

[04842] Τὰ δὲ ἐκ προσθήκης ἐπισυμβαίνοντά τισι πλεονεκτήματα, τῆς οὐσίας οὐχ ἅπτεται.

[04843] Οἷον μία μὲν ἀνθρώποις ἡ φύσις, πλουτοῦσι δὲ οὐ πάντες, οὔτε μὴν βασιλεύουσι·

[04844] δεκτικοὶ δὲ ὅμως [75.345] καὶ τούτων εἰσίν.

[04845] Ἀλλ' οὐδεὶς ἐπιτρέπει τοῖς ἀγγέλοις τὴν Υἱοῦ δόξαν φορεῖν·

[04846] ὁ μὲν γὰρ Δεσπότης, τὰ δὲ δοῦλα τυγχάνει.

[04847] Οὐχ ὁμογενὴς ἄρα τοῖς ἀγγέλοις ἐστὶν, ὁ τῷ Πατρὶ συμβασιλεύων καὶ συγκαθήμενος.

[04848] ΑΛΛΟ.

[04849] Ὅτι οὐχ ὁμοφυὴς τοῖς ἀγγέλοις ὁ Υἱός.

[04850] Ποίημα καὶ ποιητὴς οὐκ ἄν ποτε τῆς αὐτῆς εἶεν φύσεως.

[04851] Ἕτερον γάρ τι τὸ ποιοῦν, καὶ ἕτερον τὸ ποιούμενόν ἐστιν.

[04852] Εἰ γὰρ μὴ οὕτως ἔχει, τί τὸ διαιροῦν κατὰ φύσιν τῶν γενητῶν τὸν Θεόν;

[04853] Ὅτε τοίνυν πάντα δι' Υἱοῦ ὁ Θεὸς καὶ Πατὴρ ἐργάζεται, ἓν δέ τι τῶν πάντων ἐστὶ καὶ ἡ τῶν ἀγγέλων φύσις, γέγονεν ἄρα δι' Υἱοῦ καὶ πεποίηται.

[04854] Οὐχ ὁμογενὴς οὖν τοῖς δι' αὐτοῦ γενομένοις καὶ διὰ τούτου φανεῖται·

[04855] ἀλλ' ὁ μὲν φορέσει τοῦ Δημιουργοῦ τὴν ἀξίαν, τὰ δὲ τὴν κατὰ τὸ πεποιῆσθαι δουλείαν.

[04856] Τὰ γὰρ σύμπαντα, φησὶ, δοῦλά σου, ἡ θεία Γραφή.

[04857] ΑΛΛΟ.

[04858] Ὅτι οὐχ ὁμογενὴς τοῖς ἀγγέλοις ὁ Υἱὸς διὰ τὸ λέγεσθαι κρείττων αὐτῶν γεγενῆσθαι.

[04859] Πᾶν ὅπερ ἂν φαίνηται γεγονὸς κατ' οὐσίαν, καὶ εἰς τὸ μὴ εἶναι καταλήξει ποτὲ θελήσαντος τοῦ Δημιουργοῦ·

[04860] καὶ ὅπερ ἂν ἔχοι φύσιν τοῦ παθεῖν δεκτικὴν, πάθοι, ἂν εἰ καὶ μή πω πέπονθε.

[04861] Τὸ δὲ πάσχειν οὐ πεφυκὸς, οὐκ ἄν τι πάθοι ποτὲ, καὶ ἕτερόν τι παρ' ἐκεῖνό ἐστι·

[04862] καὶ τὸ ἀεὶ ὡσαύτως ὂν, οὔτε τοῦ εἶναι ἤρξατο, οὔτε μὴν οἶδε τὸν ἐπὶ τέλει δρόμον, ὥσπερ τὰ τοῦ εἶναι ἀρξάμενα.

[04863] Ἀλλ' οὐκ ἄν τις εἴποι νοῦν ἔχων, τὰ τοσαύτην ἔχοντα πρὸς ἄλληλα τὴν ἐναντιότητα, καὶ οὕτω κατὰ φύσιν διεστηκότα, ὁμοφυῆ τε εἶναι καὶ τῆς αὐτῆς ὑπάρχειν οὐσίας.

[04864] Εἰ τοίνυν ἐπὶ μὲν τῶν ποιημάτων ὡς ὑποκειμένων καὶ φθορᾷ λέγεται.

[04865] Αὐτοὶ ἀπολοῦνται·

[04866] ἐπὶ δὲ τοῦ Υἱοῦ, Σὺ δὲ διαμένεις·

[04867] κἀκεῖνα μὲν παλαιωθήσεται, ὡς γενητὴν ἔχοντα τὴν φύσιν·

[04868] τοῦ δὲ Υἱοῦ τὰ ἔτη οὐκ ἐκλείψουσι·

[04869] πῶς ὁμοφυὴς ἔσται τοῖς ἀγγέλοις ὁ Υἱὸς, τοῖς πεποιημένοις ὁ ποιητὴς, τοῖς γεγενημένοις ὁ ἀγένητος, τοῖς παρελθεῖν δυναμένοις ὁ αἰώνιος;

[04870] Εἰ γὰρ καὶ ἀθάνατόν τι χρῆμα ὁ ἄγγελός ἐστι διὰ τὴν οὕτω κειμένην ἐπ' αὐτῷ τοῦ ποιήσαντος βούλησίν τε καὶ χάριν, ἀλλ' ἐπείπερ ἀρχὴν τοῦ εἶναι ἔχει, δύναιτ' ἂν καὶ εἰς τέλος ἐλθεῖν.

[04871] Φύσεως δὲ πλεονεκτήματα τοῖς ἔχουσίν ἐστιν ἰσχυρὰ, καὶ οὐχὶ τῷ πεποιηκότι Θεῷ.

[04872] Ὥσπερ οὖν καὶ τὸ πῦρ καυστικὸν μέν ἐστιν, ἀλλ' οὐ τῷ Θεῷ·

[04873] οὕτω καὶ ἄγγελος ἀθάνατος μὲν, ἀλλ' οὐ τῷ Θεῷ.

[04874] Μόνος γὰρ αὐτὸς κυρίως ἀθάνατος, φυσικῶς ἔχων, οὐκ ἀπὸ χάριτος, τὴν ἀσφάλειαν, ὥσπερ τὰ γενητά.

[04875] ΑΛΛΟ, μετὰ ἀποδείξεως, ὅτι ἄγγελοι μὲν δοῦλοι, Δεσπότης δὲ ὁ Υἱός.

[04876] Εἰ οὐδεὶς δύναται ἀφεῖναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεὸς, ἀφίησι δὲ ὁ Υἱὸς, Θεὸς ἄρα, καὶ οὐ τοῖς ποιήμασιν ἐναρίθμιος.

[04877] Ἄγγελοι μὲν γὰρ προσεύχονται [75.348] λέγοντες·

[04878] Κύριε παντοκράτωρ, ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα;

[04879] Ὁ δὲ Υἱὸς ἐξουσιαστικῶς·

[04880] Ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι.

[04881] Οὐχ ὁμογενὲς οὖν ἄρα τῷ δεσπότῃ τὸ δοῦλον, οὔτε τῷ χαριζομένῳ τὸ αἰτοῦν ἵνα λάβῃ.

[04882] ΑΛΛΟ τούτῳ ὅμοιον, ὅτι οὐκ ἐν τοῖς δούλοις ὁ Υἱός.

[04883] Ἀποστέλλει τοὺς προφήτας ὁ Θεὸς ἀπαιτῆσαι τοῦ ἀμπελῶνος τοὺς καρποὺς, οἳ πρὸς τῷ μηδὲ δύνασθαι λαβεῖν, καὶ ἀπέθανον.

[04884] Ὁ Σωτὴρ ὡς Δεσπότης καὶ τὰς ὀφειλὰς ἀφίησι, καὶ εἰς ἑτέρους γεωργοὺς μετατίθησι τὸν ἀμπελῶνα ὡς δεσπότης καὶ Κύριος·

[04885] φαίνονται δὲ καὶ τῇ τοῦ νόμου διακονίᾳ ὑπηρετήσαντες ἄγγελοι, καὶ ποιήσαντες οὐδὲν ὧν ἐποίησεν ὁ Υἱός.

[04886] Οὐκοῦν οὐχ ὁμογενὴς ἀγγέλοις ἐστὶν, ἀλλὰ Δεσπότης καὶ Κύριος.

[04887] ΑΛΛΟ, διηγηματικῶς ὅτι τὸ Κρείττων γενόμε νος τῶν ἀγγέλων, οὐκ οὐσιῶν εἰσφέρει σύγ κρισιν, ἀλλὰ μᾶλλον διακονιῶν.

[04888] Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ἐπὶ τοῦ Υἱοῦ φησιν ὁ Παῦλος, οὐ τῇ φύσει τῶν ἀγγέλων τὴν τοῦ Θεοῦ Λόγου συγκρίνεσθαι θέλων, οὐδὲ τῶν ἀνομοίων οὐσιῶν ἐξίσου ποιούμενος τὴν ἐξέτασιν (ἀσύγκριτον γὰρ πρᾶγμα θεότητος καὶ ἀπαράβλητον), ἀλλὰ τὴν ἐπὶ ταῖς διακονίαις εἰσφέρων διαφορὰν, ἵν' ἀφ' ὧν ἕκαστος ἐπιστεύθη καὶ ᾠκονόμησεν, ἐκ τούτων ὅστις εἴη γινώσκηται.

[04889] Ὅτι δὲ τὸ κρείττων ὡς πρὸς τὴν τῶν ἀγγέλων διακονίαν ἔχει τὴν σύγκρισιν, γένοιτ' ἂν ἐνθένδε καταφανές·

[04890] Σκοπὸς ἦν τῷ Παύλῳ κρείττονα τῶν νομικῶν ἐνταλμάτων ἐπιδεῖξαι τὰ διὰ Χριστοῦ κηρυττόμενα.

[04891] Πόθεν οὖν ποιεῖται τὰς ἀποδείξεις;

[04892] Ἐπὶ τοὺς διακονοῦντας χωρεῖ, καὶ ταῖς τούτων διαφοραῖς ἀναλόγως ὁρίζει τὰ ὑπ' αὐτῶν διακονούμενα.

[04893] Ἄγγελοι μὲν οὖν διακονοῦσι τὸν νόμον, καὶ λαλεῖται δι' αὐτῶν·

[04894] ὁ δὲ Υἱὸς, τὴν διὰ τῶν Εὐαγγελίων κηρύττει γνῶσιν.

[04895] Ἀλλὰ κρείττων, φησὶν, ὁ Υἱὸς τῶν ἀγγέλων·

[04896] καθὸ τῶν ἀμεινόνων κατέστη διάκονος, κατὰ τοῦτο κρείττων.

[04897] Διακονεῖται δὲ τὰ μεγάλα διὰ μεγάλων, καὶ τὰ μικρὰ διὰ τῶν μικρῶν.

[04898] Μέγας δὲ ὁ Υἱὸς, καθὸ ἀπαύγασμα καὶ χαρακτὴρ, καθὸ ἀκούει·

[04899] Κάθου ἐκ δεξιῶν μου·

[04900] καθὸ πρωτότοκος καὶ ὑπ' αὐτῶν ἀγγέλων προσκυνούμενος.

[04901] Οἱ δὲ ἄγγελοι, τούτων οὐδὲν, ἀλλ' οἱ μὲν ὡς λειτουργοὶ παρεστήκασιν, ὡς δοῦλοι προσκυνοῦσιν, ὡς ὑπηρέται τρέχουσι διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν.

[04902] Κρείττων ἄρα τοῦ Σωτῆρος ἡ διακονία τῆς δι' ἀγγέλων, ὅσῳπερ ὁ μὲν ἐν τούτοις, οἱ δὲ ἐν ἐκείνοις.

[04903] Διὰ ταύτην τοιγαροῦν τὴν αἰτίαν ὁ Παῦλος τὰς διακονίας συγκρῖναι θελήσας, λέγει·

[04904] Κρείττων γενόμενος τῶν ἀγγέλων.

[04905] Ὅτε δὲ ἐπὶ τὴν τῶν οὐσιῶν ἔρχεται σύγκρισιν, λέγει·

[04906] Ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα.

[04907] Οὐκέτι, κρεῖττον, ἀλλὰ, διαφορώτερον, ὃ δὴ καὶ πολλὴν εἰσφέρει τὴν ἐξαλλαγήν.

[04908] [75.349] Παράθεσις ῥητῶν, περὶ ἀνθρωπότητος Χριστοῦ, καὶ λύσις ἐφεξῆς εἰς τὸ, Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων.

[04909] Ὅτι τὸ κρείττων ἐνθάδε τιθέμενον, τῶν διακονικῶν εἰσφέρει τὴν σύγκρισιν, γνωσόμεθα, Παύλου λέγοντος·

[04910] Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος, ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τοιαύτης ἀμελήσαντες σωτηρίας, ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη;

[04911] Καὶ πάλιν·

[04912] Ἀθετήσας τις νόμον Μωσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει.

[04913] Πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας;

[04914] Καίτοι εἰ διὰ τὸ κρείττονα λέγεσθαι τῶν ἀγγέλων αὐτὸν, εἶναι δεῖ πάντως αὐτοῖς καὶ ὁμοφυῆ (αἱ γὰρ συγκρίσεις ἐπὶ τῶν ἀλλήλοις προσεοικότων φιλοῦσι γίνεσθαι), τί μᾶλλον ἔδει χείρονος ἀξιοῦσθαι τιμωρίας τὸν καταπατοῦντα τὸν Υἱὸν, οὐ τοιαύτης μετέχοντος τοῦ καταπατοῦντος τοὺς ἀγγέλους διὰ τῆς παραβάσεως τοῦ λαληθέντος νόμου δι' αὐτῶν;

[04915] Ὁ γὰρ εἰς τοὺς ἴσους καὶ ὁμοειδεῖς ἐξυβρίζων, τῆς αὐτῆς ἂν εἰκότως μετέχοι τιμωρίας, καὶ οὗ τῶν ἀδικουμένων οὐκ ἔστι διαφορὰ, καὶ τῶν κολάσεων ὁμοιότης εὐλόγως ἂν γένοιτο.

[04916] Νυνὶ δὲ ὁ μὲν εἰς τὸν Υἱὸν ἐξαμαρτάνων, χείρονος ἀξιωθήσεται τιμωρίας·

[04917] ὁ δὲ εἰς τὸν ὑπ' ἀγγέλων λαληθέντα νόμον, ἐλάττονος.

[04918] Οὐχ ὁμογενὴς ἄρα τοῖς ἀγγέλοις ἐκεῖνος, εἰς ὃν καὶ μεῖζόν ἐστι τὸ ἁμαρτάνειν·

[04919] καὶ τὸ τιμωρίας μέτρον, ἀναλόγως τῇ ὑπεροχῇ τοῦ πατηθέντος ἐκτίνεται.

[04920] ΑΛΛΟ.

[04921] Ὡς ἐξ ἀντιθέσεως εἰς τὸ αὐτό.

[04922] Χείρονος, φασὶν, ἀξιοῦται τιμωρίας ὁ ἐξαμαρτάνων εἰς τὸν Υἱὸν, ὡς εἰς μείζονα τῶν ἀγγέλων.

[04923] Τοῦτο δὲ αὐτὸν οὐ πάντως ἔξω τῆς πρὸς ἀγγέλους ὁμογενείας γενέσθαι ποιεῖ.

[04924] Ἀναλόγως γὰρ τῇ ἑκάστῳ χρεωστουμένῃ τιμῇ καὶ ἡ εἰς αὐτὸν ὕβρις ἐκμετρεῖται.

[04925] Ἐπειδὴ τοίνυν κρείττων γέγονε τῶν ἀγγέλων ὁ Υἱὸς, ἔχει βαρυτέρως τὴν τιμωρίαν ὁ εἰς αὐτὸν ἐξαμαρτάνων.

[04926] Πρὸς ταῦτα λύσις ἐκ τοῦ αὐτοῦ.

[04927] Ἐχρῆν οὖν ἐπὶ τῇ παραβάσει τῶν νομικῶν ἐντολῶν, μὴ ἀναλόγως τοῖς πλημμελήμασι τὰς τιμωρίας ὁρίζεσθαι, μηδὲ πάντως τῷ μεγέθει τῆς ἁμαρτίας συμμετρεῖσθαι τὴν κόλασιν, ἀλλὰ μᾶλλον ὁρίζεσθαι πρὸς τὴν ἀξίαν τοῦ διακονήσαντος αὐτὴν ἀγγέλου.

[04928] Εἰ δὲ τοῦτο μὲν οὐχ ὁρῶμεν γενόμενον, εἷς δὲ ὁ νόμος, πολλῶν ὄντων ἀγγέλων, καὶ διὰ τῶν αὐτῶν τιμωριῶν τρέχει τὰ ἁμαρτήματα·

[04929] οὐκ ἄρα ἀληθὲς τὸ λεγόμενον, ὅτι χείρονος ἀξιωθήσεται τιμωρίας ὁ εἰς τὸν Υἱὸν ἐξαμαρτάνων, ὡς εἰς κρείττονα τῶν ἀγγέλων, ἀλλ' ὡς εἰς ἑτεροφυᾶ καὶ πολὺ παρηλλαγμένον.

[04930] Οἱ μὲν γὰρ γενητοὶ, ὁ δὲ Θεὸς ἀληθινὸς, οὐ τῶν γενητῶν εἷς, οὐδὲ πρὸς αὐτὰ τὴν σύγκρισιν ἔχων·

[04931] ἀλλ' ὅσωπερ ἂν αὐτὸς ἀξιολογώτερος φαίνεται, τοσούτῳ μείζονι καὶ [75.352] χαλεπωτέρᾳ τιμωρίᾳ ὑπεύθυνον ὄντα δεικνύων τὸν τὰ αὐτοῦ παραβαίνοντα.

[04932] ΑΛΛΟ, ἐκ τῶν αὐτῶν, ὅτι καλὴ καὶ χρησιμωτάτη τῶν διακονιῶν ἡ σύγκρισις, τῆς τε τῶν ἀγγέ λων καὶ τοῦ Υἱοῦ, τοῦ κρείττων τὴν δύνα μιν ἑρμηνεύουσα.

[04933] Πῶς γὰρ κρείττων τῶν ἀγγέ λων ἐστὶ καὶ πόσον, ἐξ αὐτῶν γνωσόμεθα.

[04934] Ἄγγελοι τὸν νόμον ἐλάλησαν, ἀλλ' οὐδὲν ἐτελείωσεν ὁ νόμος.

[04935] Ὁ δὲ Υἱὸς ἐτελείωσε τὸ ἔργον τοῦ Πατρός.

[04936] Τέλειος γὰρ εἰς εὐσέβειαν ὁ τοῖς αὐτοῦ νόμοις παιδαγωγούμενος.

[04937] Ἐβασίλευσεν ὁ θάνατος καὶ κατὰ τὸν τοῦ νόμου καιρόν·

[04938] Ἀπὸ γὰρ Ἀδὰμ, φησὶ, καὶ μέχρι Μωσέως.

[04939] Λέλυται δὲ θάνατος διὰ Χριστοῦ·

[04940] οὐκέτι γὰρ ἐν Ἀδὰμ ἀποθνήσκομεν, ἀλλ' ἐν Χριστῷ ζωοποιούμεθα.

[04941] Ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ τὰ νομικὰ προστάγματα διηγγέλλετο, καὶ ἦν ἐν μόνῃ τῇ Ἰουδαίᾳ γνωστὸς ὁ Θεός·

[04942] νυνὶ δὲ εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ γεγόνασι πάντες διδακτοὶ Θεοῦ, οὐκ ἀγγέλων, ἀλλὰ Θεοῦ.

[04943] Θεοῦ μὲν γὰρ καὶ ὁ νόμος, ἀλλὰ δι' ἀγγέλων·

[04944] ὁ δὲ Υἱός φησιν·

[04945] Αὐτὸς ὁ λαλῶν πάρειμι.

[04946] Οὐκοῦν κατὰ τὴν τοῦ Παύλου φωνὴν, ὅσῳ διαφορωτέρας τετύχηκε λειτουργίας, καὶ ὅσῳ κρείττονος διαθήκης γέγονεν ἔγγυος, τοσοῦτον ὑπερέξει τοὺς ἀγγέλους, οὐχ ὡς πρὸς αὐτοὺς συγκρινόμενος κατὰ τὴν φύσιν, ἀλλὰ τοσοῦτον ὑπεραιρόμενος, ὅσον ἀπῴκισται τῶν γενητῶν ὁ Θεὸς κατὰ τὸν τῆς οὐσίας λόγον.

[04947] Τὸ ἄρα κρείττων ἐπὶ τῆς διακονίας φερόμενον, ὅσον αὐτὴν τῆς ἐκείνων δεικνύει μείζονα καὶ ὑψηλοτέραν, τοσοῦτον ἐξαίρει τῆς τῶν γενητῶν φύσεως τὸν Υἱόν.

[04948] Καὶ τοῖς μὲν ἀγγέλοις ὡς δούλοις ἀπονέμει διακονίαν τὴν ἐλάττονα·

[04949] τῷ δὲ Υἱῷ, τὴν Υἱῷ πρέπουσαν καὶ Δεσπότῃ.

[04950] Ἐπὶ γὰρ κρείττοσι, φησὶν, ἐπαγγελίαις νενομοθέτηται.

[04951] ΑΛΛΟ, ὅτι κρείττων ἡ τοῦ Θεοῦ Λόγου διακονία τῆς τῶν ἀγγέλων, καὶ καθ' ἑτέρους τρόπους·

[04952] ὅσῳ δὲ κρείττων αὕτη, τοσούτῳ καὶ ὁ διακο νήσας αὐτόν.

[04953] Ὁ Παῦλός φησιν·

[04954] Ὅτι τὸ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί.

[04955] Εἰ δὲ ἠσθένησεν ὁ νόμος κατακρῖναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, κατέκρινε δὲ ὁ Χριστὸς, δεκτικὴν αὐτὴν ἀποδείξας τοῦ ἁγίου Πνεύματος, ὡς δύνασθαι λέγειν ἡμᾶς·

[04956] Οὐκ ἐσμὲν ἐν σαρκὶ, ἀλλ' ἐν Πνεύματι·

[04957] γέγονεν ἄρα καὶ κατὰ τοῦτο κρείττων ἀγγέλων, δι' ὧν ὁ νόμος λελάληται·

[04958] καὶ πάλιν ὁ κόσμος ὑπὸ μὲν τοῦ νόμου κατεκρίνετο διὰ τὴν ἁμαρτίαν.

[04959] Ἐπεδήμησε δὲ ὁ Υἱὸς, οὐχ ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σώσῃ τὸν κόσμον, οὐδὲ ἀπαιτήσων τινὰ τιμωρίαν, ἀλλ' ἵνα πᾶσι χαρίσηται.

[04960] Κρείττων οὖν ὁ δικαιῶν τοῦ κατακρίνοντος, κρείττων τοῦ ἀπαιτοῦντος ὁ χαριζόμενος, κρείττων τοῦ μὴ ἰσχύσαντος κατακρῖναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ὁ καὶ τοῦτο πληρώσας Υἱός.

[04961] Κρείττων ἄρα [75.353] κατὰ τοῦτο τῶν ἀγγέλων τῶν τὸν ἀσθενῆ καὶ κατακρίνοντα λαλησάντων νόμον.

[04962] ΑΛΛΟ, ὅτι τοῖς ποιήμασιν ἢ τοῖς ἀγγέλοις οὐχ ὁμοφυὴς ὁ Υἱός.

[04963] Εἰ ποίημά ἐστιν ὁ Υἱὸς, καὶ ὁμοφυὴς τοῖς ἀγγέλοις, καλείσθωσαν καὶ αὐτοὶ παρὰ τοῦ Πατρὸς ὥσπερ ἐκεῖνος υἱοὶ, ἢ αὐτὸς ὥσπερ ἐκεῖνοι ἄγγελος.

[04964] Ἀλλ' οὐδενὶ τῶν ἀγγέλων εἶπέ ποτε·

[04965] Υἱός μου εἶ σὺ, κατὰ τὴν τοῦ Παύλου φωνήν·

[04966] οὔτε μὴν αὐτὸς ἄγγελος κεκλημένος φαίνεται κατὰ ἀλήθειαν.

[04967] Καθεζέσθωσαν ἐν δεξιᾷ τοῦ Πατρὸς ὥσπερ Υἱός·

[04968] ἀλλ' οὐδεὶς τῶν ἀγγέλων συγκάθηται τῷ Πατρὶ, ἀλλὰ μᾶλλον παρεστήκασι λειτουργοῦντες αὐτῷ.

[04969] Λεγέτωσαν ἄγγελοι διατάττοντες ὥσπερ ὁ Υἱός·

[04970] Ἐγὼ δὲ λέγω ὑμῖν·

[04971] ἀλλ' οὐ τοῦτό φασιν, ἀλλὰ μᾶλλον·

[04972] Ἀπεστάλην λαλῆσαι πρὸς σέ.

[04973] Καὶ οἱ μὲν διακονοῦσιν, ὁ δὲ διακονεῖται·

[04974] Ἰδοὺ γὰρ, φησὶν, ἄγγελοι προσελθόντες διηκόνουν αὐτῷ.

[04975] Καὶ ὁ μὲν ἔστι δημιουργὸς, οἱ δὲ γεγόνασι δι' αὐτοῦ·

[04976] καὶ οἱ μὲν προσκυνοῦσιν, ὁ δὲ προσκυνεῖται·

[04977] καὶ οἱ μὲν ἄγγελοι τὰς τῶν οὐρανῶν πύλας αἴρειν προστάττονται·

[04978] ὁ δὲ εἰσέρχεται ὡς Κύριος τῶν δυνάμεων, ὡς βασιλεὺς τῆς δόξης·

[04979] καὶ οἱ μὲν ζωῆς μετέχουσι τῆς παρὰ Θεοῦ·

[04980] ὁ δὲ τῆς ζωῆς ἐστι χορηγὸς, αὐτὸς ζωὴ τοῖς πᾶσιν ὑπάρχων.

[04981] Καὶ ὁ μέν φησιν·

[04982] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, καὶ Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα, καὶ, Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι, καὶ Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, καὶ Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή·

[04983] ἄγγελοι δὲ τὰς τοιαύτας οὐ τολμῶσι φθέγγεσθαι φωνάς.

[04984] Κἂν ἐν τῷ ὀνόματι τοῦ Υἱοῦ προσευξώμεθα, ὅσαπερ ἂν αἰτήσωμεν, ληψόμεθα·

[04985] ἐν ὀνόματι δὲ τῶν ἀγγέλων οὐκ ἄν τις προσεύξαιτο.

[04986] Καὶ τῷ μὲν Υἱῷ σὺν τῷ Πατρὶ καὶ μετὰ Πατρὸς ἡ δόξα·

[04987] ἄγγελοι δὲ οὐ δοξάζονται, ἀλλὰ μᾶλλον δοξάζουσι μετὰ τοῦ Πατρὸς τὸν Υἱόν.

[04988] Πῶς οὖν τοσαύτης κειμένης διαφορᾶς μεταξὺ τῶν ἀγγέλων καὶ τοῦ Υἱοῦ, τῆς αὐτῆς οὐσίας εἶναι νομισθήσονται, οὐδενὸς συγχωροῦντος λόγου;

[04989] Ἀναλόγως γὰρ τῇ τῶν προσώπων ἀξίᾳ τὸ τῆς φύσεως διάφορον ὁρισθήσεται.

[04990] ΑΛΛΟ, ὅτι καὶ ἐπὶ τοῦ Πατρὸς εὑρίσκεται τὸ, ἐγένετο.

[04991] Ὁ Ψαλμῳδὸς λέγει·

[04992] Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν·

[04993] καὶ πάλιν, Ἐγένετό μοι εἰς σωτηρίαν.

[04994] Εἰ δὲ ἐπὶ τοῦ Υἱοῦ καὶ ταῦτα φήσουσιν εἰρῆσθαι, καὶ ἄκοντες αὐτῷ μαρτυρήσουσιν ὅτι τοῖς κτίσμασιν οὐκ ἔστιν ὁμοφυὴς, ὁ τοὺς ἁγίους διασώζων, καταφυγή τε αὐτοῖς καὶ σκέπη φαινόμενος.

[04995] Καὶ τοῦτο γὰρ ἔσται μόνῳ πρέπον Θεῷ.

[04996] ΑΛΛΟ, εἰς τὸ, Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅτι τὸ γενόμενος, οὐ κατὰ τῆς οὐσίας νοητέον.

[04997] Εἰ τὸ γενόμενος πάντως σημαίνει τινὸς τὴν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάροδον, καὶ ἀεὶ κατὰ [75.356] τῆς οὐσίας ἡ λέξις τάττεται, τίσιν ἔλεγεν ὁ Σωτήρ·

[04998] Γίνεσθε οἰκτίρμονες.

[04999] καθὼς καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν;

[05000] Εἰ μὲν οὖν ὑπῆρχον ἤδη πρὸς οὓς ἦν ὁ λόγος, πῶς ἂν σημαίνοι πάντως τὸ γίνεσθαι τὴν εἰς τὸ εἶναι πάροδον;

[05001] Οὐ γὰρ ἂν δήπου τὸ ἤδη ὂν εἰς τὸ εἶναι φέροιτο, ἀλλὰ τὸ μὴ ὄν.

[05002] Εἰ δὲ κατὰ τῶν ὄντων τὸ γίνεσθαι κείμενον, οὐκ ἀρχήν τινα σημαίνει τῆς ὑπάρξεως τούτων, ἀλλὰ τὴν ἀπό τινος εἴς τι μεταβολὴν, οὐδεὶς ἀναγκάσει λόγος ἐπὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τὸ γενόμενος τῆς ὑπάρξεως εἶναι σημαντικόν.

[05003] ΛΟΓΟΣ ΚΑ.

[05004] Εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου·

[05005] Κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐ τόν·

[05006] τὸ δὲ συναγόμενον, ὅτι οὐ ποίημα οὐδὲ κτίσμα ὁ Υἱός.

[05007] Εἰ ποίημά ἐστιν ὁ Υἱὸς, ἕν τι καὶ αὐτὸν εἶναι τῶν πάντων ἀνάγκη προσομολογεῖν, οὐκ ἔχοντα τῆς θεότητος τὸ ἐξαίρετον, τὸ ἀεὶ εἶναι, φημί.

[05008] Εἰ δὲ τοῦτο ἀληθὲς, πάντα δὲ γέγονε δι' Υἱοῦ, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν, ἑαυτὸν ὁ Λόγος δημιουργεῖ.

[05009] Καὶ πῶς ἂν ἐνδέχοιτο μήπω ὂν, ἑαυτὸ παράγειν εἰς τὸ εἶναι;

[05010] Εἰ δὲ τοῦτο ἀδύνατον, οὐκ ἄρα ἓν τῶν πάντων ἐστὶν ὁ Υἱὸς, ἵνα μὴ τοῖς πᾶσι συναριθμούμενος, ἑαυτοῦ φαίνηται ποίημα.

[05011] ΑΛΛΟ.

[05012] Εἰ ποίημά ἐστιν ὁ Υἱὸς, καλεῖται δὲ καὶ ἔστι σοφία τοῦ Πατρὸς, ὃς πάντα ἐν σοφίᾳ ἐποίησεν, ἑαυτὴν ἡ σοφία ποιεῖ.

[05013] Εἰ δὲ τοῦτο ἄτοπον, οὐκ ἔστι ποίημα ὁ Υἱὸς, τουτέστιν, ἡ σοφία τοῦ Πατρὸς, ἵνα μὴ ἑαυτὴν ἐργάζηται.

[05014] ΑΛΛΟ.

[05015] Εἰ γέγονεν ὁ Υἱὸς, καλεῖται δὲ καὶ ἔστι Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, ἦν ἄρα χρόνος, ἐν ᾧπερ ἦν ἄσοφός τε καὶ ἀδύνατος ὁ Θεὸς, οὐκ ὄντος Υἱοῦ.

[05016] Τὸ γὰρ ποίημα πάντως ἐκ τοῦ μὴ ὄντος γίνεται.

[05017] Σοφὸς δὲ ἦν ἀεὶ καὶ δυνατὸς ὁ Πατήρ.

[05018] Ἦν ἄρα καὶ Υἱὸς ὃς ταῦτά ἐστιν αὐτῷ.

[05019] ΑΛΛΟ.

[05020] Εἰ ποίημά ἐστιν ὁ Υἱὸς, λέγει δὲ ἀληθεύων·

[05021] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα·

[05022] ἐν τῇ κτίσει φαίνεται τοῦ Πατρὸς ἡ εἰκὼν, ἔχουσα τὴν ὁμοίωσιν πρὸς τὸ ἀρχέτυπον.

[05023] Εἰ δὲ τοῦτο, οὐδὲν ἐν τῇ κτίσει καὶ τῷ Θεῷ τὸ διάφορον·

[05024] ἔσται δὲ ποίημα καὶ αὐτός.

[05025] Εἰ δὲ οὐκ ἔστι ποίημα, φαίνεται δὲ ὅλος ἐν Υἱῷ, οὐκ ἄρα ποίημά ἐστιν ὁ Υἱὸς ἡ εἰκὼν τοῦ Πατρός.

[05026] ΑΛΛΟ.

[05027] Εἰ ποίημά ἐστιν ὁ Υἱὸς, τοῦ Πατρὸς οὐ ποιηθέντος, λέγει δὲ περὶ ἑαυτοῦ·

[05028] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα·

[05029] πῶς ἐν τῷ πεποιημένῳ τὸ μὴ ποιηθὲν ἀπαραλλάκτως φανεῖται;

[05030] Καὶ εἰ ποίημα ὢν, [75.357] λέγει·

[05031] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα, τί κωλύσει καὶ ἡμᾶς τῇ αὐτῇ κεχρῆσθαι φωνῇ, εἰ μηδὲν ἕτερον παρ' ἡμᾶς ὁ Υἱὸς, καθὸ ποίημα καὶ αὐτὸς ὥσπερ ἡμεῖς;

[05032] Ἀλλὰ τοῦτο ἄτοπον·

[05033] οὐ γὰρ ἐν ποιήματι τοῦ μὴ ποιηθέντος ἡ ὁμοιότης.

[05034] Οὐκ ἄρα ποίημα ὁ Υἱὸς ἡ τοῦ Πατρὸς ἀπαράλλακτος εἰκών.

[05035] ΑΛΛΟ.

[05036] Εἰ ποίημά ἐστιν ὁ Υἱὸς, λέγει δὲ ἀληθεύων, ὅτι Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν·

[05037] οὐδὲν ἄρα περιττὸν ἐν Θεῷ καὶ κτίσμασιν, εἰ πάντα πρόσεστιν αὐτοῖς ὅσα καὶ τῷ Πατρί.

[05038] Εἰ δὲ τοῦτο ἄτοπον (πολὺ γὰρ τὸ Θεῖον τῶν ποιημάτων ἀπῴκισται), οὐκ ἄρα ποίημά ἐστιν ὁ Υἱὸς, ᾧ πάντα πρόσεστι φυσικῶς τὰ τοῦ Πατρὸς ἴδια καὶ ἐξαίρετα.

[05039] ΑΛΛΟ.

[05040] Εἰ ποίημά ἐστιν ὁ Υἱὸς, μὴ καλείσθω Πατὴρ αὐτοῦ ὁ Θεὸς, ἀλλὰ μᾶλλον ποιητὴς ἢ δημιουργός.

[05041] Υἱὸς γὰρ δεικνύει πατέρα, καὶ ποίημα τὸν δημιουργόν.

[05042] Εἰ δὲ Πατὴρ καλεῖται καὶ ἔστι Θεὸς, οὐκ ἄρα ποίημα ὁ Υἱὸς, ἀλλὰ γέννημα, οὐχ ὡς ποιητὴν τὸν Θεὸν, ἀλλ' ὡς Πατέρα δηλοῦν.

[05043] ΑΛΛΟ.

[05044] Εἰ ποίημά ἐστιν ὁ Υἱὸς, μὴ καλείσθω Λόγος, μὴ σοφία, μὴ δύναμις, μὴ ἀπαύγασμα, ἢ ταῦτα κοινὰ καὶ τοῖς ἄλλοις ἔσται ποιήμασιν, εἴπερ ὅλως κεχώρηκεν αὐτὰ φορεῖν ποίημα ὢν καθ' ὑμᾶς ὁ Υἱός.

[05045] Κἂν γάρ τι πλέον τῶν ἄλλων αὐτὸν ἔχειν λέγητε ποιημάτων, ἀλλ' ἔσται πάλιν οὐδὲν ἧττον ποίημα.

[05046] Εἰ δὲ ἐπὶ μὲν τῶν ἄλλων οὐδενὸς τὰ τοιαῦτα λέγεται, μόνῳ δὲ πρέπειν τῷ Υἱῷ ἐπαληθεύεται, οὐκ ἄρα ἓν τῶν ποιημάτων ἐστὶν, ἀλλὰ καρπὸς τῆς οὐσίας τοῦ Πατρός.

[05047] ΑΛΛΟ.

[05048] Εἰ πάντα δι' Υἱοῦ γεγενῆσθαί φησιν ἡ θεία Γραφὴ, ποίημα δέ τις καὶ οὐχ Υἱὸν ὁμολογεῖ τὸν Λόγον, Υἱὸν οὐκ ἔχει Θεός.

[05049] Εἰ δὲ τοῦτο ἀληθὲς, πῶς ἔσται ποιητὴς, οὐκ ἔχων δι' οὗ τὰ πάντα ἐργάζεται;

[05050] Ἀλλ' ἐργάζεται καὶ δημιουργεῖ τὰ πάντα Θεός·

[05051] ἔστιν ἄρα καὶ ὁ Υἱὸς δι' οὗ τὰ πάντα, τὸ εἶναι ποίημα διαφεύγων ὡς Θεός.

[05052] ΑΛΛΟ.

[05053] Ὡς ἐξ ἀντιθέσεως τῶν δι' ἐναντίας.

[05054] Βουλήσει, φασὶν, ὁ Πατὴρ τὸν Υἱὸν ὑποστήσας, οὕτως αὐτὸν ἐποίησε καὶ δημιουργόν.

[05055] Ἀπὸ δὲ τῆς οὐσίας τοῦ Πατρὸς οὔ φαμεν ὑπάρχειν αὐτὸν, ἵνα μὴ τομή τις καὶ ἀπόῤῥοια νοῆται περὶ τὴν ἄφραστον ἐκείνην οὐσίαν.

[05056] Πρὸς τοῦτο λύσις.

[05057] Ἀλλ' ἔστι ταῦτα λῆρος καὶ φλυαρία πολλή.

[05058] Ἀπόῤῥοια μὲν γὰρ καὶ τομὴ, καὶ ὅσα τοιαῦτα πάθη, νοείσθω [75.360] περὶ τὰ σώματα, οἷς καὶ τὸ πάσχειν οἰκεῖον·

[05059] ὁ δὲ τὸ εἶναι σῶμα διαφυγὼν, καὶ τὰ σωμάτων διαφεύξεται πάθη.

[05060] Τίκτει τοιγαροῦν ἀμερίστως καὶ ἀπαθῶς ὁ ἀσώματος.

[05061] Ποῖον γὰρ πάθος περὶ τὸν ἥλιον ὁρᾶται γινόμενον, ὅτε τίκτει τὸ φῶς;

[05062] Ποῖος συμβαίνει περὶ τὸ πῦρ μερισμὸς, ὅταν ἐκπέμπη τὸν ἐξ ἑαυτοῦ φωτισμόν;

[05063] Εἰ δὲ ταῦτα γεννᾷ μὲν ἀμερίστως, ἐκπέμπει δὲ τὰ ἐξ ἑαυτῶν ἀπαθῶς, πῶς οὐ πολλῷ μᾶλλον ὁ τούτων ποιητὴς τῆς ἑαυτοῦ φύσεως ἐκπέμψει τὸ ἀπαύγασμα;

[05064] Πότε χαρακτὴρ εἰκόνος χωρίζεται;

[05065] Ἀεὶ γὰρ αὐτῇ συμπέφυκέ τε καὶ ἐνυπάρχει.

[05066] Εἰ δὲ κατ' ἐκείνους ξηρὰ καὶ ἄκαρπός ἐστιν ἡ τοῦ Θεοῦ φύσις, τίς ἡ ἐξ αὐτοῦ προελθοῦσα βούλησις ἐνεργὴς, ἣ καὶ τὸν Υἱὸν κατ' ἐκείνους ὑπέστησε, δημιουργική τις οὖσα καὶ τῶν οὐκ ὄντων ποιητική;

[05067] Φεύγοντες γὰρ τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς γεγεννῆσθαι λέγειν τὸν δημιουργὸν αὐτοῦ Λόγον, ἐκ τῆς ἀληθείας εἰς αὐτὸ συνελαύνονται.

[05068] Ἔστι γὰρ Υἱὸς ἡ ζῶσα καὶ ἐνούσιος τοῦ Πατρὸς βούλησις, καὶ ὁ Λόγος αὐτοῦ, δι' οὗ τὰ πάντα ἐργάζεται.

[05069] Ἐπιτήρησις ἀπὸ τῆς θείας Γραφῆς, ὅτι καὶ ἐπὶ τῶν φύσει υἱῶν, τὸ ἐγένοντο ἢ καὶ ἐποιή θησαν κεῖται ἀδιαφόρως.

[05070] Οὐδὲν αἱ λέξεις ἀδικοῦσιν, ὅταν ἑτέρως ἔχῃ τὰ πράγματα.

[05071] Ἐπὶ γὰρ τῶν φύσει υἱῶν, κἂν τὸ τῆς δουλείας ὄνομα τάττηται, οὐ παραιτεῖται τῆς φυσικῆς εὐγενείας τὸ ἀξίωμα.

[05072] Κἂν ὁ γεννηθεὶς πεποιῆσθαι λέγηται, ἕως ἂν αὐτῷ περισώζηται τὸ ἀληθέστερον, οὐδὲν ἀπὸ τῆς λέξεως ὑπομένει τὸ ἀδίκημα.

[05073] Ἡ γὰρ φύσις, οὐ πάντως ἡ λέξις ἐξετάζεται.

[05074] Ὅταν τοίνυν ἐπὶ τοῦ γεννηθέντος Θεοῦ Λόγου φέρηται τὸ, Πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸ, μὴ συκοφαντείσθω τὸ γνήσιον τῆς ὑπάρξεως αὐτοῦ, ἀλλ' ἢ νοείσθω περὶ τὸν τῆς ἐνανθρωπήσεως λόγον, ἢ μηδὲν ἀδικείτω τὴν ἀλήθειαν τὸ τῆς λέξεως ἀδιάφορον.

[05075] Βηρσαβεὲ τὸν Σολομῶνα δοῦλον ἐκάλει τοῦ Δαβὶδ, λέγουσα·

[05076] Τὸν δοῦλόν σου Σολομῶνα.

[05077] Καὶ πατέρες πολλάκις τοὺς ἐξ ἑαυτῶν γεννηθέντας δούλους ἀποκαλοῦσι, καὶ τοὺς οἰκέτας υἱούς.

[05078] Ἀλλ' οὐχ αἱ λέξεις τὴν φύσιν ἀλλάττουσι, μᾶλλον δὲ τὴν ἐξουσίαν τῶν οὕτω βουλομένων ἀποκαλεῖν ἐπιδεικνύουσιν.

[05079] Ὅτι δὲ καὶ ἐπὶ τῶν γεννωμένων εὑρίσκεται τὸ ἐποίησε, δῆλον ἐντεῦθεν.

[05080] Ὁ μὲν γὰρ Ἐζεχίας φησίν·

[05081] Ἀπὸ γὰρ τῆς σήμερον παιδία ποιήσω.

[05082] Περὶ δὲ τοῦ Ἰὼβ γέγραπται, ὅτι Ἐγένοντο αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς.

[05083] Εἰ τοίνυν ἐπ' ἀνθρώπων οὐ ταῖς ἀκριβείαις τῶν λέξεων, ἀλλὰ τῇ φύσει τῶν πραγμάτων ἐνορῶντες ἐκδεχόμεθα τὸ λαλούμενον·

[05084] πῶς οὐκ ἀναγκαίως τὸν αὐτὸν διακεισόμεθα τρόπον ἐπὶ τοῦ θείου γεννήματος;

[05085] ΑΛΛΟ.

[05086] Τὸ υἱὸς ὄνομα τὴν ἐκ πατρὸς σημαίνει γέννησιν·

[05087] τὸ δὲ ποίημα, τὸ ἔξωθεν συνιστάμενον.

[05088] Εἰ τοίνυν Υἱός ἐστι, μὴ καλείσθω ποίημα·

[05089] εἰ ποίημά ἐστι, μὴ [75.361] καλείσθω ψευδώνυμος Υἱός.

[05090] Ἀλλ' Υἱὸς καλεῖται καὶ ἔστιν·

[05091] οὐκοῦν οὐ ποίημα.

[05092] ΑΛΛΟ, λόγος πιθανὸς δεικνύων, ὅτι οὐ ποίημά ἐστιν ὁ Υἱός.

[05093] Εἴρηκέ που Σολομῶν ὁ σοφώτατος, ὅτι Σύμπαν τὸ ποίημα ἄξει ὁ Θεὸς εἰς κρίσιν.

[05094] Εἰ τοίνυν ἓν τῶν ποιημάτων ἐστὶν ὁ Υἱὸς, ἀχθήσεται καὶ αὐτὸς εἰς κρίσιν.

[05095] Καὶ πῶς ἀληθεύσει λέγων περὶ ἑαυτοῦ, ὅτι Ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ πᾶσαν τὴν κρίσιν δέδωκε τῷ Υἱῷ;

[05096] Ἢ πῶς ὁ Δανιὴλ οὐ ψεύσεται λέγων ὅτι αὐτῷ ἐδόθη ἡ κρίσις;

[05097] Ἀληθεύει δέ·

[05098] αὐτὸς γάρ ἐστιν ὁ ἐρχόμενος κρῖναι ζῶντας καὶ νεκρούς.

[05099] Οὐκοῦν οὐ ποίημα, οὐδὲ τῶν πάντων ἓν, ἵνα μὴ ἄγηται καὶ αὐτὸς εἰς κρίσιν.

[05100] ΑΛΛΟ, διηγηματικῶς εἰς τὸ, Κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν·

[05101] καὶ ἑξῆς ἡ διάνοια τοῦ ῥητοῦ.

[05102] Οὐ τὴν τοῦ Λόγου φύσιν ἐξηγούμενος ὁ Ἀπόστολος, τοιαῦτά φησιν, ἀλλὰ τὴν μετὰ σαρκὸς οἰκονομίαν.

[05103] Πότε γὰρ γέγονεν ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν;

[05104] Πότε δὲ ἀπόστολος;

[05105] Πότε δὲ πιστὸς τῷ ποιήσαντι αὐτόν;

[05106] Ἢ ὅτε δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν γέγονεν ἄνθρωπος, καὶ κατὰ τὴν Ἰωάννου φωνὴν, Ὁ Λόγος σὰρξ ἐγένετο.

[05107] Τότε τῷ ποιήσαντι αὐτὸν, ὡς ἄνθρωπος, καὶ πιστὸς ἐγένετο πληρῶν αὐτοῦ τὸ ἔργον, καθάπερ αὐτὸς ἔλεγε·

[05108] τότε γέγονεν ἀπόστολος ὑπὲρ ἡμῶν καὶ δι' ἡμᾶς ἀποσταλείς·

[05109] τότε γέγονε τῆς ὁμολογίας ἡμῶν ἀρχιερεὺς, προσφέρων τῆς πίστεως ἡμῶν τὴν ὁμολογίαν τῷ Πατρὶ, καὶ τὸ ἴδιον σῶμα, καθάπερ τι θῦμα προσάγων ἄμωμον, ἵνα πάντας ἡμᾶς δι' αὐτοῦ καθαρίσῃ.

[05110] Ἂν τοίνυν λέγηται περὶ Υἱοῦ ὅτι γέγονε πιστὸς, ὅτι γέγονεν ἀπόστολος, γέγονεν ἀρχιερεὺς, μὴ κατὰ τῆς οὐσίας αὐτοῦ φερέσθω τὸ ῥῆμα, ἀλλὰ κατὰ τῆς τῶν πραγμάτων ποιότητος.

[05111] Ἐπειδὴ καὶ Παῦλος, ἄνθρωπος ὢν καὶ ὑπάρχων ἤδη, γέγονεν ἀπόστολος, καὶ Μωσῆς ὡσαύτως γέγονε πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ Ἀαρὼν ὡσαύτως γέγονεν ἀρχιερεὺς ἐν ἑαυτῷ καὶ πάλαι τὸν Σωτῆρα μορφῶν.

[05112] Ὅνπερ γὰρ τρόπον ὁ Ἀαρὼν οὐκ ἐγεννήθη μὲν ἀρχιερεὺς, πολλοῖς δὲ ὕστερον χρόνοις τοῦτο γέγονε, τὸν ποδήρη περιβαλόμενος, καὶ τὴν ἐπωμίδα, καὶ τὰ ἄλλα τῆς ἱερατικῆς ἐσθῆτος σχήματα, ἅπερ ἦν ἔργα γυναικῶν·

[05113] τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ Χριστοῦ.

[05114] Ἦν μὲν γὰρ ὁ Λόγος ἐν ἀρχῇ, πολλῷ δὲ ὕστερον χρόνῳ γέγονεν ὑπὲρ ἡμῶν ἀρχιερεὺς, ὥσπερ τινὰ ποδήρη τὸν ἐκ γυναικὸς ἄνθρωπον ἤτοι ναὸν ἀναλαβών·

[05115] ἵνα τῷ ἰδίῳ αἵματι καθαρίσῃ τὸν λαὸν, ἑαυτὸν προσενεγκὼν ὡς ἀμνὸν ἄμωμον τῷ Θεῷ·

[05116] Οὐ γὰρ ἐποίησεν ἁμαρτίαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.

[05117] Ὅτι οὐδὲν ἕτερον σημαίνειν βούλεται τὸ πιστὸς, ἢ ὅτι ἀληθινὸς καὶ ἀναλλοίωτος.

[05118] Πιστὸς ὁ Σωτὴρ καλεῖται δικαίως, μίαν ὑπὲρ πάντων θυσίαν προσενεγκὼν, τὴν αὐτὴν ἀεὶ καὶ οὐκ [75.364] ἀλλαττομένην.

[05119] Ἅπαξ γὰρ ἀποθανὼν ὑπὲρ ἡμῶν·

[05120] οὐκ ὄψεται θάνατον ἐκ δευτέρου.

[05121] Καὶ πάλιν ὁ Ἀπόστολος ἐπιστέλλων τισὶ λέγει·

[05122] Πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ.

[05123] Πέτρος ὁμοίως·

[05124] Ὥστε καὶ οἱ πάσχοντες πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ψυχὰς αὐτῶν.

[05125] Ὁ Ἀπόστολος Θεσσαλονικεῦσι·

[05126] Πιστὸς ὁ καλῶν ἡμᾶς, ὃς καὶ ποιήσει.

[05127] Καὶ ὁμοίως πρὸς ἑτέρους·

[05128] Εἰ ἀπιστήσομεν, ἐκεῖνος πιστὸς μένει.

[05129] Ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται.

[05130] Πιστὸς οὖν ὁ Χριστὸς, ὅτι καὶ ἄνθρωπος γεγονὼς, ἔμεινεν ὁ αὐτὸς, χθὲς, καὶ σήμερον, καὶ εἰς τοὺς αἰῶνας·

[05131] καὶ πιστὸς οὕτως, ὡς καὶ ὁ Πατὴρ εἶναι λέγεται πιστὸς παρὰ ταῖς θείαις Γραφαῖς.

[05132] Εἰς τὸ, Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ, ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ Θεὸς τοῦτον Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε.

[05133] Χρὴ πάλιν ἐνθάδε τὸ, ἐποίησε, μὴ εἰς τὴν οὐσίαν ἀναφέρειν τοῦ Λόγου, μηδὲ τῆς ὑπάρξεως τοῦ Υἱοῦ διὰ τὴν λέξιν καταθρασύνεσθαι.

[05134] Ἀλλὰ τὸ, ἐποίησεν, εἰ μὲν φυσικῶς ἐθέλοις, ἐκλήψῃ καλῶς ἐπὶ τοῦ ἐκ Μαρίας ποιηθέντος ναοῦ·

[05135] εἰ δὲ πραγματικῶς πάλιν, οὐδὲν πρὸς τὸν Λόγον, οἷον φέρε εἰπεῖν·

[05136] Πένης τις πάλαι τυγχάνων, χρημάτων γέγονε κύριος·

[05137] ἢ προφήτης οὐκ ὢν ἐξ ἀρχῆς, εἰς προφήτην προεχειρίσθη παρὰ Θεοῦ.

[05138] Ἀλλ' ἐν τοῖς τοιούτοις τὸ ἐγένετο, οὐ τὴν ἀρχὴν τοῦ εἶναι σημαίνει, ἀλλ' εἰς ποῖόν τι πρᾶγμα καὶ ἀπὸ τίνος ἑτέρου μετέστη τὸ σημαινόμενον.

[05139] Πῶς οὖν Κύριον ἐποίησε τὸν Ἰησοῦν ὁ Θεὸς, πῶς δὲ Χριστὸν, ἀναγκαῖον ζητεῖν εὐσεβῶς.

[05140] Ἐπειδὴ γὰρ Θεὸς Λόγος ὢν καὶ πάντων ὑπάρχων Δεσπότης, ἐνανθρωπήσας γέγονεν ἐν τῇ τοῦ δούλου μορφῇ, χρίεται μὲν, ἢ κεχρίσθαι λέγεται διὰ τὸ ἀνθρώπῳ πρέπον.

[05141] Ἀναβαίνει δὲ εἰς τὴν τῆς κυριότητος ἐξουσίαν πάλιν ὡς ἄνθρωπος, καίτοι Κύριος ὢν ὡς Θεός.

[05142] Ἐπεδήμησε γὰρ ὁ τοῦ Θεοῦ Λόγος, οὐχ ἵνα τὴν ἐλευθέραν τοῦ Θεοῦ φύσιν τῇ τοῦ δούλου καταχώσῃ μορφῇ, οὐδὲ ἵνα τὸ οἰκεῖον ἀφεὶς, τοῖς τῆς ἀνθρωπότητος ἰδιώμασι κρατηθῇ·

[05143] ἀλλ' ἵνα τὸ δοῦλον εἰς τὴν τῆς κυριότητος ἀναρπάσῃ τιμὴν, καὶ εἰς τὴν οἰκείαν εὐγένειαν μετασκευάσῃ τὸ ἠτιμωμένον.

[05144] Ἐπεὶ πῶς ἀδελφοὶ καλούμεθα Χριστοῦ, πῶς δὲ υἱοὶ χρηματίζομεν, εἰ μηδὲν ἡμᾶς ὠφέλησεν ἄνθρωπος γεγονὼς ὁ τοῦ Θεοῦ Λόγος;

[05145] Ἐὰν δὲ λεγούσης ἀκούσῃς τῆς θείας Γραφῆς ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ Θεὸς, καὶ τὴν τοῦ Θεοῦ προσηγορίαν εἰς τὸ τοῦ Πατρὸς πρόσωπον ἀναφέρῃς, συνομολογεῖς μὲν καὶ οὕτως ὅτι τοῖς θελήμασι τοῦ Υἱοῦ συνευδοκεῖ καὶ ὁ Πατήρ.

[05146] Καὶ Κύριον οἶδεν αὐτὸν καὶ ὅτε γέγονεν ἐν τῇ τοῦ δούλου μορφῇ·

[05147] οὐκ ἔξω δὲ ὅμως οὐδὲ τοῦ ταῦτα ποιεῖν ὁ Υἱὸς εὑρεθήσεται.

[05148] Ἃ γὰρ ἂν ἐργάζηται ὁ Πατὴρ, ταῦτα πάντως ἐστὶν ἔργα τοῦ Υἱοῦ, καὶ ἅπερ ἂν ὁ Υἱὸς ἐπιτελῇ, ταῦτα πάντως ὁ Πατὴρ ἐργάζεται.

[05149] Διὰ τοῦτό φησιν ὁ Σωτήρ·

[05150] Ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν·

[05151] ὁ δὲ Πατὴρ ἐν ἐμοὶ [75.365] μένων, ποιεῖ τὰ ἔργα αὐτός.

[05152] Γίνεται τοίνυν Κύριος καὶ Χριστὸς, ὅτε καὶ ἄνθρωπος γεγονὼς, καὶ διὰ τοῦτο χρηματίσας δοῦλος, ἐκλήθη καὶ Ἰησοῦς.

[05153] Οὐ γὰρ ἀπαρατηρήτως ὁ ἅγιος ἔφη μαθητής·

[05154] Κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ Θεός·

[05155] ἀλλὰ προσέθηκεν, ὅτι Τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε.

[05156] Χρὴ δὲ πάλιν εἰς τὴν τῶν γεγραμμένων ἀκρίβειαν ἐφορᾷν.

[05157] Οὐ γὰρ εἶπεν ὅτι πεποίηκεν ἑαυτῷ Λόγον ἢ Υἱὸν, ἀλλὰ Κύριον καὶ Χριστὸν, ὅπερ οὐκ ἀρχὴν σημαίνει τοῦ εἶναι, ἀλλὰ τὴν ἀπό τινος εἰς ἕτερόν τι μετάστασιν.

[05158] Ὅπως δὲ γέγονε Κύριος ἢ Χριστὸς, ἐν τοῖς ἀνωτέρω προείρηται.

[05159] Ἄλλως τὸ αὐτό.

[05160] Κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ Θεὸς, οὐκ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγων·

[05161] ἦν γὰρ ἀεὶ καὶ πρὸ τῆς σαρκώσεως ὁ τοῦ Θεοῦ Λόγος, καὶ οὐκ ἄν τις εὖ φρονῶν τὸ ἐποίησεν ἐνθάδε κατὰ τῆς οὐσίας ἐκλάβοι, ἵνα μὴ ἀσεβεῖν ἀναγκάζηται·

[05162] τότε πρῶτον διδοὺς ὑπάρξαι τὸν τοῦ Θεοῦ Λόγον, ὅτε γέγονεν ἄνθρωπος·

[05163] ἀλλὰ τὸ ἐποίησεν, ἀντὶ τοῦ, ἀπέδειξε, νοητέον.

[05164] Οὕτω καὶ αὐτὸς ὁ Πέτρος τοῖς Ἰουδαίοις προσδιαλεγόμενος ἔφασκεν·

[05165] Ἰησοῦν τὸν Ναζωραῖον ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις, καθὼς αὐτοὶ οἴδατε.

[05166] Οὐκοῦν διὰ τῶν ἔργων δεικνύων ἐνυπάρχον αὐτῷ τοῦ Πατρὸς τὸ ἀξίωμα, Κύριος γίνεται τῶν πιστευσάντων εἰς αὐτόν·

[05167] ἀναδείκνυται δὲ ὅτι καὶ αὐτός ἐστιν ὁ Χριστός.

[05168] Διὰ γὰρ τοῦτο τοῖς Ἰουδαίοις ἀπειθοῦσιν ἔλεγε·

[05169] Κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις μου πιστεύσατε, ἵνα γνῶτε ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί·

[05170] καὶ πάλιν·

[05171] Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι.

[05172] Εἰ δὲ διὰ τοῦ δύνασθαι ποιεῖν τὰ ἔργα τοῦ Πατρὸς καὶ ἔχειν ἐν ἑαυτῷ τὸν Πατέρα, εἶναί τε ὁμοίως ἐν Πατρὶ, Θεὸς ὢν ἀληθινὸς ἀναδείκνυται, κατὰ τοῦτο γέγονε τῶν εἰς αὐτὸν πιστευσάντων Κύριος, ἐφάνη δὲ καὶ αὐτὸς ὢν ὁ Χριστός·

[05173] εἰ δὲ παρὰ Θεοῦ πεποιῆσθαι Κύριος λέγεται, καὶ τοῦτο ἔχει καλῶς.

[05174] Ἐπιγινωσκόμενος γὰρ διὰ τῶν ἔργων γνήσιόν τε καὶ ἀληθινὸν τοῦ Θεοῦ γέννημα, κυριεύει τῶν ἀπειθούντων πάλαι, τῷ τε οἰκείῳ ἀξιώματι καὶ τῇ ἐκ Πατρὸς εὐγενείᾳ μαρτυρούμενος ὡς Θεός.

[05175] Ἐπειδὴ γὰρ ὅλως ἐγνώσθη Θεοῦ ὑπάρχων Υἱὸς, γέγονε καὶ Κύριος, οὐ τότε πρῶτον τοῦ εἶναι Κύριος ἀρξάμενος (ἦν γὰρ ἀεὶ καὶ Θεὸς καὶ Κύριος), ἀλλ' ὅτε παρὰ τοῖς πεπιστευκόσιν ἐγνώσθη, τότε γεγονὼς καὶ ἐπ' αὐτοὺς Κύριος.

[05176] Ἀπόδειξις ἀπὸ τῆς θείας Γραφῆς, ὅτι ὁ Λόγος ἦν ἀεὶ Κύριος καὶ βασιλεύς.

[05177] Ὁ Ἀβραὰμ αὐτὸν προσεκύνει, Κύριον ἀποκαλῶν.

[05178] Ὁ Μωσῆς ὁμοίως φησί·

[05179] Καὶ Κύριος ἔβρεξε παρὰ Κυρίου πῦρ καὶ θεῖον ἐπὶ Σόδομα καὶ Γόμοῤῥα.

[05180] Ὁ Ψαλμῳδὸς πάλιν·

[05181] Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου·

[05182] Κάθου ἐκ δεξιῶν μου.

[05183] Καὶ πάλιν·

[05184] Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

[05185] Διὰ τοῦτο ἔχρισέ σε·

[05186] ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς [75.368] βασιλείας σου.

[05187] Καὶ πάλιν·

[05188] Ἡ βασιλεία σου, βασιλεία πάντων τῶν αἰώνων.

[05189] Εἰ τοίνυν καὶ πρὸ τῆς σαρκώσεως βασιλεύς τε καὶ Κύριος ἦν ὁ τοῦ Θεοῦ Λόγος, πῶς οὐκ ἄν τις ἔνοχος εἴη τοῖς τῆς δυσφημίας ἐγκλήμασι, κατὰ τῆς οὐσίας αὐτοῦ φέρων τὸ πεποιῆσθαι;

[05190] Γέγονε γὰρ ἡμῶν Κύριος τῶν ἐπεγνωκότων τὸν ἑαυτῶν Δεσπότην, ὅτε τῷ οἰκείῳ αἵματι πάντας ἀγοράσας, ἀνεδείχθη Χριστὸς καὶ Κύριος.

[05191] Ἄλλως τὸ αὐτὸ, ἐκ τῶν καθ' ἡμᾶς ἔχον τὸ ὑπόδειγμα.

[05192] Εἰ ἐπ' ἀνθρώπου λέγοιτο τυχόν·

[05193] Γέγονεν ὅδε τοῦδε τοῦ κτήματος κύριος, τίς οὕτως ἂν εἴη ληρῶν, ὡς τότε τὴν οὐσίαν αὐτοῦ πεποιῆσθαι νομίζειν, ὅτε καὶ κύριος ἐδείχθη τινός;

[05194] Γέγονε γὰρ οὐκ αὐτὸς εἰς σύστασιν τοῦ εἶναι τότε προελθὼν, ἀλλ' ὑφ' ἑαυτῷ τι ποιησάμενος.

[05195] Οὕτω μοι νόει καὶ ἐπὶ Χριστοῦ.

[05196] Ἐδουλεύομεν πάλαι τοῖς μὴ οὖσι θεοῖς·

[05197] ὑπεκείμεθα τῇ φθορᾷ·

[05198] ἀλλὰ γέγονεν ἄνθρωπος ὁ τοῦ Θεοῦ Λόγος εὐδοκήσαντος τοῦ Πατρὸς, ἵνα τῆς πλάνης ἡμᾶς ἀπαλλάξας γένηται πάντων Κύριος.

[05199] Ἔχρισε δὲ αὐτὸν ὁ Πατὴρ, ἵνα δι' αὐτοῦ φθάσῃ καὶ εἰς ἡμᾶς ἡ τοῦ χρίσαντος δύναμις.

[05200] Γέγονε γὰρ ἐν πρώτῳ Χριστῷ τὰ τῆς φύσεως ἡμῶν ἀγαθὰ, καὶ ἀπαρχὴ τῶν θείων ἡμῖν χαρισμάτων ἐν αὐτῷ καὶ δι' αὐτοῦ ὡς ἀνθρώπῳ καὶ παρὰ Θεοῦ·

[05201] Θεὸς γὰρ ἦν ἐν σαρκί.

[05202] Ἄλλως τὸ αὐτό.

[05203] Ψάλλει που καί φησιν ὁ μακάριος Δαβίδ·

[05204] Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν·

[05205] καὶ πάλιν·

[05206] Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι.

[05207] Ἀλλ' ἐν τούτοις, οὐκ ἄν τις εἴποι τότε πρὸς οὐσίαν κεκλῆσθαι τὸν Θεὸν, ὅτε τῷ πένητι γέγονε καταφυγή.

[05208] Ἀεὶ γὰρ ὢν τοῦτο καὶ σώζων τοὺς ἀδικουμένους, γέγονε τῷ μὲν Δαβὶδ εἰς Θεὸν ὑπερασπιστὴν, τῷ δὲ πένητι καταφυγή.

[05209] Ὥσπερ οὖν ὅπερ ἦν ἀεὶ, τοῦτο γίνεται πάλιν τῷ αἰτοῦντι καὶ προσευχομένῳ·

[05210] οὕτω καὶ ὁ Χριστὸς, Κύριος ὢν ἀεὶ καὶ βασιλεὺς ὡς Θεὸς, γέγονε καὶ ἐν ἡμῖν Κύριος, ὅτε τοῦ συνέχοντος ἡμᾶς διαβόλου τὴν τυραννίδα μισήσαντες, ἐβοήσαμεν πρὸς τὸν Πατέρα·

[05211] Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου.

[05212] Θεῷ δὲ τὸ ἔργον ἀνατίθησιν ἡ θεία Γραφή.

[05213] Πάντα γὰρ ὅσα τὴν ἀνθρώπου φύσιν ἐξάλλεται, ταῦτα δικαίως ἔργα καλεῖται Θεοῦ.

[05214] ΛΟΓΟΣ ΚΒʹ.

[05215] Εἰς τὸ, Περὶ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας, οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, οὐδὲ ὁ Υἱὸς, εἰ μὴ ὁ Πατὴρ μόνος.

[05216] Ἀντίθεσις ἐκ τῶν Χριστομάχων.

[05217] Καὶ πῶς, φασὶν, ἔσται κατ' οὐσίαν ὅμοιος ὁ Υἱὸς τῷ Πατρὶ, λέγων μὴ εἰδέναι τὴν ἡμέραν τῆς συντελείας τοῦ αἰῶνος·

[05218] καίτοι τοῦ Πατρὸς εἰδότος, ὥς φησιν αὐτός;Πολὺ γὰρ ἐν τούτῳ τὸ ἀνόμοιον φαίνεται, καὶ φυσική τις διάστασις.

[05219] Πρὸς τοῦτο λύσις.

[05220] Εἰ αὐτός ἐστι ποιητὴς αἰώνων, καὶ χρόνων, καὶ και [75.369] ρῶν, ἔστι δὲ οὕτως, πῶς ὡς μίαν ἡμέραν καὶ ὥραν ἀγνοήσας παρ' ὑμῖν κρίνεται;

[05221] Πῶς δὲ ἅπερ αὐτὸς ἐποίησε, μὴ εἰδέναι δύναται;

[05222] Ἔστι τοίνυν ἐξετάσαι τὰ εἰρημένα παρ' αὐτοῦ πρὸς τοὺς μαθητάς.

[05223] Καὶ σαφῶς ἔστιν ἐντεῦθεν ἰδεῖν, ὅτιπερ οἶδεν καὶ τὴν ἡμέραν καὶ τὴν ὥραν ὡς Θεὸς, κἂν ἀποδεικνύων ἐν ἑαυτῷ τὸ ἀνθρώπινον, μὴ εἰδέναι λέγῃ.

[05224] Εἰ γὰρ τὰ ἐσόμενα πάντα πρὸ τῆς ἡμέρας καὶ τῆς ὥρας ἐκείνης διηγεῖται σαφῶς, καί φησιν·

[05225] Ἔσται μὲν τόδε, συμβήσεται δὲ ἐκεῖνο, εἶτα τὸ τέλος·

[05226] δῆλον ὅτι τὰ πρὸ αὐτῆς εἰδὼς, καὶ αὐτὴν ἐπίσταται.

[05227] Μετὰ γὰρ τὰ εἰρημένα παρ' αὐτοῦ, τίθησιν, ὅτι Τὸ τέλος ἐστί.

[05228] Τέλος δὲ τί ἂν ἕτερον εἴη ἢ πάντως ἡ ἐσχάτη ἡμέρα, ἣν ἀγνοεῖν ἔφησεν οἰκονομικῶς, ἀποσώζων πάλιν τῇ ἀνθρωπότητι τὴν αὐτῇ πρέπουσαν τάξιν;

[05229] Ἀνθρωπότητος γὰρ ἴδιον τὸ μὴ εἰδέναι τὰ μέλλοντα.

[05230] ΑΛΛΟ, διηγηματικῶς.

[05231] Ἐν ταῖς τοῦ Σωτῆρος φωναῖς ἀνάγκη τὸν χρόνον ἐξετάζεσθαι, καθ' ὃν εἴρηται παρ' αὐτοῦ·

[05232] οὕτω γὰρ τὸ πλανᾶσθαι διαφευξόμεθα.

[05233] Εἰ μὲν οὖν πρὸ τῆς ἐνανθρωπήσεως ὁ τοῦ Θεοῦ Λόγος εὑρίσκεταί που ταπεινόν τι περὶ ἑαυτοῦ λαλήσας, ἀπτέσθω τῆς θεότητος αὐτοῦ, καὶ φερέσθω κατ' ἐκείνης τὰ ῥήματα.

[05234] Εἰ δὲ ὅτε γέγονε σὰρξ, ἀνθρωπίναις ἐχρήσατο φωναῖς, ἵν' ὄντως ἑαυτὸν καὶ ἄνθρωπον ὄντα δείξῃ, πῶς οὐκ ἀκόλουθον εἰς τὴν ἀνθρωπότητα φέρειν τὰ ἀνθρωπίνως εἰρημένα;

[05235] Τοῦτο γάρ ἐστιν ἀποδέχεσθαι τῆς οἰκονομίας τὸν τρόπον.

[05236] Εἰ μὲν γὰρ οὐ γέγονεν ἄνθρωπος, λαλείτω πάντα ὡς Θεός·

[05237] εἰ δὲ γέγονεν ἄνθρωπος, συγχωρείσθω λαλεῖν καθὼς ἄνθρωπος, οὐδὲν αὐτὸν ἀδικούσης εἰς τὸν τῆς θεότητος λόγον τῆς καθ' ἡμᾶς οἰκονομίας.

[05238] Τοῦτο γὰρ ἔσται τὸ παρὰ τοῦ Παύλου εἰρημένον·

[05239] Αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ.

[05240] Ἴδιον μὲν οὖν τοῦ Λόγου, καθὸ Λόγος ἐστὶ, τὸ εἰδέναι τῶν παρ' αὐτοῦ πεποιημένων τὴν ἀρχὴν καὶ τὰ τέλη·

[05241] ἓν δὲ τῶν ποιημάτων ὁ χρόνος, καὶ ὁ ποιήσας αὐτὸν οἶδέ που πάντως καὶ μέχρι τίνος αὐτῷ τὸ συνεστάναι δεδώρηται.

[05242] ΑΛΛΟ.

[05243] Λέγει που πρὸς τὸν ἑαυτοῦ Πατέρα διαλεγόμενος Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν Υἱόν.

[05244] Εἰ τοίνυν οἶδεν ἀκριβῶς τὴν ὥραν, ἣν ἐληλυθέναι λέγει, τί τὸ κωλῦον εἰδέναι κἀκείνην, ἣν ὡς ἄνθρωπος ἀγνοεῖν μέν φησι διὰ τὸ τῇ ἀνθρωπότητι πρέπον, οἶδε δὲ πάντως ὡς Θεός;

[05245] Χρὴ δὲ οὐ διὰ τὴν τοιαύτην φωνὴν κατηγορεῖν τοῦ Θεοῦ Λόγου, καὶ ῥιψοκινδύνως ἄγνοιαν αὐτῷ προσάπτειν τινά·

[05246] ἀλλὰ μᾶλλον θαυμάζειν αὐτοῦ τὴν φιλανθρωπίαν, οὐ παραιτησαμένου διὰ τὴν εἰς ἡμᾶς ἀγάπησιν εἰς τοσαύτην ἑαυτὸν ταπείνωσιν καταγαγεῖν, ὡς πάντα φορέσαι τὰ ἡμῶν, ὧν ἓν ὑπάρχει καὶ ἡ ἄγνοια.

[05247] ΑΛΛΟ.

[05248] Ἐρωτητέον τοὺς χριστομάχους, ὅτου δὴ χάριν ὁ Σωτὴρ ἀγγέλους καὶ Υἱὸν ὀνομάσας, οὐδαμοῦ τοῦ [75.372] Πνεύματος ἐποιήσατο μνήμην;

[05249] Οὐ γὰρ εἴρηκεν·

[05250] Οὐκ οἶδε τὸ Πνεῦμα, ἀλλ' Οὐκ ἴσασιν οἱ ἄγγελοι, οὐδ' οἶδεν ὁ Υἱός·

[05251] καὶ τοῦτο ἀπολελυμένως·

[05252] οὐ γὰρ προστέθεικε, τοῦ Θεοῦ.

[05253] Δῆλον οὖν ὅτι ἀγγέλους μὲν ἔφησεν ἀγνοεῖν ὡς κτίσματα.

[05254] Εἰπεῖν δὲ τοῖς μαθηταῖς οὐ θελήσας, διά τινα λόγον οἰκονομίας ἀπόῤῥητον·

[05255] Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;

[05256] ἵνα μὴ φαίνηται κρύπτων αὐτοὺς, καὶ διὰ τοῦτο λυπήσῃ, καὶ τὸν Υἱὸν ἔφησε μὴ εἰδέναι, ἀνθρωπινώτερον μὲν περὶ ἑαυτοῦ λέγων, ὥσπερ περὶ ἀνθρώπου·

[05257] φυλάττων δὲ ἑαυτῷ τὸ εἰδέναι πάλιν πάντα ὡς Θεός.

[05258] Διὰ γὰρ τοῦτο οὐδὲ τὸ Πνεῦμα ἔφησεν ἀγνοεῖν.

[05259] Εἰ γὰρ τὸ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ, καθὰ γέγραπται, οἶδε δηλονότι πάντα τὰ ἐν αὐτῷ.

[05260] Καὶ εἰ τὸ Πνεῦμα τὸ πάντα εἰδὸς, καὶ τὰ πάντα περιεργάζεσθαι δυνάμενον, παρὰ τοῦ Υἱοῦ λαμβάνει·

[05261] Ἐκεῖνο γὰρ, φησὶν, ἐξ ἐμοῦ λήψεται·

[05262] πῶς ὁ Λόγος ἀγνοεῖ, ὁ τοῦ πάντα εἰδότος Πνεύματος χορηγός;

[05263] ΑΛΛΟ.

[05264] Εἰ πάντα δι' Υἱοῦ ὁ Πατὴρ ἐργάζεται, καθά φησιν ἡ Γραφή·

[05265] χωρὶς γὰρ αὐτοῦ ἐγένετο οὐδὲ ἕν·

[05266] ἓν δὲ τῶν πάντων ἐστὶ καὶ τὸ ὁρισθῆναι τὴν ἡμέραν καὶ τὴν ὥραν καθ' ἣν ὁ κόσμος ἕξει τὸ τέλος·

[05267] ὥρισται δηλονότι καὶ τετύπωται καὶ τοῦτο δι' Υἱοῦ.

[05268] Τὸ δὲ ὁρισθὲν δι' αὐτοῦ, πῶς ἀγνοεῖν δύναται;

[05269] Οὐκοῦν οἶδεν ὡς Θεὸς, κἂν ἀγνοεῖν λέγῃ, καθὸ γέγονε σὰρξ, καὶ τὰ ἀνθρώπῳ πρέποντα φρονῇ.

[05270] ΑΛΛΟ.

[05271] Εἰ πάντα ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ ἐστι, καθά φησιν αὐτὸς, ἔχει δὲ ὁ Πατὴρ τὴν γνῶσιν τῆς ἡμέρας καὶ τῆς ὥρας ἐκείνης, ἔχει δηλονότι ταύτην καὶ ὁ Υἱός.

[05272] Οὕτω γὰρ ἀληθεύσει λέγων·

[05273] Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν.

[05274] ΑΛΛΟ.

[05275] Εἰ ἀληθεύει λέγων·

[05276] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ, οἶδε δὲ τὴν ἡμέραν ἐκείνην καὶ τὴν ὥραν ὁ Πατὴρ, οἶδε δηλονότι καὶ ὁ Υἱὸς, ἐν Πατρί τε ὢν καὶ πάντα γινώσκων τὰ ἐν αὐτῷ, καὶ ἔχων ἐν ἑαυτῷ τὸν εἰδότα Πατέρα.

[05277] ΑΛΛΟ.

[05278] Εἰκὼν ἀπαράλλακτος τοῦ Πατρὸς ὁ Υἱὸς λέγεται καὶ ἔστιν.

[05279] Εἰ δὲ οἶδεν ὁ Πατὴρ τὴν ἡμέραν καὶ τὴν ὥραν, ἀγνοεῖ δὲ ὁ Υἱὸς, πῶς τὸ ἀγνοοῦν εἰδότος φορέσει τὸν χαρακτῆρα;

[05280] Ἀλλ' ἔστιν εἰκὼν τοῦ Πατρὸς, κἂν οἱ χριστομάχοι μὴ βούλωνται.

[05281] Ἔοικεν ἄρα καὶ κατὰ τοῦτο τῷ Πατρὶ, καὶ ὥσπερ οἶδεν ἐκεῖνος, οὕτω καὶ αὐτός.

[05282] ΑΛΛΟ.

[05283] Ὁ μὴ εἰδέναι λέγων τὸν Υἱὸν, καθὸ Λόγος ἐστὶ, τὴν ἡμέραν καὶ τὴν ὥραν ἐκείνην, οὐκ ἔξω τῶν ἀπὸ τῆς βλασφημίας ἐγκλημάτων εὑρεθήσεται.

[05284] Εἰ γὰρ οἶδε τὸν Πατέρα, καθά φησιν αὐτὸς, τί κωλύει καὶ τὸ τέλος εἰδέναι τῆς κτίσεως;

[05285] Εἰ μὲν οὖν μεῖζον [75.373] ἐροῦσι του γινώσκειν τὸν Πατέρα τὸ εἰδέναι τὸ τῆς κτίσεως τέλος, ἀποίσονται τῆς βλασφημίας τὴν κόλασιν.

[05286] Εἰ δὲ πάσης γνώσεως ὑπεραναβέβηκε τὸ γινώσκειν τὸν Πατέρα, πῶς ὁ τὸ μεῖζον εἰδὼς ἀγνοήσει τὸ ἔλαττον;

[05287] ΑΛΛΟ, διηγηματικῶς.

[05288] Οὐκ ἀγνοῶν ὁ Λόγος, ᾗ Λόγος ἐστὶ καὶ σοφία τοῦ Πατρὸς, τὸ, Οὐκ οἶδα, φησὶν, ἀλλὰ δεικνύων ἐν ἑαυτῷ καὶ τὸ ἀνθρώπινον, ᾧ μάλιστα πρέπει τὸ ἀγνοεῖν·

[05289] ἴδιον γὰρ ἀνθρωπότητος τοῦτό γε.

[05290] Ἐπειδὴ γὰρ τὴν ἡμῶν περιεβάλετο σάρκα, διὰ τοῦτο καὶ τὴν ἡμῶν ἄγνοιαν ἔχειν ἐσχηματίζετο.

[05291] Ὅτι γὰρ τῇ ἀνθρωπότητι καὶ οὐ τῇ οἰκείᾳ φύσει τὸ ἀγνοεῖν περιτίθησιν, ἐντεῦθεν ἔξεστι μαθεῖν.

[05292] Παραγαγὼν γὰρ εἰς μέσον τὴν ἱστορίαν τῶν κατὰ τοὺς χρόνους τοῦ Νῶε γεγονότων ἀνθρώπων, καὶ εἰρηκώς·

[05293] Ἤσθιον, ἔπινον, ἐγάμουν, ἐγαμίζοντο, ἕως ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἦρεν ἅπαντας, ἐπήγαγεν εὐθύς·

[05294] Γρηγορεῖτε οὖν καὶ ὑμεῖς, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται·

[05295] καὶ πάλιν·

[05296] Ἧ οὐ δοκεῖτε ὥρᾳ, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

[05297] Ἐχρῆν, δὲ εἴπερ αὐτὸς ἦν ὁ ἀγνοῶν, καθὸ Λόγος ἐστὶν, ἐκεῖνο μᾶλλον εἰπεῖν·

[05298] Οὐκ οἶδα ποίᾳ ἡμέρᾳ ἔρχομαι, καὶ ᾗ οὐ δοκῶ ὥρᾳ πεμφθήσομαι.

[05299] Ἐπειδὴ δὲ τοῖς ἀκροωμένοις, τὸ μὴ εἰδέναι τὸν καιρὸν ἢ τὴν ἡμέραν τῆς παρουσίας αὐτοῦ περιτέθεικε, δῆλός ἐστιν αὐτὸς μὲν εἰδὼς ὡς Λόγος.

[05300] Ἀγνοεῖν δὲ λέγων, καθὸ τῶν ἀγνοεῖν πεφυκότων, δηλονότι ἀνθρώπων, τὴν ὁμοίωσιν ἐνεδύσατο.

[05301] ΑΛΛΟ.

[05302] Εἰ ἐκ τῆς εἰκόνος τῆς κατὰ τὸν Νῶε σημαίνειν βούλεται τῆς δευτέρας αὐτοῦ παρουσίας τὸν καιρὸν, ὅτε κρίνων ἐλεύσεται τὴν οἰκουμένην, φαίνεται δὲ τοῦ κατακλυσμοῦ τὴν ἡμέραν οὐκ ἀγνοήσας (οὕτω γὰρ ἔφησε τῷ Νῶε·

[05303] Εἴσελθε, σὺ καὶ οἱ υἱοί σου, εἰς τὴν κιβωτόν·

[05304] ἔτι γὰρ ἡμερῶν ἑπτὰ, ἐγὼ ἐπάγω ὑετὸν ἐπὶ τὴν γῆν)·

[05305] οἶδεν ἄρα τῆς ἑαυτοῦ παρουσίας τήν τε ὥραν καὶ τὴν ἡμέραν, ἵνα σώζηται τῶν πραγμάτων ἡ ὁμοιότης, καὶ ἡ ἐν ἐκείνοις εἰκὼν, ταύτην σημαίνῃ.

[05306] ΑΛΛΟ, ἔτι εἰς τὸ αὐτό·

[05307] Περὶ δὲ τῆς ἡμέρας καὶ ὥρας ἐκείνης, οὐδεὶς οἶδεν, οὔτε οἱ ἄγγελοι τῶν οὐρανῶν, οὐδὲ ὁ Υἱὸς, εἰ μὴ μόνος ὁ Πατήρ.

[05308] Ὅταν ἡ θεία λέγῃ Γραφὴ περὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, ὅτι καὶ ἐπείνησε, καὶ ἐδίψησε, καὶ ἐκοπίασεν ἐκ τῆς ὁδοιπορίας, καὶ ἐκάθευδεν εἰσελθὼν εἰς τὸ σκάφος, τί ἄρα ποιήσουσιν οἱ χριστομάχοι;

[05309] Τολμήσουσιν ἄρα λέγειν καὶ ταῦτα ὑπομεῖναι τὸν τοῦ Θεοῦ Λόγον, ἢ ταῦτα μὲν ὡς τῆς ἀνθρωπότητος ἴδια προσάψουσι τῇ σαρκὶ, ἔξω δὲ αὐτῶν ὁμολογήσουσιν εἶναι τὸν τοῦ Θεοῦ Λόγον, ᾗ Λόγος ἐστίν·

[05310] Ὥσπερ οὖν συγκεχώρηκεν ἑαυτὸν ὡς ἄνθρωπον γενόμενον μετὰ ἀνθρώπων καὶ πεινῆν καὶ διψῆν, καὶ τὰ ἄλλα πάσχειν, ἅπερ εἴρηται περὶ αὐτοῦ, τὸν αὐτὸν δὴ τρόπον ἀκόλουθον μὴ σκανδαλίζεσθαι, κἂν ὡς ἄνθρωπος λέγῃ [75.376] μετ' ἀνθρώπων ἀγνοεῖν, ὅτι τὴν αὐτὴν ἡμῖν ἐφόρεσε σάρκα.

[05311] Οἶδε μὲν γὰρ ὡς σοφία καὶ Λόγος ὢν ἐν Πατρί·

[05312] μὴ εἰδέναι δέ φησι δι' ἡμᾶς καὶ μεθ' ἡμῶν ὡς ἄνθρωπος.

[05313] ΑΛΛΟ, δι' οὗ δείκνυται σαφῶς ὁ Σωτὴρ εἰδὼς μέν τινα, οἰκονομίας δὲ χάριν ἀγνοεῖν αὐτὰ σχηματιζόμενος.

[05314] Λέγει που πρὸς τοὺς ἑαυτοῦ μαθητὰς ὁ Σωτήρ·

[05315] Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται, καίτοι μηδενὸς ἀπαγγείλαντος αὐτῷ περὶ τούτου, ἀλλ' ὡς Θεὸς τὰ πάντα γινώσκων.

[05316] Εἶτα μακρὰν ἐλάσας ὁδὸν ἅμα τοῖς μαθηταῖς, ἔρχεται πρὸς τὰς τοῦ μνημονευθέντος ἀδελφὰς, καὶ ἠρώτα·

[05317] Ποῦ τεθείκατε αὐτόν;

[05318] Ὁ εἰδὼς ὅτι κεκοίμηται, πῶς οὐκ οἶδε τὸν τόπον ὅπου ἔκειτο τὸ σῶμα;

[05319] ἀλλ' οἶδεν.

[05320] Ἀπίθανον γὰρ τὸ ἐκεῖνο μὲν εἰδέναι, τοῦτο δὲ ἀγνοεῖν.

[05321] Ὥσπερ οὖν οἰκονομίας τινὸς ἕνεκεν τὸ μὴ εἰδέναι ποῦ κεῖται Λάζαρος ἔφασκεν, οὕτω καὶ περὶ τῆς ἡμέρας καὶ τῆς ὥρας, κἂν λέγῃ μὴ εἰδέναι, χρήσιμόν τι καὶ ἀγαθὸν οἰκονομῶν, τοῦτο ποιεῖ·

[05322] οἶδε γὰρ ὡς Θεός.

[05323] ΑΛΛΟ, τὴν αὐτὴν ἔχον διάνοιαν.

[05324] Περὶ τὰ μέρη Καισαρείας τῆς Φιλίππου γεγονὼς ὁ Σωτὴρ, ἠρώτα τοὺς ἑαυτοῦ μαθητάς·

[05325] Τίνα με λέγουσιν οἱ ἄνθρωποι τὸν Υἱὸν τοῦ ἀνθρώπου·

[05326] Ἀποκριναμένου δὲ Πέτρου καὶ εἰρηκότος, Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ἐπήγαγεν εὐθὺς, ὅτι Μακάριος εἶ, Σίμων Βὰρ Ἰωνᾶ, ὅτι ὁ Πατὴρ ἀπεκάλυψέ σοι ὁ ἐν τοῖς οὐρανοῖς.

[05327] Οὐδεὶς γὰρ οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνήν.

[05328] Εἰ δὲ δι' Υἱοῦ πάντα Πατὴρ ἐργάζεται, ἓν δὲ τῶν ἔργων καὶ ἡ ἀποκάλυψις, αὐτὸς ὁ Λόγος ἀποκαλύψας τῷ Πέτρῳ φαίνεται τὰ παρὰ τοῦ Πατρός·

[05329] πῶς οὖν ὁ ἀποκαλύψας ὡς ἀγνοῶν ἐρωτᾷ, τίνα λέγουσιν οἱ ἄνθρωποι;

[05330] Οὐκοῦν οἰκονομεῖ τι πολλάκις τῆς ἀγνοίας τὸ σχῆμα.

[05331] Εἰδὼς γὰρ ὅπερ ἔμελλον ἐρεῖν οἱ μαθηταὶ, προσάγει τὴν πεῦσιν, ἵν' ἀποδεξάμενος αὐτῶν τὴν ἀπόκρισιν, βεβαιώσῃ τὴν πίστιν.

[05332] ΑΛΛΟ, διηγηματικῶς.

[05333] Οὐκ ἀγνοεῖ τὴν ἡμέραν καὶ τὴν ὥραν τῆς ἑαυτοῦ παρουσίας ὁ Υἱὸς, ᾗ Λόγος ἐστὶ καὶ σοφία, ἀλλ' ἵνα μὴ λύπην ἐντέκῃ τοῖς μαθηταῖς, ὡς οὐ θελήσας ἀποκρίνεσθαι τῇ παρ' αὐτῶν προσενεχθείσῃ πεύσει, τὸ, Οὐκ οἶδα, φησὶν ὡς ἄνθρωπος, ἐξουσίαν ἔχων καὶ τοῦ, εἰπεῖν διὰ, τὸ γενέσθαι σάρξ, καθὸ γέγραπται, καὶ τὰς τῆς σαρκὸς ἀσθενείας ἰδιοποιήσασθαι.

[05334] Ὅτι γὰρ ταύτης ἕνεκα τῆς αἰτίας τὸ μὴ εἰδέναι φησὶν, ἐντεῦθεν εἰσόμεθα.

[05335] Μετὰ γὰρ τὸ ἐκ νεκρῶν ἀναστῆναι, μέλλων τε ἤδη λοιπὸν ἀναβαίνειν εἰς οὐρανοὺς, ἐρωτησάντων αὐτὸν τῶν μαθητῶν, πότε τὸ τέλος ἔσται, καὶ πότε πάλιν παραγενήσεται, δριμύτερον ἀπεκρίνατο λέγων·

[05336] Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.

[05337] Ἀλλ' εἴπερ ἠγνόει, σαφῶς αὐτὸν ἐχρῆν λέγειν·

[05338] Εἶπον ὑμῖν, οὐκ οἶδα.

[05339] Νυνὶ δὲ ὡς οὐκ εὐλόγως ἐρωτῶντας ἐλέγχει, καὶ ὡς μείζονα ἢ καθ' ἑαυτοὺς ἐξετάζοντας [75.377] ἀποτρέπει.

[05340] Δῆλον οὖν ἐστιν ὅτι καὶ τότε, καίτοι πάντα εἰδὼς ὡς Θεὸς, διὰ τὸ εἶναι τὴν γνῶσιν ὑπὲρ τοὺς μαθητὰς, ἀνθρωπίνως ἔφασκε μὴ εἰδέναι τὴν ἡμέραν μηδὲ τὴν ὥραν ἐκείνην.

[05341] ΑΛΛΟ.

[05342] Ὅταν εὑρίσκηται ὁ Θεὸς ἐν μὲν τῷ παραδείσῳ λέγων πρὸς τὸν Ἀδάμ·

[05343] Ποῦ εἶ;

[05344] πρὸς δὲ τὸν Κάϊν·

[05345] Ποῦ Ἄβελ ὁ ἀδελφός σου;

[05346] τί ἄρα καὶ περὶ τούτου φατέ;

[05347] Ἂν μὲν γὰρ ἀγνοοῦντα ποιεῖσθαι τὴν ἐρώτησιν λέγητε, φανερῶς δυσφημοῦντες εὑρίσκεσθε.

[05348] Εἰ δὲ τρόπον οἰκονομίας εἰσάγεσθαί τινα διὰ τοῦτο δώσετε, μὴ ξενίζεσθε, κἂν ὁ τοῦ Θεοῦ Λόγος, δι' οὗ καὶ τότε τὴν ἐρώτησιν πρός τε Ἀδὰμ καὶ τὸν Κάϊν ἐποιεῖτο Θεὸς, οἰκονομῶν τι χρήσιμον μὴ εἰδέναι λέγῃ τὴν ἡμέραν ὡς ἄνθρωπος, καίτοι πάντα εἰδὼς ὡς σοφία τοῦ Πατρός.

[05349] ΑΛΛΟ, δι' οὗ δείκνυται σαφῶς οἰκονομικῶς ἔσθ' ὅτε τὴν ἄγνοιαν σχηματιζόμενος ὁ Σωτήρ.

[05350] Ὅτε κατὰ τὴν ἔρημον ὁ Σωτὴρ ἀποτρέφειν ἐβούλετο τοὺς ἀκολουθήσαντας αὐτῷ, λέγει πρὸς Φίλιππον·

[05351] Πόσους ἄρτους ἔχετε;

[05352] καὶ ἔστι μὲν ὡς ἀγνοοῦντος ἡ ἐρώτησις.

[05353] Διαμαρτύρεται δὲ παραχρῆμα λέγων ὁ εὐαγγελιστής·

[05354] Τοῦτο δὲ ἔλεγε πειράζων τὸν Φίλιππον·

[05355] αὐτὸς γὰρ ᾔδει τι ἔμελλε ποιεῖν.

[05356] Εἰ τοίνυν ὅπερ ἔμελλε ποιεῖν ἐπιστάμενος, ὡς ἀγνοῶν ἐρωτᾷ, τί κωλύει καὶ νῦν χρησίμου τινὸς ἕνεκα συγχωρεῖν αὐτῷ, μὴ εἰδέναι λέγειν τὴν ἡμέραν καὶ τὴν ὥραν;

[05357] Καὶ οὐ ψευδόμενος τοῦτό φησιν·

[05358] εἰδὼς γὰρ ὡς Θεὸς Λόγος, δύναται ὡς ἄνθρωπος ἀγνοεῖν, ἵνα κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῇ, κατὰ τὴν τοῦ Παύλου φωνήν.

[05359] Ἔτι εἰς τὸ, Περὶ δὲ τῆς ἡμέρας καὶ τῆς ὥρας ἐκείνης οὐδεὶς οἶδεν, οὔτε οἱ ἄγγελοι τῶν οὐ ρανῶν, οὔτε ὁ Υἱὸς, εἰ μὴ ὁ Πατὴρ μόνος.

[05360] Πρότασις ὡς ἐκ τῶν αἱρετικῶν.

[05361] Πάντα, φασὶν, οἶδεν ὁ Πατὴρ, οὐ πάντα δὲ ὁ Υἱὸς, κατὰ τὴν αὐτοῦ φωνήν·

[05362] ταύτῃ γὰρ μάλιστα πρὸς ἀπόδειξιν χρῆσθαι καλόν.

[05363] Εἰ τοίνυν οἶδε μὲν ὁ Πατὴρ τὴν ὥραν ἐκείνην, ἀγνοεῖ δὲ ὁ Υἱὸς, πῶς τῆς αὐτῆς ἔσται φύσεως τῷ πάντα εἰδότι ὁ μὴ τοιοῦτος;

[05364] Πρὸς τοῦτο λύσις.

[05365] Εἰ μὴ πάντα οἶδεν ὁ Υἱὸς, καθ' ὑμᾶς, ὦ χριστομάχοι, ψεύδεσθαι λέγειν ἀνάγκη τὰς θείας Γραφὰς, καὶ τῶν ἁγίων καταθρασύνεσθαι λεγόντων περὶ αὐτοῦ·

[05366] Ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν.

[05367] Καὶ γὰρ ἐν τοῖς πᾶσιν ἐστὶ καὶ ἡ τῆς συντελείας ἡμέρα·

[05368] οὐδὲν γὰρ ἔξω κεῖσθαι τὸ πάντα συγχωρεῖ.

[05369] Εἰ δὲ ταύτην ἀγνοεῖ ὁ Υἱὸς, πῶς οἶδε τὰ πάντα;

[05370] Ἀλλὰ δεῖ πάντως τὰς τῶν ἁγίων ἀληθεῖς εἶναι φωνάς.

[05371] Καὶ οἶδε τὰ πάντα ὁ Υἱός.

[05372] Εἰ δ' ἐν τοῖς πᾶσιν ἀνάγκη καὶ τὸ τέλος νοεῖν, μάταιον ἡμῶν ἀναπέφανται τὸ σόφισμα.

[05373] Οἰκονομεῖ γάρ τοι Χριστὸς, μὴ εἰδέναι λέγων τὴν ὥραν ἐκείνην, καὶ οὐκ ἀληθῶς ἀγνοεῖ.

[05374] [75.380] ΑΛΛΟ.

[05375] Εἰ ἀληθεύει λέγων ὁ Παῦλος, ὅτι πάντα γυμνὰ καὶ τετραχηλισμένα ἐνώπιον αὐτοῦ ἐστι, περὶ δὲ τοῦ Υἱοῦ δηλονότι φησὶν, ἓν δὲ τῶν πάντων καὶ ἡ ὥρα ἐκείνη, πῶς ἀγνοεῖ ταύτην ὁ ἐν ὀφθαλμοῖς ἔχων τὰ πάντα τετραχηλισμένα;

[05376] ΑΛΛΟ.

[05377] Εἰ μὴ δύσφημον εἶναι πιστεύετε τὸ λέγειν ἠγνοηκέναι τι τῶν ὄντων τὸν Υἱὸν, ἐχέτω, καθ' ὑμᾶς, καὶ οὕτως.

[05378] Ἀλλ' εἰδῶμεν εἰ μὴ σφάλλεσθε τὰ τοιαῦτα φρονοῦντες περὶ αὐτοῦ·

[05379] ἐξ αὐτοῦ θεωρήσομεν τοῦ πράγματος, εἰ μὴ σαθροτάταις ἐννοίαις ἐπερείδεσθε, καλαμίνην ὥσπερ ἑαυτοῖς ὑποθέντες τὴν βακτηρίαν.

[05380] Μόνην ἔφησε τὴν ἡμέραν ἐκείνην ἀγνοεῖν ὁ Υἱός·

[05381] οὐκοῦν εἰ μόνην ἐκείνην ἀγνοεῖ, οἶδε τὰς ἄλλας·

[05382] ἐν δὲ ταύταις καὶ ἡ πρὸ αὐτῆς κείσεται.

[05383] Καὶ πῶς ὁ εἰδὼς τὴν πρὸ αὐτῆς, οὐκ οἶδεν ὅτι μεθ' ἣν οἶδεν εὐθὺς ἡ ἀγνοουμένη καθ' ὑμᾶς εἰσβαίνει;

[05384] Ὅμοιον γὰρ ὥσπερ εἴ τις λέγοι μὴ εἰδέναι τὸν δέκα ἀριθμὸν, ποίαν ἔχει τὴν θέσιν, τοὺς εἰδότας τὸν ἐννέα.

[05385] Πρόδηλον γὰρ ὅτι μετὰ τὸν ἐννέα ὁ δέκα κείσεται πάντως.

[05386] Εἰ τοίνυν οἶδε τὴν πρὸ αὐτῆς, πῶς οὐκ εἴσεται καὶ αὐτήν;

[05387] Πῶς ὁ τοσαῦτα σημεῖα πρὸ τοῦ τέλους ἔσεσθαι λέγων, οὐκ οἶδεν ὅτι μετὰ τὰ σημεῖα τὸ τέλος;

[05388] Πανταχόθεν τοιγαροῦν ἀνόητοι δειχθήσεσθε, τῆς ἀληθείας τολμῶντες καταψεύδεσθαι.

[05389] Οἶδε γὰρ τὰ πάντα ὁ Υἱὸς, κἂν οἰκονομικῶς ἀγνοεῖν τι λέγῃ.

[05390] ΛΟΓΟΣ ΚΓʹ.

[05391] Εἰς τὸ, Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ.

[05392] Καὶ εἰς τὸ, Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου.

[05393] Καὶ εἰς τὸ, Οὐ δύναμαι ἐγὼ ἀπ' ἐμαυτοῦ ποιεῖν οὐδέν·

[05394] ἀλλὰ καθὼς ἀκούω, κρίνω·

[05395] καὶ ὅσα τούτοις ὅμοιά ἐστι ῥητά.

[05396] Ἀντίθεσις ἐκ τῶν αἱρετικῶν.

[05397] Καὶ πῶς ἂν δύναιτο, φασὶ, κατ' οὐσίαν ὅμοιος εἶναι τῷ Πατρὶ ὁ Υἱὸς, ὁ λέγων εἰληφέναι πάντα παρὰ τοῦ Πατρός, Ἔχων γὰρ, οὐκ ἂν ἐδέξατο.

[05398] Ἐπειδὴ δὲ φαίνεται λαβὼν, ὡς αὐτός φησι, δῆλός ἐστιν οὐδὲν ἔχων ἐξ ἑαυτοῦ.

[05399] Πρὸς τοῦτο λύσις.

[05400] Ὅταν οὖν ἀκούσῃς λέγοντος τοῦ Υἱοῦ, Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι, καὶ τὰ ἐμὰ πάντα τοῦ Πατρός ἐστι, τί ἄρα ποιήσεις, αἱρετικέ;

[05401] Εἰ γὰρ οὐδὲν ἔχει, καθ' ὑμᾶς, ὁ Υἱὸς ἐξ ἑαυτοῦ, ἔχει τοῦτο καὶ ὁ Πατήρ·

[05402] καὶ εἰ πάντα ἔχει φυσικῶς ὁ Πατὴρ, ἔχει τοῦτο καὶ ὁ Υἱός.

[05403] Ἀνάγκη τοίνυν, ἢ τὸ μηδὲν ἔχειν δύνασθαι λέγοντας τὸν Υἱὸν, περιθεῖναι τοῦτο καὶ τῷ Πατρὶ, ἵν' ἔχων φαίνηται τὰ τοῦ Υἱοῦ·

[05404] ἢ εἰ τοῦτο φευκτέον, ἀνάγκη συνομολογεῖν κεκτῆσθαι τὸν Υἱὸν ὅσα καὶ ὁ Πατήρ.

[05405] Τοῦ Πατρὸς γὰρ ἔφησεν εἶναι πάντα τὰ ἑαυτοῦ, καὶ αὐτὸς ἔχειν πάντα τοῦ Πατρός.

[05406] [75.381] ΑΛΛΟ, διηγηματικῶς.

[05407] Οὐ διὰ τὸ μὴ ἔχειν ὁ Υἱὸς, εἰληφέναι λέγεται παρὰ τοῦ Πατρός.

[05408] Ἔχει γὰρ φυσικῶς, ἴδιος ὢν αὐτοῦ Λόγος καὶ ἀπαύγασμα, πάντα τὰ αὐτοῦ, δίχα μόνου τοῦ εἶναι καὶ λέγεσθαι Πατήρ.

[05409] Λέγει δὲ εἰληφέναι παρὰ τοῦ Πατρὸς, προαναιρῶν ὡς Θεὸς τὰς τῶν αἱρετικῶν ὑπονοίας.

[05410] Ἵνα γὰρ μή τις τὸν Υἱὸν θεωρῶν πάντα τὰ τοῦ Πατρὸς ἔχοντα ἐκ τῆς πολλῆς λίαν ὁμοιότητος καὶ ἀπαραλλάκτου ταυτότητος νομίσῃ τὸν αὐτὸν εἶναι Πατέρα καὶ Υἱὸν, καὶ εἰς τὴν Σαβελλίου πλάνην ἐκπέσῃ, ἀναγκαίως εἰληφέναι φησὶ παρὰ Πατρὸς, φυσικῶς τοῦτο ἔχων·

[05411] ἵν' ὁ λόγος εἰσφέρων ἕνα μὲν τὸν διδόντα, δεύτερον δὲ τὸν δεχόμενον, ἐν ἰδιαζούσαις ὑποστάσεσι δυάδα δεικνύῃ οὐ μόνοις ὀνόμασι διαστελλομένην.

[05412] Ἴδιος δὲ ὢν τοῦ Πατρὸς ὁ Λόγος, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ προελθὼν, πάντα μὲν τὰ τοῦ Πατρὸς ἀϊδίως ἔχει.

[05413] Παρ' αὐτοῦ δέ φησιν εἰληφέναι διὰ τὸ ἐξ αὐτοῦ προελθεῖν, φυσικῶς ἔχων τὰ πάντα προσόντα αὐτῷ.

[05414] ΑΛΛΟ.

[05415] Οὐδὲν εἰς τὸν θεότητος λόγον τὸν Υἱὸν ἀδικήσει τὸ λέγειν·

[05416] Πάντα μοι παρεδόθη παρὰ τοῦ Πατρός μου·

[05417] ἀλλὰ μᾶλλον ἀποδεικνύει σαφῶς κατὰ φύσιν ὄντα Υἱόν.

[05418] Εἰ γὰρ πάντα αὐτῷ παρεδόθη, ἐν δὲ τῷ πάντα εἰπεῖν οὐδὲν ἀφῆκεν ἐκτός·

[05419] οὐκ ἄρα εἷς ἐστι τῶν πάντων, ἅπερ καὶ εἰληφέναι φησὶν, ἀλλ' ἰδιάζουσαν ἐκ Πατρὸς τὴν γέννησιν ἔχει.

[05420] Υἱὸς δὲ ὢν κατὰ φύσιν, ἔχει πάντως τὰ τοῦ γεννήσαντος ἴδια.

[05421] Ἴδιον δὲ τοῦ γεννήσαντος τὸ πάντα ἔχειν·

[05422] οὐκ ἄρα ἐνδεής τινος ὁ Υἱός.

[05423] ΑΛΛΟ.

[05424] Εἰ πάντα αὐτῷ παρεδόθη, καθά φησιν αὐτὸς, καὶ δέδοται ἐν τῇ χειρὶ αὐτοῦ, οὔτε τῶν πάντων εἷς ἔσται, ἀλλὰ καὶ μόνος φανεῖται κληρονόμος, ὡς Υἱός.

[05425] Εἰ γὰρ εἷς ὢν καὶ αὐτὸς τῶν πάντων ἐτύγχανε, κατηριθμεῖτο ἂν ἐν τοῖς πᾶσι, καὶ οὐκ ἂν ἦν κληρονόμος.

[05426] Ἐπειδὴ δὲ φαίνεται πάντα λαβὼν φυσικῶς τε καὶ οὐσιωδῶς, δηλονότι διατρεχούσης εἰς αὐτὸν τῆς τοῦ γεννήσαντος ἀρχῆς τε καὶ κυριότητος, ἄλλος ἐστὶ τῶν πάντων ἐξ ἀνάγκης, καὶ μόνος ἴδιος τοῦ Πατρὸς Υἱός.

[05427] ΑΛΛΟ, διηγηματικῶς.

[05428] Εὑρίσκεταί που λέγων ὁ Σωτήρ·

[05429] Ὥσπερ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ·

[05430] ὅπερ ἀκόλουθον οὕτω νοεῖν.

[05431] Διὰ μὲν γὰρ τοῦ λέγειν, Δέδωκε, τὸ ἐκ Πατρὸς ἔχειν φυσικῶς σημαίνει, καὶ καθ' ὑπόστασιν ἕτερον ἑαυτὸν πρὸς τὸν δεδωκότα δεικνύει·

[05432] ἕτερον δὲ λέγω μόνον τῷ ἀριθμῷ.

[05433] Διὰ δὲ τοῦ λέγειν, Ὥσπερ ἔχει ὁ Πατὴρ, οὕτως ἔχει καὶ ὁ Υἱὸς, δῆλός ἐστιν ἐκεῖνο διδάσκων, ὅτι ὥσπερ ἀϊδίως ἔχει ὁ Πατὴρ ἐν ἑαυτῷ τὴν ζωὴν, οὕτω καὶ ὁ Υἱὸς ἀϊδίως ἔχει ζωὴν ἐν ἑαυτῷ.

[05434] Εἰ μὲν οὖν τολμᾷ τις λέγειν εἶναι χρόνον ὅτε ζωὴν οὐκ εἶχεν ὁ Πατὴρ ἐν ἑαυτῷ, κρατεῖν ἀνάγκη [75.384] τοῦτο καὶ ἐφ' Υἱοῦ.

[05435] Εἰ δὲ τοῦτο ἀσεβὲς, ἔχειν δὲ δώσομεν ἀεὶ τὸν Πατέρα ζωὴν ἐν ἑαυτῷ, ἔσται τοῦτο καὶ ἐφ' Υἱοῦ·

[05436] τοῦτο γάρ ἐστι τὸ οὕτως ἔχειν αὐτὸν, ὥσπερ καὶ ὁ Πατήρ.

[05437] Εἰ δὲ ἀεὶ ἔχων, εἰληφέναι λέγει, οἰκονομεῖ τι σοφὸν ἡ φωνὴ, καὶ οὐδὲν εἰς τὸν τῆς φύσεως λόγον ἀδικήσει τὸν Υἱόν.

[05438] ΑΛΛΟ.

[05439] Εἴ τις τῷ ἐκ τοῦ φωτὸς ἀπαυγάσματι περιθείη φωνὴν, εἶτα τοῦτο λέγοι·

[05440] Πάντα μοι δέδωκε τὸ φῶς τὰ ἑαυτοῦ, φωτίζω γὰρ ὥσπερ ἐκεῖνο·

[05441] ἆρ' εὐλόγως ἂν εἴποι μὴ ἐσχηκέναι ποτὲ τὸ ἀπαύγασμα τοῦ φωτίζειν τὴν δύναμιν;

[05442] καὶ πῶς ἀπαύγασμα ἦν;

[05443] Εἰ δὲ καὶ φωτίζειν δυνάμενον διὰ τὸ πάντα τὰ τοῦ φωτὸς ἔχειν, καὶ γεννᾶσθαι πάλιν ἐξ ἑαυτοῦ, εἰληφέναι λέγει παρ' αὐτοῦ, πῶς οὐκ ἄτοπον μὴ καὶ πλέον τι τοῦ παραδείγματος νοεῖν ἐπὶ τοῦ Θεοῦ Λόγου;

[05444] Πάντα γὰρ ἔχων φυσικῶς ἐκ Πατρὸς, εἰληφέναι φησὶν ἐξ αὐτοῦ διὰ τὸ ἐξ αὐτοῦ γεγεννῆσθαι, μετὰ πάντων ὧν ἔχει.

[05445] ΑΛΛΟ, εἰς τὸ, Ἐδόθη μοι πᾶσα ἐξουσία·

[05446] καὶ, Δόξασόν σου τὸν Υἱὸν, ἢ καὶ καθολικώτε ρον, περὶ τοῦ δοξάζεσθαι ἢ δέχεσθαί τι τὸν Υἱόν.

[05447] Οὐκ ἐν χρείᾳ δόξης ἢ ἑτέρου τινὸς καθεστηκὼς ὁ Υἱὸς, ἢ Λόγος ἐστὶν, αἰτεῖ παρὰ τοῦ Πατρὸς, ἢ καὶ λαμβάνειν λέγεται, οἰκονομικῶς δὲ τοῦτο ποιεῖ.

[05448] Δέχεται μὲν γὰρ ἀνθρωπίνως διὰ τὸ σχῆμα τῆς πρὸς ἡμᾶς ὁμοιώσεως.

[05449] Ἔστι δὲ πλήρης ὡς Θεός.

[05450] Ἐπειδὴ γὰρ μόνος καὶ καθ' ἑαυτὸν ὁ ἄνθρωπος, κἄν τι τῶν ἀγαθῶν παρὰ Θεοῦ λάβῃ, τοῦτο ῥᾳδίως ἀπολλύει (ὃ δὴ καὶ πέπονθεν Ἀδὰμ), καὶ γυμνὸς ἐκ παρακοῆς ἐδείχθη τῆς προτεθείσης αὐτῷ χάριτος, ἀναγκαῖον ἦν, ἵνα μὴ πάλιν τοῖς αὐτοῖς περιπέσωμεν, τὸν ἄτρεπτον τοῦ Θεοῦ Λόγον γενόμενον ἄνθρωπον, αἰτῆσαι παρὰ τοῦ Πατρὸς τὰ ἐξ αὐτοῦ χαρίσματα·

[05451] ἵνα δι' αὐτοῦ βέβαια τῇ ἡμετέρᾳ φύσει φυλάττηται, ἀτρέπτου καὶ ἀναλλοιώτου τυγχάνοντος.

[05452] Ἀρχὴν γὰρ ἡ χάρις λαβοῦσα, μένει μὲν ἀσφαλῶς ἐν Χριστῷ, παραπέμπει δὲ αὐτὸς καὶ εἰς ἡμᾶς τὴν ὁμοίωσιν·

[05453] ὅτι πάντες ἐσμὲν ἐν αὐτῷ, καθὸ ἄνθρωπος γέγονε, καὶ τὴν αὐτὴν ἡμῖν ἐφόρεσε σάρκα.

[05454] Οὕτω γὰρ καὶ ἀδελφοὶ καὶ ἓν ὡς πρὸς Θεὸν γεγεννῆσθαι λεγόμεθα.

[05455] Αἰτεῖ τοίνυν καὶ δέχεται παρὰ τοῦ Πατρὸς δι' ἡμᾶς, ἅπερ ἔχει μὲν φυσικῶς, ὡς Θεός·

[05456] ἐπειδὴ δὲ σάρκα τοῦ δοξάζεσθαι χρῄζουσαν ἔλαβε, καὶ οὐχ ἑτέρου τινὸς, ἀλλ' αὐτοῦ γέγονεν αὕτη, εἰκότως ἰδιοποιεῖται τὰ εἰς αὐτὴν ἢ περὶ αὐτὴν γινόμενα, καὶ ὡς ἄνθρωπος μὴ ἔχων, δέχεται παρὰ τοῦ Πατρὸς ἅπερ ἔχει φυσικῶς, ὡς Υἱὸς καὶ Θεός.

[05457] ΑΛΛΟ.

[05458] Εἰ γέγονεν ἄνθρωπος ὁ τοῦ Θεοῦ Λόγος, γέγονε δὲ, καὶ ἀντερεῖν οἶμαι μηδένα, τί τὸ ἀναπεῖθόν τινας, μὴ ἐπιτρέπειν αὐτῷ ταῖς ἀνθρώπου κεχρῆσθαι φωναῖς;

[05459] Ὁ γὰρ αὐτὸ τὸ πρᾶγμα μὴ φυγὼν, ἀλλ' [75.385] εἰς τοσαύτην ἑαυτὸν ταπείνωσιν καταγαγὼν, οὐκ ἂν ἔφυγε τὸ ἐν λόγοις ἑαυτοῦ φαίνεσθαι μετριώτερος.

[05460] Εἰ μὲν οὖν οὐ γέγονεν ἄνθρωπος, περιαπτέτωσάν τινες τῷ Λόγῳ τὰ ταπεινὰ ῥήματα, καὶ λεγέτωσαν αὐτὸν καὶ ἀγνοεῖν καὶ δόξης χρῄζειν, καὶ δέχεσθαί τι παρὰ τοῦ Πατρός.

[05461] Εἰ δὲ γέγονεν ἄνθρωπος, ἔστωσαν τῆς ἀνθρωπότητος αἱ φωναὶ, καὶ μηδεὶς συκοφαντείτω τὸν τοῦ Θεοῦ Λόγον, ὡς οὐκ ἔχοντα τὸ τέλειον, ὥσπερ ὁ Πατήρ·

[05462] μηδὲ ὑβριζέτω τὸ τοῦ Θεοῦ γνήσιον γέννημα.

[05463] ΑΛΛΟ.

[05464] Οὐχ ὁ τοῦ Θεοῦ Λόγος, ᾗ Λόγος ἐστὶ, δοξάζεται καὶ δέχεταί τι παρὰ τοῦ Πατρὸς, ἢ καὶ ἁγιάζεται, ἀλλ' ἡμεῖς ἐν αὐτῷ·

[05465] καὶ δι' ἡμᾶς ταῖς τοιαύταις αὐτός τε ἐχρήσατο φωναῖς, καὶ ἡ θεία Γραφὴ τοιαῦτά τινα λέγει περὶ αὐτοῦ.

[05466] Εἰ γὰρ, καθὼς οἴονταί τινες, εἰς τὸν τοῦ Θεοῦ Λόγον ἀναφέρειν χρὴ τὰ τοιαῦτα, ὁράτωσαν μὴ καὶ τὸν τῆς ἐπιδημίας τρόπον ποιοῦσιν ἀργὸν, καὶ τῆς παρὰ Θεοῦ χάριτος ἔρημον ἡμῶν τὴν φύσιν ἀποδεικνύουσιν.

[05467] Εἰ γὰρ ὁ Λόγος ἐστὶν ὁ δοξασθεὶς καὶ ἁγιασθεὶς κατὰ τὴν θεότητα, ποία γέγονε τοῖς ἀνθρώποις ἡ ὄνησις, ἐκ τοῦ γενέσθαι αὐτὸν ἄνθρωπον;

[05468] Φαίνεται γὰρ αὐτὸς ἀναστὰς ἐκ νεκρῶν, οὐχ ἡμεῖς.

[05469] Τί δὲ αὐτὸν ἔπεισε γενέσθαι καὶ σάρκα;

[05470] Εἰ μὲν γὰρ, ἵνα τὴν ἀνθρώπου φύσιν ὠφελήσῃ, ἀργὸν κατ' ἐκείνους τὸ ἐπιχείρημα·

[05471] οὐδὲν γὰρ ἡ σὰρξ ὠφεληθεῖσα φαίνεται, ἀλλὰ μᾶλλον αὐτός.

[05472] Καὶ εἰ ὅτε γέγονεν ἄνθρωπος, τότε φαίνεται καὶ δόξαν λαβὼν, καὶ ἁγιασμὸν, καὶ ἐξουσίαν, καὶ ὅσα τοιαῦτα φέρεται περὶ αὐτοῦ, πρόδηλόν ἐστιν ὅτι πρὸ τῆς ἐπιδημίας τούτων ἔρημος ὢν, κατ' ἐκείνους, λαμβάνει ταῦτα κατὰ τὸν τῆς ἐπιδημίας καιρόν.

[05473] Χάριν οὖν ὁμολογείτω τῇ σαρκὶ, βελτίων ἀναδειχθεὶς, ὅτε πεφόρεκεν αὐτὴν, οὐ βελτιώσας αὐτήν.

[05474] Ἀλλ' ἔστι τοῦτο καὶ φρονεῖν καὶ λέγειν δυσσεβέστατον.

[05475] Ἐπεδήμησε γὰρ ἵνα δοξάσῃ τὸν ἄνθρωπον καὶ ἁγιάσῃ.

[05476] Οὐχ ὁ Λόγος ἄρα ἐστὶν ὁ δεχόμενός τι·

[05477] τέλειος γὰρ, ὥσπερ καὶ ὁ γεννήσας αὐτόν.

[05478] Ἀλλ' ἡμεῖς ἐν αὐτῷ λαμβάνομεν, ὅτε τὴν ἡμετέραν ἐφόρεσε σάρκα·

[05479] ὡς γὰρ ἀναστάντος αὐτοῦ, ἡμεῖς ἀνέστημεν, καὶ ἀναβεβηκότος αὐτοῦ πάλιν, εἰς οὐρανοὺς ἡμῖν ἡ ἄνοδος ἀνεκαινίσθη·

[05480] οὕτως καὶ δοξάζεσθαι καὶ ἁγιάζεσθαι λεγομένου, ἡμεῖς ἐσμεν οἱ τούτων ἀπολαύοντες.

[05481] ΑΛΛΟ, δι' οὗ δείκνυται σαφῶς, ἅπερ εἶχεν ὡς Θεὸς, δι' ἡμᾶς αἰτῶν ὡς ἄνθρωπος.

[05482] Λέγει που Χριστός·

[05483] Πάτερ, δόξασόν σου τὸν Υἱόν.

[05484] Καὶ πάλιν·

[05485] Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός.

[05486] Καὶ μετὰ τὴν ἀνάστασιν·

[05487] Ἐδόθη μοι, φησὶ, πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.

[05488] Ἀλλὰ δείκνυται καὶ πρὶν αὐτῷ παραδοθῆναι τὰ πάντα, πάντων ὢν Κύριος.

[05489] Γέγονε γὰρ τὰ πάντα δι' αὐτοῦ, καὶ ὁ Ψαλμῳδὸς δὲ δοῦλα τοῦ πεποιηκότος εἰδὼς αὐτὰ λέγει, ὅτι Τὰ σύμπαντα δοῦλα σά.

[05490] Αἰτῶν δὲ δόξαν φαίνεται, καίτοι τῆς δόξης ὢν Κύριος.

[05491] Οὕτω γὰρ ὁ Παῦλος ἔλεγε περί τινων, ὅτιπερ Εἰ ἔγνω [75.388] σαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν.

[05492] Ὅτι δὲ καὶ πρὶν αἰτῆσαι παρὰ Πατρὸς τὴν δόξαν εἶχεν ὡς Υἱὸς, αὐτὸς διδάσκει σαφῶς λέγων·

[05493] Πάτερ, δόξασόν σου τὸν Υἱὸν τῇ δόξῃ ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ σοί.

[05494] Εἰ δὲ ὁμολογεῖ μὲν ἔχειν καὶ πρὸ τοῦ κόσμου τὴν δόξαν, αἰτεῖ δὲ νῦν αὐτὴν ὡς οὐκ ἔχων, δι' ἡμᾶς ἄρα τοῦτο ποιεῖ·

[05495] καὶ ἡμῶν ἐν αὐτῷ γέγονεν ἡ αἴτησις, καλοῦσα τὴν δόξαν εἰς τὴν ἀνθρώπου φύσιν.

[05496] Λέγων δὲ μετὰ τὴν ἀνάστασιν, Ἐδόθη μοι πᾶσα ἐξουσία, καὶ πρὸ τῆς ἀναστάσεως ταύτην ἔχων φαίνεται.

[05497] Εἰ γὰρ μὴ εἶχε, πῶς ἐπετίμα τῷ διαβόλῳ λέγων·

[05498] Ὕπαγε ὀπίσω μου, Σατανᾶ;

[05499] πῶς δὲ τοῖς μαθηταῖς κατὰ δαιμόνων ἐχαρίζετο τὴν ἐξουσίαν;

[05500] πῶς δὲ τὴν Ἀβραὰμ θυγατέρα, καθὰ γέγραπται, δεδεμένην ὑπὸ τοῦ διαβόλου ὡς ἐξουσίαν ἔχων ἔλυσεν αὐτός;

[05501] ἢ πῶς παραλυτικῷ τὴν ὑγίειαν ἐχαρίσατο;

[05502] πῶς τῇ γυναικὶ τῇ ἁμαρτωλῷ τὰς ἁμαρτίας ἠφίει;

[05503] νεκροὺς δὲ πῶς ἤγειρε;

[05504] τυφλῶν δὲ πῶς ἀνέῳξεν ὀφθαλμούς;

[05505] Δῆλον οὖν ἐντεῦθέν ἐστιν, ὅτι τὰς ἀνθρώπῳ πρεπούσας λέγει φωνὰς, οὐχ ὅτε Λόγος ἦν πρὸ τῆς ἐπιδημίας ἔξω σαρκός·

[05506] ἀλλ' ὅτε γέγονεν ἄνθρωπος, εἰς ἡμᾶς καλῶν τὰς παρὰ τοῦ Πατρὸς δωρεάς.

[05507] Οὕτω γὰρ λεγόμεθα καὶ θείας φύσεως γενέσθαι κοινωνοὶ, τοῦ Λόγου φορέσαντος τὴν ἡμῶν ταπείνωσιν, ἵν' ἡμᾶς ἀναγάγῃ πρὸς τὸ ὕψος τὸ ἑαυτοῦ, οὐχ ἵνα μείνῃ κάτω καθάπερ ἡμεῖς.

[05508] Διὰ γὰρ τοῦτο καὶ ἄνθρωποι τὴν φύσιν ὄντες, θεοὶ χρηματίζομεν, ὡς ὄντες καὶ τοῦτο ἐν Χριστῷ·

[05509] Θεὸς γὰρ ὁ Χριστός.

[05510] ΑΛΛΟ.

[05511] Εἰ τὰ τῆς σαρκὸς ταπεινὰ ῥήματα τῇ θεότητι τοῦ Λόγου προσάπτειν ἐπιχειροῦσί τινες, ὅταν ἴδωσι θαυματουργοῦντα Χριστὸν διὰ τῆς σαρκὸς, τί ἐροῦσιν ἄρα;

[05512] Πτύσας μὲν γὰρ καὶ ποιήσας πηλὸν, ἐθεράπευσε τὸν τυφλόν·

[05513] ἐκτείνας δὲ τὴν χεῖρα καὶ ἁψάμενος τῆς σοροῦ, τὸν μονογενῆ τῆς χήρας ἀνέστησεν υἱόν·

[05514] φωνὴν δὲ ἀφεὶς διὰ τοῦ σώματος, ἔξω τοῦ μνήματος ἐκάλεσε τὸν Λάζαρον.

[05515] Ταῦτα μὲν γὰρ ἐτελεῖτο διὰ τῆς σαρκὸς, ἀλλ' οὐκ ἦν ἔργα σαρκός.

[05516] Ὥσπερ οὖν εἰς τὴν φύσιν τοῦ πράγματος βλέποντες, τῇ δυνάμει τῆς θεότητος τὴν τῶν ἀποτελεσμάτων ἔκβασιν λογιζόμεθα, εἰ καὶ διὰ τῆς σαρκὸς ἐγένετο·

[05517] οὕτως ὅταν διὰ τὴν σάρκα λέγῃ τι καὶ ἀνθρώπινον, μὴ τῷ Θεῷ Λόγῳ τοῦτο προσάπτωμεν, ἀλλὰ τῆς θεότητος ἀλλότριον ὁρῶντες αὐτὸ, φέρωμεν ἐπὶ τὴν σάρκα.

[05518] Οὕτω γὰρ ἕκαστον τῶν γινομένων ἤτοι λεγομένων παρ' αὐτοῦ, ὥσπερ ἐν τῷ ἰδίῳ τόπῳ τιθέντες, ἀπλανῆ τὴν περὶ τοῦ Σωτῆρος ἡμῶν γνῶσιν ἔχοντες εὑρισκόμεθα.

[05519] ΑΛΛΟ, διηγηματικῶς.

[05520] Ἕνα Χριστὸν κηρύττουσιν αἱ θεῖαι Γραφαί·

[05521] Εἷς γὰρ Θεὸς ὁ Πατὴρ, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός.

[05522] Ἀπὸ μὲν γὰρ τῶν ἔργων τῶν, ὅσα πρέπει μόνῳ τῷ Θεῷ, γνωρίζεται Θεός.

[05523] Ἐπειδὴ δὲ σάρκα γεγονότα τὸν Λόγον, καθὰ γέγραπται, δεῖ καὶ ἄνθρωπον φαί [75.389] νεσθαι, οὐκ ἦν δὲ ἀλλαχόθεν ὁρᾶσθαι τοιοῦτον, εἰ μὴ ἐκ τῶν τῆς

σαρκὸς ἀλοιδορήτων παθῶν τε καὶ λόγων, ἀναγκαίως καὶ τὰ ἀνθρώποις πρέποντα ποιεῖ τε καὶ λαλεῖ, ἵν' οὕτως δεικνύηται καὶ ἄνθρωπος γεγονώς.

[05524] Ἔστι γοῦν ἰδεῖν κατὰ ταυτὸν ἀμφότερα ἐν αὐτῷ.

[05525] Ἐπυνθάνετο μὲν γὰρ ποῦ κεῖται Λάζαρος ἀνθρωποπρεπῶς·

[05526] ἤγειρε δὲ αὐτὸν, ὡς Θεός.

[05527] Καὶ τῇ μὲν μητρὶ λεγούσῃ, Οἶνον οὐκ ἔχουσιν, ἐπέπληττεν ὡς ἄνθρωπος·

[05528] τὸ δὲ ὕδωρ εὐθὺς εἰς οἶνον μετεποίει.

[05529] Θεὸς γὰρ ἦν ἀληθινὸς ἐν σαρκὶ, καὶ σὰρξ ἀληθῶς ἐν Θεῷ.

[05530] Δι' ὧν οὖν ἔδει γνωρίζεσθαι Θεὸν, ταῦτα θεϊκῶς ἐνεργεῖ·

[05531] καὶ ἀφ' ὧν ἦν ἀναγκαίως ἄνθρωπον ὄντως ὁρᾶσθαι, ταῦτα ποιεῖ καὶ λέγει, οἰκονομῶν τῷ μυστηρίῳ τὴν ἀλήθειαν.

[05532] Ἀποδιδόσθω τοίνυν Θεῷ τὰ Θεῷ χρεωστούμενα, καὶ τῇ ἀνθρωπότητι τὰ αὐτῇ πρέποντα καὶ ὀφειλόμενα, καὶ οὕτως ἔξω παντὸς σκανδάλου καὶ πλάνης ὁ εἰς αὐτὸν πιστεύων γενήσεται.

[05533] ΑΛΛΟ.

[05534] Ὡς ἐξ ἀντιθέσεως.

[05535] Πάντα μοι, φασὶ, παρεδόθη ὑπὸ τοῦ Πατρός μου.

[05536] Ὁ δὲ πάντα παρ' ἑτέρου λαβὼν, δῆλός ἐστιν οὐδὲν ἔχων ἐξ ἑαυτοῦ·

[05537] ὁ δὲ τοιοῦτος, πῶς ἔσται κατ' οὐσίαν ὅμοιος τῷ πάντα ἔχοντι Θεῷ καὶ Πατρί;

[05538] Πρὸς τοῦτο λύσις, ὡς διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς.

[05539] Εἰ πάντα λαβὼν ὁ Υἱὸς, οὐδὲν ἔχων ἐξ ἑαυτοῦ φαίνεται, πάντα δοὺς ὁ Πατὴρ, οὐδὲν ἔχει νῦν ἐν ἑαυτῷ.

[05540] Ἀλλὰ τοῦτο ἄτοπον·

[05541] πῶς γὰρ ἔρημος ἔσται τῶν προσόντων αὐτῷ φυσικῶς ὁ Πατήρ;

[05542] Ἔχει δὲ πάντα, καὶ δοὺς αὐτὰ τῷ Υἱῷ δηλονότι·

[05543] κἂν ὁ Υἱὸς εἰληφέναι λέγῃ, χρόνος ἦν οὐδεὶς ὅτε τούτων ἔρημος ἦν.

[05544] Λαμβάνει μὲν γὰρ κατὰ τὸ σχῆμα τὸ ἀνθρώπινον·

[05545] ἔχει δὲ αὐτὰ φυσικῶς, ὥσπερ καὶ ὁ Πατήρ.

[05546] ΑΛΛΟ.

[05547] Λέγει που Χριστός·

[05548] Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν, καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ κρίσιν ποιεῖν, ὅτι Υἱὸς ἀνθρώπου ἐστίν.

[05549] Εἰ τοίνυν ἐξουσίαν τοῦ κρίνειν λαμβάνει, οὐ διά τινα πρόφασιν ἑτέραν, ἀλλ' ὅτι μόνον Υἱὸς ἀνθρώπου ἐστὶν, οὐχ ᾗ Λόγος ἐστὶ καὶ Θεὸς ὁ Υἱὸς λαμβάνει, ἀλλὰ καθὸ γέγονεν ἄνθρωπος.

[05550] Λογιστέον οὖν τῇ μὲν ἀνθρωπότητι τὸ λαβεῖν, τῇ δὲ θεότητι τοῦ Υἱοῦ, τὸ πάντα κεκτῆσθαι φυσικῶς τὰ τοῦ γεννήσαντος αὐτόν.

[05551] Οὕτω γὰρ ἂν εἴη καὶ εἰκὼν ἀπαράλλακτος τοῦ Πατρός.

[05552] ΛΟΓΟΣ ΚΔʹ.

[05553] Εἰς τὰ λεγόμενα περὶ τοῦ Σωτῆρος ἀνθρωπίνως παρὰ τοῖς εὐαγγελισταῖς, εἰς τὸ, Ἔκλαυσε·

[05554] καὶ εἰς τὸ, Νῦν ἡ ψυχή μου τετάρακται·

[05555] καὶ εἰς τὸ, Εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο·

[05556] καὶ εἰς τὸ, Περίλυπός ἐστιν ἡ ψυχή μου·

[05557] καὶ ὅσα τούτοις ὅμοια ῥητὰ, παραθέσεις ἀποδεικτικαὶ καὶ ἀπὸ τῆς θείας Γραφῆς, τῶν χριστομάχων ἀνατρέπου σαι τὴν κακόνοιαν.

[05558] Εἰ παρά τινος τῶν τυχόντων ἢ καὶ ἀνθρώπου ψι [75.392] λοῦ τὰς τοιαύτας εἰρῆσθαι πιστεύομεν φωνὰς, κλαιέτω μὲν ὡς ἄνθρωπος, καὶ φοβείσθω πάλιν καὶ δειλιάτω τὸν θάνατον, καὶ γινέσθω περίλυπος, καὶ ταραττέσθω, καὶ ὅσα πέφυκεν ἡ ἀνθρώπου φύσις ὑπομένειν, ταῦτα καὶ αὐτός.

[05559] Εἰ δὲ Θεὸς ἦν ἐν σαρκὶ, ἦν δὲ τοῦτο, καὶ οὐχ ἑτέρως, τίνα φοβεῖται Θεός;

[05560] Εἰ ἀληθὴς ἦν λέγων, Ἐγώ εἰμι ἡ ζωὴ, κατὰ τίνα τρόπον φοβεῖται τὸν θάνατον ἡ ζωή;

[05561] Εἰ ἄλλους ἐκ θανάτου διέσωσε, πῶς δὲ αὐτὸς ἐφοβεῖτο τὸν θάνατον, ὁ τοὺς μαθητὰς ἐπαλείφων εἰς φρόνημα νεανικὸν, καὶ λέγων·

[05562] Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι;

[05563] Πῶς ἂν αὐτὸς ἐφοβεῖτο τοῦτο παθεῖν, εἰ τὸν Ἀβραὰμ παραθαρσύνει, λέγων·

[05564] Μὴ φοβοῦ, ὅτι μετὰ σοῦ εἰμι;

[05565] Εἰ Μωσέα γοργότερον ἐποίει κατὰ τοῦ Φαραὼ, καὶ πρὸς Ἰησοῦν τὸν τοῦ Ναυῆ λέγει·

[05566] Ἴσχυε καὶ ἀνδρίζου, πῶς αὐτὸς δειλίας ἔσται δεκτικὸς, ἢ πῶς ἀνθρώπους ἐφοβήθη, ὁ ἄλλοις συμβουλεύων εἰς τὸ μὴ φοβεῖσθαι, καὶ πείθων βοᾷν·

[05567] Κύριος ἐμοὶ βοηθὸς, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος;

[05568] Πῶς δὲ ὁ εἰς τοῦτο παρελθὼν, ἵνα τὸν θάνατον ἀποκτείνῃ, αὐτὸς ἐφοβεῖτο τὸν καθ' οὗ παραγέγονεν;

[05569] Ἢ πῶς οὐ πάσης ἐπέκεινα δυσσεβείας ἐστὶ τὸ λέγειν φοβεῖσθαι τὸν ᾅδην, ὃν οἱ τούτου πυλωροὶ καὶ μόνον ἰδόντες κατέπτηξαν, καὶ τὰς ἀφύκτους πετάσαντες πύλας, ἀφῆκαν τὰ ἐναποκλεισθέντα πνεύματα, ὡς ἀναστῆναι τῶν ἁγίων πολλοὺς, καὶ εἰσελθεῖν εἰς τὴν πόλιν, καθὰ γέγραπται, καὶ ὀφθῆναί τισι;

[05570] Πῶς ἐφοβεῖτο τὸν θάνατον ὁ ἐν τῷ ζητεῖσθαι λέγων πρὸς τοὺς παραγεγονότας αὐτὸν συλλαβέσθαι·

[05571] Ἐγώ εἰμι;

[05572] Πῶς ἐφοβεῖτο τὸν θάνατον ὁ λέγων·

[05573] Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου καὶ πάλιν ἐξουσίαν ἔχω λαβεῖν αὐτήν·

[05574] καί·

[05575] Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ;

[05576] Οὐκ ἦν οὖν ἄρα καθ' ἑαυτὸν ὁ τοῦ Θεοῦ Λόγος ὁ τὸν θάνατον ὑποπτήξας·

[05577] ἀλλ' ἦν ἐν αὐτῷ τὸ ἀνθρώπινον πεφυκὸς τοῦτο πάσχειν ἀεί.

[05578] ΑΛΛΟ, διηγηματικῶς.

[05579] Ἀνάγκη πᾶσα τοὺς ὀρθῶς ἐθέλοντας νοεῖν τὰ παρὰ ταῖς θείαις εἰρημένα Γραφαῖς περὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, τὸν καιρὸν ἐξετάζειν καὶ τοὺς χρόνους καθ' οὓς ἢ αὐτὸς εἰρηκώς τι περὶ ἑαυτοῦ φαίνεται, ἢ αἱ θεῖαι Γραφαὶ περὶ αὐτοῦ.

[05580] Εἰ μὲν οὖν πρὶν γένηται σὰρξ ὁ τοῦ Θεοῦ Λόγος, ἢ κλαύσας ὁρᾶται πώποτε, ἢ θάνατον φοβηθεὶς, ἢ ἕτερόν τι τῶν ἀνθρωπίνων ὑπομείνας, κρατείτω καὶ νῦν τὰ εἰρημένα περὶ αὐτοῦ.

[05581] Εἰ δὲ ὅτε γέγονεν ἄνθρωπος, τότε καὶ τὰς τοιαύτας φωνὰς περὶ αὐτοῦ εἰρήκασιν αἱ θεῖαι Γραφαὶ, τί μὴ μᾶλλον ἀνθρωπίνως εἰρῆσθαι τὰ τοιαῦτα φήσομεν, ἵνα τὸ ἐκ τῆς βλασφημίας διαφύγωμεν κακόν;

[05582] ΑΛΛΟ.

[05583] Ὡς ἐξ ἀντιθέσεως τῶν χριστομάχων.

[05584] Ὁ κλαύσας, φασὶ, καὶ φοβηθεὶς, καὶ περίλυπος γεγονὼς, πῶς ἔσται φύσει Θεός;

[05585] Ἀνθρώπων γὰρ ἴδια τὰ τοιαῦτα.

[05586] [75.393] Πρὸς τοῦτο λύσις.

[05587] Ὁ τὸν Λάζαρον ἀναστήσας ἐκ νεκρῶν, καὶ τὸ ὕδωρ εἰς οἶνον μεταποιήσας, καὶ τὸ βλέπειν χαρισάμενος τῷ ἐκ γενετῆς τυφλῷ, εἰρηκώς τε ὅτι Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, πῶς οὐκ ἔσται φύσει Θεός;

[05588] Θεότητος γὰρ ἔργα φαίνεται τὰ γενόμενα.

[05589] Εἰ δὲ ἐκ τῶν ἀνθρωπίνως εἰρημένων ἢ καὶ γενομένων σκανδαλίζεσθε, διὰ ποίαν αἰτίαν οὐκ ὠφελεῖσθε δι' ἐκείνων, ὅσα καὶ ποιήσας καὶ λαλήσας θεοπρεπῶς εὑρίσκεται;

[05590] Καὶ πάλιν, εἰ δι' ἐκείνων εἰς τὸ νοεῖν τι ταπεινὸν περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ καταβαίνετε, τί μὴ διὰ τούτων εἰς τὸ μεγάλα καὶ ὑψηλὰ νοεῖν ἀναβαίνετε;

[05591] Ὁ γὰρ ἐκεῖνα ταπεινῶς εἰρηκώς τε καὶ παθὼν, καὶ ταῦτα ὑψηλῶς, ὡς Θεὸς, εἶπέ τε καὶ πέπραχεν.

[05592] Οὐκοῦν ἡ τῆς ἐνανθρωπήσεως αἰτία, καὶ ἡ τῆς ἐνσάρκου παρουσίας οἰκονομία, πρόφασις ἦν ἀναγκαία τοῦ γενέσθαι τινὰ καὶ ἀνθρώπινα.

[05593] ΑΛΛΟ.

[05594] Ἐξεταζέσθω τῆς ἐνσάρκου παρουσίας ἡ οἰκονομία, καὶ τῆς ἐνανθρωπήσεως ὁ τρόπος, καὶ πόῤῥω παντὸς κείσονται σκανδάλου τινὲς τῶν ἀκροωμένων, ὅσα περὶ τοῦ Σωτῆρος ἀνθρωπινώτερον λέγουσιν αἱ θεῖαι Γραφαί.

[05595] Σκοπὸς τοίνυν τῷ ἐνανθρωπήσαντι Λόγῳ δεῖξαι σαφῶς, ὅτιπερ ὄντως σάρκα περιεβάλλετο, καὶ γέγονεν ἄνθρωπος, οὐκ ἀποβαλὼν τὸ εἶναι Θεὸς Λόγος (οὐ γὰρ ἦν ἑτέρως διασωθῆναι τὸ ἀνθρώπινον γένος)·

[05596] ἀλλ' ἵνα μή τις ἀκούων ὅτι γέγονε σὰρξ, μεταπεποιῆσθαι τὸν ἄτρεπτον τοῦ Θεοῦ Λόγον ὑπολάβῃ, καὶ ἕτερόν τι γενέσθαι παρ' ὅπερ ἦν ἐξ ἀρχῆς, ἀναγκαίως ποτὲ μὲν τὰς ἀνθρώπῳ πρεπούσας ἀφίησι φωνάς·

[05597] ποτὲ δὲ δεικνύει πράγματα θεότητι μόνῃ χρεωστούμενα, ἵνα νοῆται τὸ συναμφότερον.

[05598] Ὅθεν οὖν ἔδει φαίνεσθαι σαφῶς, ὅτιπερ ὄντως ἄνθρωπος εἴη, καὶ οὐ φάντασμα, ἐκεῖθεν αὐτὸ δεικνύειν ἐπείγεται.

[05599] Ἁμαρτία μὲν γὰρ, ὡς ἀναμάρτητος, καὶ οὐκ εἰδὼς τοῦτο παθεῖν, παραιτεῖται δικαίως·

[05600] ἐπιτρέπει δὲ τῷ σώματι καὶ τῇ ἀνθρωπότητι τὰ τῇ φύσει αὐτῇ προσόντα παθεῖν, εἰς ἀπόδειξιν τοῦ ὄντως καὶ κατὰ ἀλήθειαν φορέσαι σάρκα, καὶ ἄνθρωπον γενέσθαι, κατὰ τὰς Γραφάς.

[05601] Ἐπειδὴ δὲ, καθάπερ ἤδη προειρήκαμεν, ἐχρῆν αὐτὸν καὶ ἐν σαρκὶ γεγονότα φαίνεσθαι Θεὸν, ἐργάζεται μὲν ἔσθ' ὅτε τὰ πρέποντα Θεῷ, λέγει δὲ πρὸς τοὺς ὁρῶντας αὐτόν·

[05602] Εἰ ἐμοὶ οὐ πιστεύετε, διὰ τὸ ἄνθρωπον βλέπειν δηλονότι, ἀλλὰ τοῖς ἔργοις μου πιστεύετε·

[05603] ἵνα γνῶτε ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί.

[05604] Οὐκοῦν τὰ θεοπρεπῶς εἰρημένα τε καὶ πεπραγμένα δεικνύει τὸν Σωτῆρα Θεόν.

[05605] Καὶ πάλιν τὰ ἀνθρωπίνως εἰρημένα τε καὶ γεγονότα δεικνύει κατὰ ἀλήθειαν ἄνθρωπον.

[05606] Αὕτη γάρ ἐστιν ἡ τοῦ μυστηρίου δύναμις.

[05607] ΑΛΛΟ.

[05608] Πανταχόθεν ἀναισχυντοῦντες οἱ χριστομάχοι φανοῦνται, καὶ σκοπὸν ἔχοντες ἕνα τὸ μάτην διαλοιδορεῖσθαι τῷ Υἱῷ τοῦ Θεοῦ.

[05609] Ἀκούοντες μὲν γὰρ λέγοντος αὐτοῦ·

[05610] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ἀπειθοῦ [75.396] σιν ἀβούλως, καὶ πειρῶνται τὸ εἰρημένον εἰς ἑτέρας περιέλκειν ἐννοίας, οὐκ ἀποδιδόντες τῷ Υἱῷ τὸ ἓν εἶναι Πατρὸς (πρὸς) τὸν Πατέρα, ἀλλὰ τὸ καλῶς τε καὶ ὀρθῶς εἰρημένον ἐπιχειροῦντες παραλύειν.

[05611] Εὑρίσκοντες δὲ πάλιν ἐν τοῖς Εὐαγγελίοις τὰ ὅσαπερ ὡς ἄνθρωπος ἢ πέπονθεν ἢ καὶ εἰρηκὼς φαίνεται, οἷον τὸ ἔκλαυσεν ἢ καὶ ἐλυπήθη, καὶ τὰ τούτοις ὅμοια, οὐ φέρουσιν ἐπὶ τὴν ἀνθρωπότητα, ἀλλ' εὐθὺς τῷ Λόγῳ ταῦτα προσάπτοντες, ἀπόδειξιν ποιοῦνται τοῦ μὴ εἶναι Θεὸν τὸν ταῦτα πεπονθότα·

[05612] ὥστε καὶ αὐτὸν συναριθμεῖσθαι τῇ κτίσει, τὸν ταύτης ὄντα ποιητήν.

[05613] Ἡ τοίνυν ἀπόδος τῷ Υἱῷ τὸ ἓν εἶναι πρὸς τὸν Πατέρα, καὶ οὐχ εὑρήσεις τὸν ἐν ἰσότητι τοῦ Πατρὸς ὄντα Λόγον καθ' ἑαυτὸν, ᾗ Λόγος ἐστὶ, κλαίοντα ἢ λυπούμενον, ἢ φόβῳ βαλλόμενον·

[05614] ἢ εἰ μὴ πιστεύεις λέγοντι αὐτῷ, ὅτιπερ ἕν ἐστι πρὸς τὸν ἑαυτοῦ Πατέρα, μηδὲ ὅτι λελύπηται λέγοντι πιστεύσῃς·

[05615] καὶ οὕτως ἔσῃ μετὰ τῶν ἀπίστων Ἰουδαίων, οὐδὲν ὅλως τῶν παρὰ τοῦ Σωτῆρος εἰρημένων δεχόμενος.

[05616] ΑΛΛΟ.

[05617] Λέγει που Παῦλος περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ·

[05618] Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος.

[05619] Γέγονεν οὖν ἄνθρωπος ὁ τοῦ Θεοῦ Λόγος·

[05620] οὐκ εἰς ἄνθρωπον ἦλθεν, ὥσπερ ἐν τοῖς προφήταις·

[05621] ἀλλ' ὄντως τοῦτο γέγονεν ὅπερ καὶ ἡμεῖς, δίχα μόνης ἁμαρτίας.

[05622] Ἔστιν οὖν Θεὸς μὲν, ᾗ Λόγος ἐστὶ τοῦ Πατρὸς, καὶ τῆς οὐσίας αὐτοῦ τὸ ἴδιον·

[05623] ἄνθρωπος δὲ, καθὸ γέγονε σὰρξ, ὡς γέγραπται, καὶ τὴν ἡμῶν περιεβάλετο σάρκα.

[05624] Ὅρον οὖν ἐχούσης τοῦτον τῆς πίστεως τῆς περὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, διακρινέσθωσαν αἱ περὶ αὐτοῦ φωναὶ κατὰ τὸν λόγον τὸν πρέποντα.

[05625] Κἂν ἀκούσης·

[05626] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, μίαν ὅρα τὴν θεότητα τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς, καὶ Θεὸν ἐννόει τὸν Υἱὸν ἐκ τῆς οὐσίας ὄντα τοῦ Πατρός.

[05627] Ἐὰν δὲ πάλιν ἀκούσης περὶ αὐτοῦ, ὅτι ἔκλαυσε καὶ ἐλυπήθη, καὶ ἐπτοήθη, καὶ ἀδημονεῖν ἤρξατο, ἐννόει πάλιν ἄνθρωπον ὄντα μετὰ τὸ εἶναι Θεὸν, καὶ ἀνατίθει τῇ ἀνθρωπότητι τὰ αὐτῇ χρεωστούμενα.

[05628] Ἐπειδὴ γὰρ θνητὸν καὶ φθαρτὸν ἀπέλαβε σῶμα, καὶ τοῖς τοιούτοις πάθεσιν ὑποκείμενον, ἀναγκαίως μετὰ τῆς σαρκὸς καὶ τὰ αὐτῆς ἰδιοποιεῖται πάθη καὶ αὐτῆς ὑπομενούσης αὐτὰ, ὡς αὐτὸς ὑπομένων λέγεται.

[05629] Οὕτως γάρ φαμεν ὅτι καὶ ἐσταυρώθη καὶ ἀπέθανε, τοῦτο παθούσης τῆς σαρκὸς, οὐκ ἰδίᾳ καὶ καθ' ἑαυτὸν τοῦ Λόγου·

[05630] ἀπαθὴς γάρ ἐστι καὶ ἀθάνατος.

[05631] Οὐκοῦν ὀρθοδόξως ἐκληψόμεθα τὰ εἰρημένα, τῇ μὲν θεότητι νέμοντες τὰ θεοπρεπῆ, ἀνατιθέντες δὲ τῇ σαρκὶ τὰ δι' αὐτὴν καὶ ὡς ἐξ αὐτῆς εἰρημένα διὰ τῶν ἐν ἡμῖν φυσικῶν κινημάτων·

[05632] ὧν ὁ νοῦς ἔχων τὴν αἴσθησιν, ἀναβλύζει διὰ γλώττης τὰ ἐν βάθει κατὰ τὸ ἀφανὲς ἀφώνως ψιθυριζόμενα.

[05633] ΑΛΛΟ, διηγηματικῶς.

[05634] Γέγονεν ἄνθρωπος ὁ τοῦ Θεοῦ Λόγος οὐ διά τινα πρόφασιν ἑτέραν, ἀλλ' ἵνα πάντα τὰ ἑαυτοῦ ταῖς ἡμῶν [75.397] ἀσθενείαις ἀναμίξας τρόπον τινὰ καὶ συγκεράσας, νευρώσῃ τὴν ἀνθρώπου φύσιν, καὶ πρὸς τὴν ἑαυτοῦ μεταποιήσῃ στεῤῥότητα.

[05635] Ὅταν οὖν φαίνηται δειλιῶν τὸν θάνατον καὶ λέγων·

[05636] Εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, ἐννόει πάλιν ὅτι δειλιῶσα τὸν θάνατον ἡ σὰρξ, ἐδιδάσκετο φορουμένη παρὰ τοῦ Λόγου μηκέτι τοῦτο πάσχειν.

[05637] Ἔλεγε γὰρ πρὸς τὸν Πατέρα·

[05638] Οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ.

[05639] Οὐκ ἐφοβεῖτο μὲν γὰρ, καθὸ Λόγος ἐστὶ καὶ Θεὸς, τὸν θάνατον αὐτὸς, ἀλλ' εἰς τέλος διεξάγειν τὴν οἰκονομίαν ἠπείγετο.

[05640] Τοῦτο γὰρ ἦν τὸ θέλημα τοῦ Πατρός.

[05641] Ἔχει δὲ καὶ τὸ μὴ θέλειν ἀποθανεῖν, διὰ τὸ παραιτεῖσθαι τῆς σαρκὸς τὸν θάνατον φυσικῶς.

[05642] Διδάσκων τοίνυν τὴν ἀνθρωπότητα μηκέτι τὰ αὐτῇ προσόντα φρονεῖν, ἀλλὰ τὸ τοῦ Θεοῦ θέλημα ζητεῖν ὡς ἄνθρωπος λέγει·

[05643] Οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ.

[05644] Διὰ τοῦτο γὰρ φαίνεται καὶ προσθείς·

[05645] Τὸ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.

[05646] ΑΛΛΟ.

[05647] Εἰ θανάτου καταφρονοῦντας οὕτως εὑρίσκομεν τοὺς ἁγίους, ὡς οἴεσθαι μᾶλλον εἰς ζωὴν μεταβαίνειν, εἴ τις αὐτοὺς πρὸς τὸ τοῦ παθεῖν καλοίη καιρὸς, ἀνδρεῖοί τε ὄντως εἰσὶ, διὰ τὸ ἔχειν ἐν ἑαυτοῖς, εἰς τὸν ἔσω ἄνθρωπον, καθὰ γέγραπται, κατοικοῦντα τὸν Χριστὸν, πῶς δειλιᾷ τὸν θάνατον ὁ τοὺς ἄλλους διδάσκων θανάτου καταφρονεῖν;

[05648] Πῶς δὲ οὐκ ἄτοπον θαυμάζειν μὲν τὴν ἀνδρίαν τῶν ἐχόντων ἐν ἑαυτοῖς τὸν Λόγον, αὐτὸν δὲ οἴεσθαι τὸν Λόγον ἀσθενῆ καὶ ἄνανδρον ὑπάρχειν οὕτως, ὡς καὶ φόβῳ κρατεῖσθαι καὶ τῷ τῆς δειλίας νοσήματι;

[05649] ΑΛΛΟ.

[05650] Τῷ οἰκείῳ θανάτῳ τὸν θάνατον κατήργησεν ὁ Σωτήρ.

[05651] Ὥσπερ οὖν οὐκ ἂν ὁ θάνατος κατηργήθη μὴ ἀποθανόντος αὐτοῦ, οὕτως ἐφ' ἑκάστου τῶν τῆς σαρκὸς παθῶν.

[05652] Εἰ μὴ γὰρ ἐδειλίασεν, οὐκ ἂν ἐλευθέρα τοῦ δειλιᾷν ἡ φύσις ἐγένετο, εἰ μὴ ἐλυπήθη, οὐκ ἂν ἀπηλλάχθη τοῦ λυπεῖσθαί ποτε, εἰ μὴ ἐταράχθη, οὐκ ἂν ἔξω ποτὲ τούτων ἐγένετο.

[05653] Καὶ ἐφ' ἑκάστῳ τῶν ἀνθρωπίνως γεγονότων τὸν αὐτὸν ἐφαρμόζων λόγον, εὑρήσεις ἐν Χριστῷ τὰ τῆς σαρκὸς πάθη κεκινημένα, οὐχ ἵνα κρατήσῃ ὥσπερ καὶ ἐν ἡμῖν, ἀλλ' ἵνα κινηθέντα καταργηθῇ τῇ δυνάμει τοῦ ἐνοικήσαντος τῇ σαρκὶ Λόγου, πρὸς τὸ ἄμεινον μεταποιουμένης τῆς φύσεως.

[05654] ΑΛΛΟ, εἰς τὸ, Θεέ μου, Θεέ μου.

[05655] Ἐπὶ τῷ σταυρῷ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ καυχώμεθα, καὶ πιστεύομεν διὰ τοῦτο σεσῶσθαι, ὅτιπερ ὁ τοῦ Θεοῦ Λόγος ἄνθρωπος γεγονὼς δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ἐσταυρώθη, ἵνα τὸν ἐν ἡμῖν καταργήσῃ θάνατον, καὶ πάλιν ἡμᾶς ἑαυτῷ συναναστήσῃ, ἀπὸ τῆς φθορᾶς εἰς ἀφθαρσίαν μεταβαλών.

[05656] Ἔδει τοίνυν καὶ παρ' αὐτὸν τὸν τοῦ πάθους καιρὸν ἄνθρωπον ὄντως γεγονότα φαίνεσθαι, καὶ οὐ κατά τινα φαντασίαν ὑπονοεῖσθαι ὡς ἄνθρωπον.

[05657] Καὶ διὰ ταύτην τὴν αἰτίαν ἐλάλει μὲν τὰ ἀνθρώπῳ πρέποντα·

[05658] Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες;

[05659] καὶ, Παρελθέτω ἀπ' [75.400] ἐμοῦ τὸ ποτήριον.

[05660] Ἐδείκνυ δὲ διὰ τῶν ἔργων ὅτι Θεός ἐστιν, ὁ δι' ἡμᾶς ἐνανθρωπήσας, καὶ ταῦτα ὑπομένων ἐν τῷ σταυρῷ, διὰ τὴν ἁπάντων ἡμῶν σωτηρίαν·

[05661] συνέστελλε μὲν γὰρ τὴν ἡλιακὴν ἀκτῖνα, καὶ σκότῳ περιέβαλλε τὸν οὐρανὸν, ἔσχιζε δὲ τὰς πέτρας, καὶ τὴν γῆν καὶ τὸ καταπέτασμα τοῦ ναοῦ·

[05662] ἕτερά τε πρὸς τούτοις ἐποίει μεγάλα, ἵνα Θεὸς ἐνανθρωπήσας φαίνηται.

[05663] Καὶ γοῦν οἱ σταυρώσαντες καὶ πάλαι γελῶντες αὐτὸν, τὰ γενόμενα θεϊκῶς ὁρῶντες ἔλεγον·

[05664] Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος.

[05665] ΑΛΛΟ.

[05666] Ἄνθρωπος γέγονεν ὁ τοῦ Θεοῦ Λόγος, οὐχ ἵνα πάλιν ὡς Θεὸς πρὸ τῆς ἐνανθρωπήσεως πάντα πράττῃ καὶ λαλῇ, ἀλλ' ἵνα πολλάκις καὶ διὰ τὴν χρείαν τῆς μετὰ σαρκὸς οἰκονομίας καὶ ὡς ἄνθρωπος λέγῃ τινά.

[05667] Ταύτην ἔχοντος τοῦ μυστηρίου τὴν δύναμιν, πῶς οὐκ ἄτοπον σκανδαλίζεσθαι τοὺς ἀκροωμένους ἀνθρωπινώτερον ἔσθ' ὅτε λαλοῦντος αὐτοῦ;

[05668] Λαλεῖ γὰρ ὡς ἄνθρωπος, λαλεῖ δὲ καὶ ὡς Θεὸς, ἔχων ἐν ἀμφοτέροις τὴν ἐξουσίαν.

[05669] Ἀνθρωπίνως μὲν γὰρ ἔλεγε·

[05670] Νῦν ἡ ψυχή μου τετάρακται, θεϊκῶς δὲ πάλιν·

[05671] Ἐξουσίαν ἔχω θεῖναι αὐτὴν, καὶ πάλιν ἐξουσίαν ἔχω λαβεῖν αὐτήν.

[05672] Τὸ μὲν οὖν ταράττεσθαι, τῆς σαρκὸς ἴδιον πάθος·

[05673] τὸ δὲ ἐξουσίαν ἔχειν θεῖναί τε καὶ πάλιν λαβεῖν, τῆς τοῦ Λόγου δυνάμεως ἔργον ἐστίν.

[05674] Ὥσπερ οὖν ὅταν λέγῃ τι θεϊκῶς, καίτοι φαινόμενος ἄνθρωπος, οὐ σκανδαλιζόμεθα, ἀλλ' ἐννοοῦμεν τὸν ἐνοικοῦντα τῇ σαρκὶ Λόγον·

[05675] οὕτως ὅταν τι λαλῇ καὶ ὡς ἄνθρωπος, μὴ σκανδαλιζώμεθα, ἐννοοῦντες ὅτι δι' ἡμᾶς γέγονεν ἄνθρωπος, καὶ τὰ τῇ ἀνθρωπότητι πρέποντα λαλεῖ.

[05676] ΑΛΛΟ.

[05677] Διὰ πολλὴν καὶ ἄμετρον φιλανθρωπίαν ἑαυτὸν ἡμῖν ἐκέρασεν ὁ τοῦ Θεοῦ Λόγος·

[05678] οὐχ ἵνα μεταποιηθῇ πρὸς τὸ ἡμέτερον αὐτὸς, ἄτρεπτος γάρ ἐστι καὶ ἀλλοίωσιν οὐκ εἰδὼς, ἀλλ' ἵν' ἡμᾶς ἀναμίξας ἑαυτῷ, μεταβάλῃ πρὸς τὸ οἰκεῖον.

[05679] Ὥσπερ γὰρ ἡμεῖς αὐτὸν δεξάμενοι διὰ τὸ ἐνοικῆσαι σαρκὶ, πάντα λοιπὸν ἔχομεν τὰ αὐτοῦ·

[05680] καὶ γὰρ καὶ υἱοὶ κεκλήμεθα καὶ θεοὶ, εἰ καὶ μὴ φυσικῶς ὥσπερ αὐτὸς, ἀλλά γε κατὰ χάριν·

[05681] οὕτω καὶ αὐτὸς, ὅτε πρὸς ἡμᾶς ἀνεμίχθη γενόμενος ἄνθρωπος, ἐφόρεσε τὰς ἀσθενείας ἡμῶν·

[05682] καὶ ὡς αὐτὸς πεπονθὼς νενόμισται ἰδιοποιούμενος μετὰ τοῦ ἀναληφθέντος ναοῦ καὶ τὰ ἐν αὐτῷ, ἵνα καὶ ἐν ἡμῖν νεκρωθῇ τὰ τῆς σαρκὸς πάθη, τρεχόντων εἰς ὁμοιότητα τοῦ τὰ ἡμῶν δι' ἡμᾶς εἰς ἑαυτὸν ἀναλαβόντος Χριστοῦ.

[05683] ΑΛΛΟ.

[05684] Φησί που Θεὸς διὰ τῶν ἁγίων προφητῶν, ἐπί τισιν ἁμαρτίαις τοὺς ἐξ Ἰσραὴλ καταιτιώμενος, ὅτι Τὰ τέκνα αὐτῶν διῆγον διὰ πυρὸς, ὃ οὐκ ἐνετειλάμην αὐτοῖς, καὶ οὐ διενοήθην ἐν τῇ καρδίᾳ μου.

[05685] Καὶ πάλιν ὡς πρὸς τὴν Ἱερουσαλήμ·

[05686] Καὶ ἐλύπεις με ἐν πᾶσι τούτοις.

[05687] Καὶ πάλιν ἐφ' ἑτέροις κακοῖς·

[05688] Μὴ [75.401] ἐπὶ τούτοις οὐκ ὀργισθήσομαι, λέγει Κύριος, ἢ ἐν λαῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου;

[05689] Δήλου τοιγαροῦν ὑπάρχοντος ἅπασιν ὡς ὁ τοῦ Θεοῦ Λόγος ἦν ὁ ἐν τοῖς προφήταις τὰ τοιαῦτα λαλῶν, τί ποιήσουσιν οἱ χριστομάχοι;

[05690] Ψυχὴν ἄρα καὶ καρδίαν περιθήσουσιν αὐτῷ, ἐροῦσι δὲ τῷ τῆς λύπης κρατεῖσθαι πάθει καὶ τῷ τῆς ὀργῆς, ἵνα μὴ πλέον τι ἔχων ἀνθρώπου φαίνηται, ὁ ὑπὲρ πᾶσαν γενητὴν φύσιν ὑπάρχων τοῦ Θεοῦ Λόγος, καὶ τοσοῦτος ὅσος καὶ ὁ Πατήρ;

[05691] Ἀλλ' ἴσως τοῦτο μὲν παραιτήσονται·

[05692] ἐροῦσι δὲ εἰρῆσθαι τὰ τοιαῦτα παρὰ τοῦ Λόγου τροπικῶς τε καὶ συγκαταβατικῶς.

[05693] Εἰ τοίνυν πρὸ τῆς ἐπιδημίας τὰ τοιαῦτα λέγοντι τῷ Υἱῷ τοῦ Θεοῦ, τὸ αὐτῷ πρέπον ἀξίωμα σώζομεν, ἄνω καὶ λύπης καὶ ὀργῆς καὶ παντὸς πάθους ὑπάρχειν αὐτὸν διαβεβαιούμενοι, κἂν διὰ τὸ χρήσιμον ὑπομένειν αὐτὰ προσποιῆται, πῶς οὐκ ἄτοπον, ὅτε γέγονεν ἄνθρωπος καὶ ἐν τῇ ταῦτα πασχούσῃ σαρκὶ καταβέβηκε, μὴ συγχωρεῖν αὐτῷ τὰ τοιαῦτα λέγοντι μένειν ἐν ἀπαθείᾳ, ἐχούσης αὐτὰ φυσικῶς τῆς σαρκὸς, ἣν δι' ἡμᾶς ἀνέλαβε μετὰ πάντων τῶν αὐτῇ προσόντων φυσικῶς;

[05694] Ἀνθρωπότητος δὲ ἴδιον, τὸ κλαίειν, καὶ ταράττεσθαι, καὶ ἀδημονεῖν, καὶ παραιτεῖσθαι τὸν θάνατον, καὶ τὰ τούτοις ὅμοια πάσχειν.

[05695] ΛΟΓΟΣ ΚΕ΄.

[05696] Εἰς τὸ, Πρωτότοκος πάσης κτίσεως, ὅτι οὐ κτίσμα ὁ Υἱός.

[05697] Ἀντίθεσις ἐκ τῶν χριστομάχων.

[05698] Εἰ μὴ κτίσμα, φασὶν, ὑπάρχει ὁ Υἱὸς, οὐκ ἂν ἐκλήθη πρωτότοκος πάσης κτίσεως·

[05699] ὡς γὰρ πολλὴν ἔχων πρὸς τὰ γεγονότα τὴν εὐγένειαν, εἰ καὶ πρῶτος αὐτῶν εἴη καὶ πρὸ πάντων ἐστὶ, καὶ ταύτῃ κέκληται τῇ ἐπωνυμίᾳ.

[05700] Πρὸς τοῦτο λύσις.

[05701] Πρὸς μὲν τὰ τοιαῦτα τῶν αἱρετικῶν προβλήματα οὐ χαλεπὸν ἀντιλέγειν.

[05702] Ἐκεῖνο δὲ χρὴ πρῶτον εἰπεῖν·

[05703] Εἰ τὸ πρωτότοκος ὄνομα συγκατατάττει τῇ κτίσει τὸν Υἱὸν, ὑπεξελεῖται πάντως αὐτὸν ἡ τοῦ Μονογενοῦς προσηγορία·

[05704] ὥσπερ γὰρ οὐκ ἄν τις καλοῖτο πρωτότοκος, εἰ μὴ πολλοὺς ἔχοι τοὺς ἀδελφοὺς, ὧν ἐστι καὶ πρωτότοκος, οὕτως οὐκ ἂν εἴη μονογενὴς, εἰ μὴ μόνος ὑπάρχοι, ἑτέροις τισὶν οὐ συναριθμούμενος.

[05705] Πῶς οὖν ἐστι καὶ πρωτότοκος καὶ μονογενής;

[05706] Δεῖ γὰρ ἢ ἐκεῖνο κρατεῖν ἢ τοῦτο.

[05707] Ἐπειδὴ δὲ ἡ θεία Γραφὴ ἀμφοτέροις αὐτὸν ἀποκαλεῖ τοῖς ὀνόμασι, ζητεῖν ἀναγκαῖον τοὺς ὅσοι ταῖς θείαις Γραφαῖς προσβάλλουσιν ἀκριβῶς, πῶς μὲν ἔσται πρωτότοκος, κατὰ τίνα δὲ τρόπον καὶ μονογενής.

[05708] Μονογενὴς μὲν οὖν, καθὸ Λόγος ἐστὶν ἐκ Πατρὸς, ἀδελφοὺς κατὰ φύσιν οὐκ ἔχων, οὐδὲ ἑτέρῳ τινὶ συνταττόμενος εἷς γὰρ καὶ μόνος ὁ Υἱὸς τοῦ Θεοῦ·

[05709] πρωτότοκος δὲ οὐχ ἁπλῶς, οὐδὲ ἀπολελυμένως, ἀλλ' ἐν πολλοῖς ἀδελφοῖς, καθὰ γέγραπται.

[05710] Πότε οὖν ἄρα γέγονεν ἡμῶν ἀδελφὸς, εἰ μὴ ὅτε τὴν ἡμῶν περιεβάλετο σάρκα;

[05711] Οὐκοῦν τότε [75.404] πρωτότοκος, ὅτε πολλοὺς κατὰ χάριν υἱοὺς ἀπέδειξε Θεοῦ.

[05712] ΑΛΛΟ.

[05713] Πρωτότοκος πάσης καλεῖται κτίσεως, οὐχ ὡς πρῶτος αὐτῆς κατὰ χρόνον ὑπάρχων, οὐδὲ τῆς αὐτῆς τοῖς κτίσμασιν ὑπάρχων οὐσίας, ἀλλὰ καθάπερ ἤδη προείρηται, διὰ τὴν πρὸς τὰ κτίσματα συγκατάβασιν, καὶ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν.

[05714] Ἐπιτηρῆσαι δὲ ὅμως κἀκεῖνο καλὸν, μονογενὴς καλεῖται καὶ πρωτότοκος.

[05715] Ὅτε μὲν οὖν μονογενὴς ὀνομάζεται, οὐδεμιᾶς αὐτῷ συμπεπλεγμένης αἰτίας, καθ' ἣν ἐστι μονογενὴς, τοῦτο καλεῖται, ἀλλ' ἀπολελυμένως, μονογενὴς Θεὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός.

[05716] Ὅτε δὲ πρωτότοκον αὐτὸν αἱ θεῖαι καλοῦσι Γραφαὶ, εὐθὺς ἐπιφέρουσι καὶ ὧν ἐστι πρωτότοκος, καὶ τὴν αἰτίαν δι' ἣν καὶ ταύτην ἔχει τὴν ἐπωνυμίαν.

[05717] Φασὶ γὰρ, Πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, καὶ Πρωτότοκος ἐκ τῶν νεκρῶν.

[05718] Ἐπειδὴ γὰρ ἔδει τὸν Υἱὸν τοῦ Θεοῦ κατὰ φύσιν ἔχοντα τὸ πρωτεύειν, καὶ ὅτε γέγονεν ἄνθρωπος τοῦτο μὴ ἀπολέσαι, εἰκότως καὶ τῆς πρὸς ἡμᾶς ὁμοιώσεως ἐπιλαβόμενος, πάσης προτάττεται κτίσεως.

[05719] Οὐ γὰρ καθὸ γέγονεν ἄνθρωπος, ἐλάττων ἔσται τινὸς ὅσον εἰς τὸ πρέπον ἀξίωμα τῇ θείᾳ φύσει·

[05720] ἀλλὰ καὶ οὕτω πρωτεύσει καὶ καθηγήσεται πάσης ὁμοῦ κτίσεως, ἅτε δὴ ποιητὴς ὑπάρχων αὐτῆς καὶ Κύριος.

[05721] Οὕτω καὶ ὁ εὐαγγελίστης φησίν·

[05722] Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός.

[05723] ΑΛΛΟ.

[05724] Εἰ, κατὰ τὴν τοῦ Παύλου φωνὴν, ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, ἄλλος ἔσται τῶν πάντων.

[05725] Ἐν γὰρ τῷ εἰπεῖν πάντα, οὐδὲν ἀφῆκεν ἐκτὸς ὃ μὴ γέγονεν δι' αὐτοῦ.

[05726] Οὐκοῦν κτίσμα μὲν ὁ Υἱὸς οὐκ ἔσται, κτίστης δὲ μᾶλλον τῶν πάντων, καθὰ γέγραπται.

[05727] Οὐ γὰρ εἴρηκεν ἡ θεία Γραφὴ, ὅτιπέρ ἐστι πρωτότοκος τῶν ἄλλων κτισμάτων, ἵνα μὴ ὄντως ὡς ἐξ αὐτῶν εἶναι νοοῖτο, ἀλλὰ πάσης κτίσεως πρωτότοκον αὐτὸν εἶναί φησιν, ἵνα διὰ τοῦτο, ὡς εἰπεῖν, ὅλης ὁμοῦ τῆς κτίσεως ἐν μέρει κειμένης, ἕτερος εἶναι παρ' αὐτὴν πιστεύηται.

[05728] Ὁ δὲ ἔξω πάσης ὑπάρχων κτίσεως, οὐκ ἂν εἴη κτιστῆς οὐσίας, ἀλλ' ἕτερος παρὰ ταύτην.

[05729] Καὶ γοῦν ἡ θεία Γραφὴ τὴν τοιαύτην ἐπιτήρησιν εἰδυῖα σαφῶς, οὐκ ἐκάλεσε τὸν Ῥουβὴμ πρωτότοκον πάντων τῶν τέκνων τοῦ Ἰακὼβ, ἵνα μὴ ἕτερος εἶναι παρὰ τούτους νομίζηται·

[05730] ἀλλὰ μετὰ πολλῆς ἀκριβείας πρωτότοκον αὐτὸν εἶναί φησι τοῦ Ἰακὼβ καὶ τῶν ἀδελφῶν αὐτοῦ.

[05731] ΑΛΛΟ.

[05732] Εἰ διὰ τὸ καλεῖσθαι πρωτότοκον πάσης κτίσεως τὸν Υἱὸν, τῇ κτίσει συγκαταριθμεῖν αὐτὸν ἐπιχειροῦσί τινες, ἔσται καὶ αὐτὸς ἐν τοῖς πᾶσιν.

[05733] Εἰ δέ τις δοίη τοῦτο κρατεῖν, ἑαυτοῦ πρωτότοκος ἔσται, καθὸ πάσης κτίσεως πρωτότοκος ὢν, καὶ αὐτὸς ἐν τοῖς πᾶσίν ἐστιν.

[05734] Ἔσται οὖν ἑαυτοῦ καὶ πρῶτος καὶ δεύτερος.

[05735] Εἰ μὲν γὰρ διὰ τὸ πάσης κτίσεως εἶναι πρω [75.405] τότοκος, ἔξω τῶν πάντων αὐτὸν κεῖσθαι νοήσαιμεν, πρῶτος ἔσται τῶν πάντων.

[05736] Εἰ δὲ τοῖς πᾶσι καὶ αὐτὸς συνταχθήσεται, ἑαυτοῦ κατὰ χρόνον ἔσται δεύτερος·

[05737] πρῶτος μὲν κατ' ἐκεῖνον τὸν τρόπον, δεύτερος δὲ κατὰ τοῦτον.

[05738] ΑΛΛΟ.

[05739] Εἰ διὰ τὸ καλεῖσθαι πρωτότοκος πάσης κτίσεως, εἷς ἔσται καὶ αὐτὸς τῶν κτισμάτων, γέγονε δὲ πάντα δι' αὐτοῦ, ἑαυτοῦ ποιητὴς ἔσται, καθ' ὑμᾶς, καὶ ὁ κτίζων κτίζεται, καὶ τοῦτο δι' ἑαυτοῦ.

[05740] Εἰ γὰρ ἐν τοῖς πᾶσίν ἐστι καὶ πάντα δι' αὐτοῦ, ἀληθὲς ἔσται τὸ εἰρημένον.

[05741] Καὶ εἰ πᾶσα ἡ κτίσις ἐν αὐτῷ συνέστηκε, πῶς εἷς τῶν πάντων εἶναι δύναται, ὁ τοῖς πᾶσι τὸ συνεστάναι διδούς;

[05742] ΑΛΛΟ διηγηματικῶς, κατὰ τὴν εὐσεβῆ νόησιν, καθ' ἣν νοεῖται Πρωτότοκος.

[05743] Πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, καθὸ γέγονεν ὅμοιος ἡμῶν κατὰ πάντα χωρὶς ἁμαρτίας, καὶ καθὸ τὴν ἡμετέραν σάρκα φορέσας ἀδελφός τε ἡμῶν χρηματίσας, τοῦτο καλεῖται δικαίως.

[05744] Πρωτότοκος δὲ καὶ ἐκ τῶν νεκρῶν·

[05745] πρῶτος γὰρ αὐτὸς εἰς ἀφθαρσίαν ἀνέστησεν τὴν ἑαυτοῦ σάρκα, καὶ πρῶτος αὐτὴν εἰς οὐρανοὺς ἀνήγαγε.

[05746] Διὸ καί φησιν·

[05747] Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἐγώ εἰμι ἡ θύρα.

[05748] Δι' αὐτοῦ γὰρ ἡ φύσις ἡ ἀνθρωπεία καὶ τὴν καινὴν τῆς ἀναστάσεως βαδίζειν ὁδὸν ἐκδιδάσκεται, καὶ ὥσπερ διά τινος θύρας εἰς αὐτὸν εἰσέρχεται τὸν οὐρανόν.

[05749] ΑΛΛΟ, πῶς ἂν εὐσεβῶς νοηθείη, Πρωτότοκος πάσης κτίσεως.

[05750] Διὰ τὴν τοῦ Πατρὸς φιλανθρωπίαν ἣν ἔχει περὶ τὰ αὐτοῦ κτίσματα, πρωτότοκον ἑαυτὸν πάσης κτίσεως ἐκάλεσεν ὁ Υἱὸς, καὶ τῇ πρὸς τὰ πεποιημένα συγκαταβάσα μονονουχὶ καὶ ἑαυτὸν τούτοις συντάττειν οὐκ ὀκνεῖ·

[05751] ἵν' ἐπειδήπερ καλεῖται τούτων πρωτότοκος, δι' αὐτὸν σῴζηται τὰ μετ' αὐτόν.

[05752] Εἰ γὰρ δεῖ πάντως αὐτὸν εἶναι πρωτότοκον, μενοῦσι πάντως καὶ ὧν ἐστι πρωτότοκος.

[05753] Ἔστι τοίνυν μονογενὴς μὲν κατὰ φύσιν, ἅτε δὴ μόνος ὢν ἐκ Πατρὸς, Θεὸς ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς ἀναλάμψας·

[05754] πρωτότοκος δὲ δι' ἡμᾶς, ἵν' ὥσπερ ἀθανάτῳ τινὶ ῥίζῃ πᾶσα ἡ κτίσις ἐγκεκεντρισμένη καὶ ἐκ τοῦ ἀεὶ ὄντος ἀναβλαστήσασα ᾖ.

[05755] Γέγονε γὰρ τὰ πάντα δι' αὐτοῦ, καὶ συνέστηκεν εἰς ἀεὶ, καὶ αὐτῷ διασώζεται.

[05756] ΑΛΛΟ.

[05757] Εἰ τὸ καλεῖσθαι πρωτότοκον πάσης κτίσεως ὡς κτίσμα κατὰ φύσιν ὄντα, τῇ κτίσει συντάξομεν τὸν Υἱὸν, ἔσται πρῶτος μὲν ταύτης κατὰ τὸν χρόνον συγγενὴς δὲ ὅμως κατὰ τὴν φύσιν, καὶ διὰ τὸ εἶναι κτίσμα τοῖς ἄλλοις ἅπασι προσεοικώς.

[05758] Συγγενὴς οὖν ἔσται καὶ ἀλόγοις ζώοις, ὀρνέοις τε καὶ νηκτοῖς.

[05759] Καὶ ταῦτα γὰρ, εἰ καὶ ἐλάχιστα, μέρη γοῦν πάσης τῆς κτίσεώς ἐστιν.

[05760] Ἀλλὰ τοῦτο ἄτοπον.

[05761] Οὐκοῦν εὐσεβῶς πρωτότοκος μὲν, ὡς ἐν πολλοῖς ἀδελφοῖς διὰ τοὺς κατὰ χάριν εἰς υἱοθεσίαν κεκλημένους νοηθήσεται.

[05762] [75.408] Πάσης δὲ κτίσεως ἀνωτέρω κείσεται, ὡς πρὸ ταύτης ὢν, καὶ εἰς τὸ εἶναι ταύτην παραγαγὼν, κτιστῆς τε αὐτὸς οὐχ ὑπάρχων οὐσίας.

[05763] ΑΛΛΟ.

[05764] Ὥσπερ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς ἐκλήθη, διὰ τὸ κεκλῆσθαι πρὸς υἱοθεσίαν Θεοῦ κατὰ χάριν τοὺς δι' αὐτοῦ σεσωσμένους·

[05765] καὶ πάλιν πρωτότοκος καὶ ἀπαρχὴ τῶν νεκρῶν διὰ τὸ αὐτὸν εἰς ἀφθαρσίαν ἐγηγέρθαι πρὸ πάντων·

[05766] οὕτως ἀρχὴ ὁδῶν ἐκτίσθαι λέγεται, διὰ τὸ πάντας δι' αὐτοῦ δύνασθαι λοιπὸν τρέχειν εἰς σωτηρίαν.

[05767] Ὅτι μὴ δι' ἄλλην αἰτίαν μονογενὴς κέκληται, ἀλλ' ἢ ὡς μόνος κατ' ἀλήθειαν γεννηθείς.

[05768] Ἀπολογία αὐτολεξεί.

[05769] Εἰ διὰ τὸ μόνον ἀμεσιτεύτως αὐτὸν γεγονέναι, διὰ τοῦτο μονογενὴς, ἀβουλήτως γέγονεν·

[05770] εἰ δὲ τῶν γενομένων οὐδέν ἐστιν, ὃ βουλὴ Θεοῦ οὐκ ἐμεσίτευσεν·

[05771] οὐκ ἄρα διὰ τὸ ἀμεσιτεύτως γεγονέναι, διὰ τοῦτο μονογενὴς, ἀλλὰ διὰ τὸ μόνον τοῦτον εἶναι καρπὸν πατρικόν.

[05772] ΑΛΛΟ.

[05773] Εἰ διὰ τοῦτο μονογενὴς, ὅτι μόνος ὑπ' ἐκείνου γέγονε, καθ' ὑμᾶς, οὐκ ἂν εἴη τῶν καθόλου δημιουργὸς ὁ τοῦτον μόνον, ἀλλ' οὐ πάντα, πεποιηκώς.

[05774] Εἰ δὲ ἔστι τῶν καθόλου δημιουργὸς ὁ Πατήρ·

[05775] τὰ πάντα γὰρ ἐξ αὐτοῦ·

[05776] οὐχ ὡς μόνος ἄρα ὑπάρξας ὁ Υἱὸς μονογενὴς, ἀλλ' ὡς μόνος φυσικῶς γεννηθείς.

[05777] ΑΛΛΟ.

[05778] Εἰ μονογενὴς, ὅτι μόνος ὑπὸ μόνου γέγονε, μόνος δὲ ἥλιος ἡμέραν ποιεῖ, μονογενὴς ἡλίου καὶ ἡ ἡμέρα λεχθήσεται.

[05779] Εἰ δὲ καὶ μόνος τις καὶ μιᾶς ἐπιστήμης γέγονεν εὑρετὴς, ἢ μιᾶς εἰκόνος αὐτουργὸς, μονογενῆ εἴη ἂν αὐτῷ γεννήματα τὰ μόνα ὑπ' αὐτοῦ πεποιημένα.

[05780] Εἰ δὲ μηδεὶς πώποτε μονογενὲς τὸ μόνον ἔργον κέκληκε, πῶς ὁ Υἱὸς ὡς γενόμενος, ἀλλ' οὐχ ὡς γεννηθεὶς, μονογενὴς νοηθήσεται;

[05781] ΑΛΛΟ.

[05782] Εἰ μὴ ὡς γεννηθεὶς μόνος, οὐ μὴν καὶ γενόμενος, μονογενὴς κέκληται, κέκληται δὲ καὶ τὸ τοῦ Ἰεφθάε θυγάτριον μονογενὲς, εἴη ἂν μόνον ἔργον αὐτοῦ, ἀλλ' οὐ γέννημα.

[05783] Ἢ εἴπερ ὡμολόγηται μονογενὲς αὐτὸ εἶναι, διὰ τὸ μόνον ἐκ τοῦ ἰδίου γεγεννῆσθαι πατρὸς, καὶ ὁ Υἱὸς δῆλον ὅτι μονογενὴς, μόνος τῆς τοῦ Πατρὸς οὐσίας γεννητῶς κληρονόμος.

[05784] ΑΛΛΟ.

[05785] Εἰ ἐπεὶ μόνος τοιοῦτος γέγονε, διὰ τοῦτο μονογενὴς, μόνον δὲ ἔργον τοιοῦτον ὁ οὐρανὸς γέγονεν, ὁποῖόν ἐστιν, εἴη ἂν καὶ αὐτὸς μονογενής.

[05786] Εἰ δὲ καίτοι πολλὰ καὶ μόνα κτίσματα γενόμενα οὐκ ἐῤῥέθη μονογενῆ, ὁ Υἱὸς ἄρα μονογενὴς οὐχ ὡς μόνος τοιοῦτος γενόμενος, ἀλλ' ὡς μόνος γεννηθείς.

[05787] [75.409] ΑΛΛΟ.

[05788] Εἰ διὰ τοῦτο μονογενὴς ὅτι μόνος τῶν πάντων ὑπερέχει, ὑπερέχει δὲ τῶν πάντων καὶ ὁ Πατὴρ, μονογενὴς ἄρα λεχθείη ἂν καὶ αὐτός.

[05789] Εἰ δὲ μὴ ἔστι μονογενὴς, καίτοι τῶν πάντων ὑπερέχων, οὐδὲ ὁ Υἱὸς ἄρα μονογενὴς, διὰ τὴν ὑπεροχὴν τὴν πρὸς τὰ πεποιημένα, ἀλλὰ διὰ τὴν ἐκ Πατρὸς γέννησιν.

[05790] ΑΛΛΟ.

[05791] Εἰ διὰ τοῦτο μονογενὴς ὅτι μόνος τῶν πατρικῶν βουλημάτων ἐστὶν ἄγγελος, μόνος δὲ ὁ καθ' ἡμᾶς ἤτοι ἐν ἡμῖν ἔμφυτος λόγος τῶν τοῦ νοῦ βουλευμάτων ἐστὶν ἀγγελτικός·

[05792] μονογενὴς ἂν υἱὸς τοῦ νοῦ κληθείη καὶ οὗτος.

[05793] Εἰ δὲ μηδεὶς τῶν ἀπ' αἰῶνος τὸν τῶν ἀποῤῥήτων ἐκφαντικὸν λόγον μονογενῆ κέκληκε, πῶς ἂν Υἱὸς ὡς ἐξαγγελεὺς, ἀλλ' οὐχὶ ὡς γεννηθεὶς μᾶλλον μονογενής;

[05794] ΑΛΛΟ.

[05795] Εἰ διὰ τοῦτο μονογενὴς, ὅτι μόνος τῶν μετ' αὐτόν ἐστι δημιουργὸς, οὐδένα ἕξει τὸν συνδημιουργήσαντα, οὐδὲν σὺν αὐτῷ πεποιηκότα τι πλὴν μόνου τοῦ Πατρός.

[05796] Εἰ δὲ πάντα ἐν αὐτῷ ὡς ἐν σοφίᾳ γεγένηται, καὶ ἐν αὐτῷ οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ Θεοῦ πᾶσα ἡ δύναμις αὐτῶν, περιττὸν τὸ λέγειν αὐτὸν μονογενῆ, ὡς τῶν μετ' αὐτὸν ὄντα μόνον δημιουργὸν, ἀλλ' οὐχ ὡς μόνον δημιουργὸν ἐκ Θεοῦ γεννηθέντα φυσικῶς.

[05797] ΑΛΛΟ.

[05798] Εἰ τὸ μόνον γενόμενον, ἀλλ' οὐχὶ τὸ μόνον γεννηθὲν κατὰ ἀλήθειαν τοῦτο μονογενὲς, οὐκ ἄρα μονογενὴς ὁ Σάῤῥας υἱός·

[05799] οὐ γὰρ γέγονεν ὑπ' αὐτῆς, ἀλλὰ γεγέννηται.

[05800] ΑΛΛΟ.

[05801] Εἰ διὰ τοῦτο μονογενὴς ὅτι μόνον αὐτὸν ὁ Πατὴρ ὑπεστήσατο, οὐκέτ' ἂν εἴη πρωτότοκος οὔτε αὐτὸς γεννηθεὶς, καὶ τῶν ἄλλων ἀδελφῶν οὐκ ὄντων ἐκ Πατρός.

[05802] Εἰ δὲ ἀληθῶς ἐστι πρωτότοκος ἐν πᾶσι πρωτεύων, οὐχ ὡς μόνον ἄρα ὑποστὰς, μονογενὴς, μόνος δὲ ὡς ἐκ Πατρὸς ἀγαθοῦ καρπὸς ἀποκυηθεὶς ἀγαθός.

[05803] ΑΛΛΟ.

[05804] Εἰ πρωτότοκος ἐκ Θεοῦ, ὡς τῶν πολλῶν πρῶτος γεννηθεὶς, ἔστι δὲ καὶ ἐκ Παρθένου πρωτότοκος, εἴη ἂν καὶ ἐξ αὐτῆς ὡς πρῶτος ἑτέρων.

[05805] Εἰ δὲ μόνος, ἀλλ' οὐ πρὸ ἄλλων γεννηθεὶς ἐκ Μαρίας, πρωτότοκος αὐτῆς κέκληται·

[05806] καὶ ἐκ Θεοῦ ἄρα πρωτότοκος, οὐχ ὡς πολλῶν πρῶτος, ἀλλ' ὡς μόνος γεννηθείς.

[05807] ΑΛΛΟ.

[05808] Εἰ διὰ τοῦτο πρωτότοκος, ὅτι τῶν ἄλλων πρῶτος γεγέννηται, τὸ δὲ πρῶτον γεννώμενον οὐ διοίσει τῶν ἐκ τοῦ αὐτοῦ μετ' αὐτὸ γεννηθέντων, οὐδὲ ὁ Υἱὸς ἄγα τῶν μετ' αὐτὸν εἴη ἂν κρείττων.

[05809] Εἰ δὲ τὸ ποιοῦν τοῦ ποιουμένου κατὰ πάντα διαφέρει, ποιεῖ δὲ ὁ Υἱὸς, διαφέροι ἂν τῶν πάντων·

[05810] καὶ πῶς ἂν τῶν [75.412] ἑαυτοῦ δημιουργημάτων εἴη πρωτότοκος, ὃς πρῶτος τῆς Υἱοῦ προσηγορίας γενόμενος αὐτοῖς αἴτιος;

[05811] ΑΛΛΟ.

[05812] Εἰ τὰ πρῶτα τῶν δευτέρων αἴτια ὡμολόγηται, πρῶτον δὲ ἦν Θεὸς καὶ Θεοῦ Υἱὸς, τῶν ἄρα λεγομένων καὶ αἴτιος ὁ Υἱὸς, ὡς ἐξ ἐκείνου.

[05813] Ὁ ἄρα αἴτιος τῶν δευτέρων υἱῶν, εἰ λέγοιτο πρωτότοκος, οὐχ ὡς πρῶτος ἐκείνων ὑπάρξας, ἀλλ' ὡς πρῶτος τῆς υἱοῦ προσηγορίας γενόμενος αὐτοῖς αἴτιος.

[05814] ΑΛΛΟ.

[05815] Εἰ διὰ τοῦτο πρωτότοκος ὅτι πρῶτος γέγονε, τῷ δὲ πρῶτον, ἀλλ' οὐ μόνον τι πεποιηκότι, μετὰ τὸ πρῶτον ἕπεται πεποιηκέναι καὶ ἕτερα·

[05816] ὁ Υἱὸς ἄρα πεποίηκεν οὐδέν.

[05817] Ἐπεὶ δὲ πεποίηκεν, οὐχ ὡς κτισθεὶς πρωτότοκος, ἀλλ' ὡς τῶν πάντων ἐν αὐτῷ κτισθέντων τῶν τε ἐν οὐρανῷ καὶ τῶν ἐπὶ γῆς.

[05818] ΑΛΛΟ.

[05819] Εἰ διὰ τὴν τῶν κτισμάτων πάροδον ὑπέστη, χάριν αὐτοῖς ἕξει, ὅτι τῆς γενέσεως αὐτοῦ γεγόνασιν αἴτια.

[05820] ΑΛΛΟ.

[05821] Εἰ ἐπεὶ μὴ ἔφερεν ἡ κτίσις αὐτουργοῦντα τὸν ἀγένητον, διὰ τοῦτο δημιουργεῖ ὁ Υἱὸς, μέση τις ἂν εἴη αὐτὸς δύναμις, καὶ οὔτε αὐτὸς ἂν εἴη ἀγένητος·

[05822] οὐκ ἂν γὰρ ἔφερεν αὐτὸν ἡ κτίσις, οὐδ' αὖ τῶν γινομένων·

[05823] οὐ γὰρ ἔφερεν αὐτὸς τὸν ἀγένητον.

[05824] Τούτων δ' ὁπότερον οὐκ ὄντος αὐτοῦ, λείπεται γέννημα αὐτὸν τῆς ἀγεννήτου φύσεως ὁμολογεῖν.

[05825] ΑΛΛΟ.

[05826] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[05827] Εἰ Θεὸς ἀληθινὸς, φησὶν, ἔστιν ὁ Υἱὸς, πῶς αὐτὸν τοῖς γενητοῖς συναριθμεῖ καὶ ἡ θεία Γραφὴ λέγουσα, Πρωτότοκος πάσης κτίσεως;

[05828] Ἀνάγκη γὰρ πᾶσα τοιοῦτον εἶναι καὶ αὐτὸν κατὰ φύσιν, ὁποῖά περ ἂν ὑπάρχῃ καὶ τὰ ὧν ἐστι πρῶτος.

[05829] Πρὸς ταῦτα λύσις.

[05830] Ἀσεβὴς ὁ λόγος, καὶ πολλὴν ὠδίνων τὴν ἀτοπίαν.

[05831] Εἰ γὰρ ἔσται τοῖς μετ' αὐτὸν γεγονόσιν ἀναγκαίως ὁ Υἱὸς παραπλήσιος, ἐπεὶ καὶ πρωτότοκος αὐτῶν καλεῖται, γέγονε δὲ οὐκ ἄνθρωπος μόνον, ἀλλὰ καὶ ζῶα πολλὰ καὶ διάφορα, ὥρα λοιπὸν δυσσεβοῦντας ὑμᾶς ἀδεῶς, ὦ χριστομάχοι, λέγειν ὅτι καὶ τοῖς ἀλόγοις ζώοις ὁ αὐτός ἐστι κατὰ φύσιν ὁ Υἱός.

[05832] Οὐκοῦν οὐ πάντως ἔσται συγγενὴς ὢν καὶ πρωτότοκος εἶναι λέγεται·

[05833] καλεῖται δὲ τοῦτο, δεικνυούσης ἡμῖν τῆς θείας Γραφῆς, ὅτι πάντες ἐν Υἱῷ καὶ δι' Υἱοῦ πρὸς τὸ ἴσον αὐτῷ σχῆμα καλούμεθα, υἱοὶ Θεοῦ κατὰ χάριν ἀναδεικνύμενοι.

[05834] Καὶ αὐτός ἐστιν ἀρχὴ τῆς δοθείσης ἡμῖν χάριτος, ἐξομοιῶν ἑαυτῷ διὰ φιλανθρω [75.413] πίαν τοὺς δι' αὐτοῦ γενομένους·

[05835] αὐτὸ δὲ δὴ τοῦτο εἶναι πρῶτον, εἰκόνα δείκνυσιν αὐτὸν τοῦ Πατρὸς ἀληθινήν.

[05836] Ὥσπερ γὰρ ὁ Πατὴρ πρῶτον αὐτὸν εἶναί φησιν, οὕτω καὶ ὁ Υἱὸς εἰκὼν ἀκριβὴς καὶ ὁμοίωμα τοῦ πρώτου Πατρὸς ὑπάρχων, πρῶτος καὶ ἔστι καὶ λέγεται·

[05837] ἐν αὐτῷ γάρ ἐστιν ὁ πρῶτος Πατὴρ, καὶ αὐτὸς ὁμοίως ἐν τῷ πρώτῳ Πατρὶ, καὶ δι' αὐτοῦ τὰ πάντα γέγονε, καὶ πρὸς υἱοθεσίαν καλεῖται τὰ λογικά.

[05838] ΑΛΛΟ.

[05839] Εἰ πάντως τὸ λέγεσθαι πρῶτον τῆς κτίσεως εἶναι τὸν Υἱὸν, ἀναγκάσει συγγενῆ τοῖς μετ' αὐτὸν γενομένοις ὑπάρχειν αὐτὸν, καὶ τοιοῦτον εἶναι κατὰ φύσιν, ὁποῖά περ ἂν εἴη τὰ τῷ χρόνῳ δεύτερα, τί ἄρα φατὲ κἂν ὁ Πατὴρ λέγῃ περὶ ἑαυτοῦ, Ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα;

[05840] Ἆρα καὶ αὐτῷ τὸ τῷ χρόνῳ προτερεύειν μόνον τῶν κτισμάτων παραχωρήσαντες, γενητὴν περιθήσετε τὴν οὐσίαν, καὶ τοῖς πεποιημένοις αὐτὸν συγκαταριθμήσετε;

[05841] Ἀλλ' οὐκ ἂν, οἶμαι, τις εἰς τοσαύτην ἔλθοι μανίαν, ὡς τολμῆσαι τοῦτο κἂν δέχεσθαι κατὰ νοῦν.

[05842] Ὥσπερ οὖν τὸ λέγεσθαι πρῶτον τὸν Πατέρα, οὐκ ἀναγκάσει πάντων αὐτὸν συγγενῆ τοῖς μετ' αὐτὸν νοεῖσθαι·

[05843] οὕτω κἂν πρῶτος λέγηται τῆς κτίσεως ὁ Υἱὸς, οὐ πάντως ἔσται τῶν ποιημάτων εἷς.

[05844] Ἀλλ' ὥσπερ ὁ Πατὴρ, ἀρχὴν ἑαυτὸν τῶν πάντων ἀποδεικνύων, ἔλεγεν, Ἐγώ εἰμι πρῶτος, οὕτω καὶ ὁ Υἱὸς πρῶτος τῆς πάσης κτίσεως λέγεται.

[05845] Δι' αὐτοῦ γὰρ τὰ πάντα γέγονε, καὶ αὐτός ἐστιν ἡ πάντων κτισμάτων ἀρχὴ, ὡς κτίστης καὶ δημιουργός.

[05846] ΛΟΓΟΣ Κς'.

[05847] Εἰς τὸ εἰρημένον ἐπὶ τοῖς υἱοῖς Ζεβεδαίου, τὸ, Καθίσαι ἐκ δεξιῶν μου ἢ ἐξ εὐωνύμων, οὐκ ἔστιν ἐμὸν δοῦναι.

[05848] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[05849] Καὶ πῶς, εἴπερ ἦν ἐν ἰσότητι τοῦ Πατρὸς, ἔφησεν ἂν ἐπὶ τοῖς Ζεβεδαίου παισίν·

[05850] Οὐκ ἔστιν ἐμὸν δοῦναι;

[05851] Τοῦτο γὰρ διαῤῥήδην οὐκ ἔχοντος ἐξουσίαν ἐστιν, οὐδὲ δυναμένου παρασχεῖν ὅσπερ ἦν ἐκείνοις ἐν εὐχῇ.

[05852] Οὐκοῦν οὐδὲ ἴσος τῷ Πατρὶ τῷ πάντων ἔχοντι τὴν ἐξουσίαν.

[05853] Πρὸς τοῦτο λύσις.

[05854] Πολλὴν, ὦ θεομάχοι, κἀν τούτῳ τὴν ἀπαιδευσίαν ἔχοντες εὑρεθήσεσθε.

[05855] Ἐχρῆν γὰρ δή που πάντως ὑμᾶς τὰς τοῦ Σωτῆρος ἀκριβῶς περιεργάζεσθαι φωνὰς, οὐκ ἀπερισκέπτως τὰ καλῶς εἰρημένα κατηγορίας ποιεῖσθαι προφάσεις.

[05856] Προσῆλθον οἱ Ζεβεδαίου παῖδες τὰς ἐν ἄκρῳ κειμένας αἰτοῦντες τιμάς.

[05857] Ἀλλ' ἦν ἀπίθανον μὴ τὴν τοῦ χορηγοῦντος περιμένειν φιλοτιμίαν, ἁρπάζειν δὲ ὥσπερ τὴν ἑτέροις ἔσθ' ὅτε χρεωστουμένην δωρεάν.

[05858] Πρὸς οὖν τὴν οὕτως ἄτοπον αἴτησιν εἰκότως φησὶν ὁ Σωτὴρ, Οὐκ ἔστιν ἐμὸν δοῦναι, οὐχ ὅτι μὴ ἐδύνατο παρασχεῖν, ἀλλ' ὅτι τῶν πονούντων ἐστὶν ἀναλόγως οἷς κάμνουσι κομί [75.416] ζεσθαι τὸν μισθόν.

[05859] Ὥσπερ γὰρ εἴ τις τοῖς εἰς ἀγῶνα κεκλημένοις τὰ γέρα προθεὶς, λέγοι πρὸς αὐτούς·

[05860] Οὐκ ἐμόν ἐστιν, ὦ οὗτοι, τὸ μεῖζον ἑλεῖν, καὶ ᾧ βούλομαι παρασχεῖν, οὐ γὰρ ἐπὶ τούτοις τέθεικα τῷ σταδίῳ τοὺς ὅρους·

[05861] ἀλλ' ἐκεῖνος λήψεται τοῦτο, ᾧ τὸ πάντας νικᾷν περιποιήσει δικαίως τὸ τιμᾶσθαι μειζόνως.

[05862] Οὕτω καὶ ὁ Σωτὴρ οὐκ εὔλογον εἶναί φησι τοῖς αἰτοῦσι τὸ μεῖζον ἐπιδοῦναι προχείρως, τὸν ὀφείλοντα δικαίως λαβεῖν παρωσάμενον.

[05863] Ἀλλ' ἐκείνους ἔχειν ἐστὶ πρεπωδέστερον, οἷς ἡ τοῦ Πατρὸς πρόγνωσις διὰ τὴν τῶν ἀνδραγαθημάτων ὑπεροχὴν τοῦτο ηὐτρέπισεν·

[05864] ἔστιν οὖν ὁ λόγος οὐκ ἀσθενείας ἀπόδειξις, ἀλλ' οἰκονομικῆς ἀσθενείας.

[05865] ΑΛΛΟ.

[05866] Εἰ μὴ δύναται, καθ' ὑμᾶς, ὦ θεομάχοι, τοῖς Ζεβεδαίου παισὶν ἀποπληρῶσαι τὴν αἴτησιν, καὶ διὰ τοῦτό φησιν, Οὐκ ἔστιν ἐμὸν δοῦναι, πῶς ἐν ἑτέροις εὑρίσκεται πᾶσιν ὁμοῦ τοῖς μαθηταῖς τοῦτο χαρισάμενος, δι' ὧν οὕτω φησίν·

[05867] Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους;

[05868] Τοῦτο γὰρ οὐ τὰ ἐσόμενα προφητεύοντός ἐστιν, ἀλλ' ὀρέγοντος ὡς συγκεκμηκόσι τὴν χάριν.

[05869] Εἰ μὲν οὖν ἀληθεύει τὰ τοιαῦτα λέγων, πῶς ὁ πᾶσι διδοὺς, δύο μόνων αἰτούντων ἀσθενεῖ;

[05870] Εἰ δὲ τολμᾶτε λέγειν μὴ εἶναι τὴν ὑπόσχεσιν ἀληθῆ, ἀρκέσει τοῦτο πρὸς τὸ πᾶσαν καθ' ὑμῶν κυροῦσθαι κακίαν.

[05871] Ψεύδεσθαι γάρ φατε τὴν ἀλήθειαν.

[05872] Ὥσπερ οὖν εἰ τοῖς Ζεβεδαίου παισὶν οὐκ ἐδύνατο παρασχεῖν, οὐκ ἂν ἦν ἴσος τῷ Πατρί, οὕτως ἐπειδήπερ πᾶσι φαίνεται διδοὺς, ἴσος ἔσται τῷ γεγεννηκότι.

[05873] ΑΛΛΟ.

[05874] Εἰ ἀληθεύει λέγων ὁ Σωτὴρ, Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, ἐν δὲ τοῖς πᾶσίν ἐστι καὶ τὸ διδόναι χάριν ἣν ἂν βούλοιτό τισιν, οὐκ ἐξ ἀσθενείας ἔφησεν, Οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' ἔχει λόγον οἰκονομίας τὸ ῥῆμα.

[05875] ΑΛΛΟ.

[05876] Ὁ προφήτης Ἡσαΐας τοὺς περὶ τοῦ Σωτῆρος ποιούμενος λόγους, φησί που σαφῶς·

[05877] Διὰ τοῦτο αὐτὸς κυριεύσει πολλῶν, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα, ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ.

[05878] Εἰ τοίνυν αὐτὸς ἐπιμερίζει τοῖς ἁγίοις τὰς τιμὰς, πῶς αὐτὸν ἐροῦμεν μὴ δύνασθαι παρασχεῖν ὅπερ ἂν βούλοιτό τισι;

[05879] Καὶ εἰ πάντα ὁ Πατὴρ ἐργάζεται δι' Υἱοῦ, ἓν δὲ τῶν πάντων ἐστὶ καὶ τὸ διανέμεσθαι τοῖς ἁγίοις τὰ γέρα, αὐτὸς ἔσται πάλιν ὁ διδοὺς, ἔχων ἐν ἑαυτῷ τὸν Πατέρα.

[05880] Λύσις τοῦ ῥητοῦ, Οὐκ ἔστιν ἐμὸν δοῦναι, καὶ ὅπως αὐτὸ χρὴ νοεῖν σαφὴς διδασκαλία.

[05881] Τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ παραινοῦντος τοῖς μαθηταῖς, τὸ μηδὲν ὅλως τῶν ἐν τῷδε τῷ βίῳ κεκτῆσθαι θέλειν, ἀφιλοχρηματεῖν δὲ μᾶλλον, καὶ ἀπερι [75.417] σπάστως προσεδρεύειν Θεῷ, ὅλους τε ἐξ ὅλων ἀνακεῖσθαι τῇ εἰς αὐτὸν λατρείᾳ, καὶ πλουσίαν ἐπὶ τούτοις ἀποδώσειν ἐπαγγελλομένου τιμὴν τοῖς φυλάττουσι τὴν ἐντολὴν, προσῆλθον λέγοντες·

[05882] Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι, τί ἄρα ἔσται ἡμῖν;

[05883] Πρὸς ταύτην αὐτῶν τὴν πεῦσιν ἀποκρίνεται Χριστός·

[05884] Ὑμεῖς οἱ ἀκολουθήσαντές μοι ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

[05885] Ταύτην οἱ Ζεβεδαίου παῖδες τὴν ἐπαγγελίαν ἀκούσαντες ἦλθον εἰς ἐπιθυμίαν οὐ πρέπουσαν αὐτοῖς Τὸ γὰρ πᾶσι τοῖς μαθηταῖς προτεθὲν ὡς ἐν ἀμοιβῇ τῆς πρὸς τὸν Χριστὸν εὐνοίας, ἁρπάζειν ἤθελον μόνοι·

[05886] αἰδοῖ δὲ τοῦ μὴ δοκεῖν ἐπιθυμίᾳ δόξης ἡττῆσθαι κενῆς, αὐτοὶ μὲν σιωπῶσι τὸ κατὰ νοῦν οὐκ ἐκφαίνοντες, διακονεῖν δὲ αὐτοῖς τὴν μητέρα πρὸς τοῦτο παρασκευάζουσι.

[05887] Καὶ δὴ προσελθοῦσά φησιν·

[05888] Εἰπὲ ἵνα οἱ δύο υἱοί μου καθίσωσιν εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων σου.

[05889] Φαίνεται τοίνυν διὰ τούτων, τὸ πᾶσι χρεωστούμενον, μόνοις ἁρπάζουσα τοῖς ἑαυτῆς παισὶν ἡ γυνή.

[05890] Εἰ γὰρ μὴ τοῦτό ἐστι, ποῖον ἔχει λόγον, τὸ ἤδη δοθὲν αὖθις προσιοῦσαν αἰτεῖν;

[05891] Καὶ αὐτοὶ γὰρ ἦσαν ἐν τοῖς ἀκούσασιν, Ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, καθίσεσθε ἐπὶ δώδεκα θρόνους.

[05892] Εἰδὼς δὲ ὁ Σωτὴρ ὡς Θεός τι ἦν ἐν τῷ ἀνθρώπῳ, προσκαλεῖται μὲν τοὺς Ζεβεδαίου παῖδας, ἀποτόμως δὲ οὐκ ἐλέγχει φιλάγαθος ὤν, ἵνα μὴ τῷ βάρει τῆς λύπης βαπτίσῃ πρὸς ἀθυμίαν·

[05893] πιθανῶς δέ φησιν, Οὐκ ἔστιν ἐμὸν δοῦναι·

[05894] καὶ οὐ δή που κατηγορεῖ τῆς ἑαυτοῦ φύσεως, ὡς οὐκ ἐχούσης τὸ δύνασθαι παρασχεῖν (ἄτοπον γὰρ ὄντως καὶ λίαν εὔηθες οὕτω νοεῖν, εἴπερ ἤδη φαίνεται τοῦτο παρεσχηκὼς καὶ ἐπαγγειλάμενος), ἀλλ' ἐπειδὴ, φησὶν, ἄδικον αἴτησιν καὶ χάριν τοιαύτην, ἣν οὐκ ἐμοὶ πρέπει παρασχεῖν, ἐπιζητεῖτε λαβεῖν, Οὐκ ἔστιν ἐμὸν δοῦναι.

[05895] Εἰμὶ γὰρ δίκαιος κριτὴς, καὶ πρὸς ἀξίαν τοῖς ἑκάστου πόνοις ἀποδιδοὺς, ὡς ἐν ὀφλήματος τάξει τὰ γέρα.

[05896] Ἄλλως τε δόξαν ἐνομίσατε κενὴν τὸ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων·

[05897] ἀλλ' οὐκ ἔστιν ἐμὸν τοῦτο παρασχεῖν.

[05898] Ὁ γὰρ διδάσκων μὴ νοσεῖν, οὐκ ἂν αὐτὸς νόσον ἐπιδοίη τινί·

[05899] ὥσπερ ἂν εἰ τὸ πῦρ τῷ καταψύχεσθαι βουλομένῳ, καὶ τοῦτο αἰτοῦντι παρ' αὐτοῦ, λέγοι, Οὐκ ἔστιν ἐμὸν ὃ ζητεῖς ἐπιδοῦναί σοι·

[05900] φύσεως γὰρ ἑτέρας εἰμί.

[05901] Δίκαιος οὖν ὑπάρχων ἀγωνοθέτης, οὐ τοῖς αἰτοῦσιν ἁπλῶς ὀφείλω παρασχεῖν, οὐδὲ πάντας ἀδικήσας τοὺς ἀγωνιζομένους, εἰς δύο μόνους συνενεγκεῖν τὰς τιμάς·

[05902] ἀλλὰ τοῖς ἑκάστου κατορθώμασιν ἀναλόγως ἀποδοῦναι τὰ αὐτῷ χρεωστούμενα.

[05903] Ἐκείνων οὖν ἐστι λαβεῖν οἷς τοῦτο δικαίως ηὐτρέπισται παρὰ τοῦ Πατρὸς, τοῦ ἐν ἐμοὶ καὶ δι' ἐμοῦ πάντα ἐργαζομένου.

[05904] Οἰέσθω δὲ μηδεὶς, διὰ τὸ αὐτὸν μὴ δύνασθαι παρασχεῖν, τὴν τοῦ Πατρὸς ἐπωνυμίαν εἰσφέρεσθαι, καὶ παρ' αὐτοῦ τοῖς ἁγίοις ηὐτρεπίσθαι λέγειν τὰς τιμάς.

[05905] Ἀλλ' οἰκονομικῶς φησι τοῦτο·

[05906] ἔθος γὰρ αὐτῷ πᾶν ὅπερ ἂν ὑπερέχοι τὴν ἀνθρώπου φύσιν ἀναβαῖνον, τοῦτο ἀνατιθέναι τῷ [75.420] Πατρὶ ὡς Θεῷ.

[05907] Θεὸς δὲ ὢν καὶ αὐτὸς κατὰ φύσιν καὶ ἓν ὡς πρὸς τὸν Πατέρα, οὐκ ἀδυνατήσει περὶ τὸ ἀνατεθὲν τῇ θείᾳ φύσει, ἀλλ' αὐτὸς ἔσται πάντων ἐργάτης.

[05908] Φιλαρχίαν οὖν τινα καὶ κενὴν ὠδίνοντας δόξαν εὑρίσκει τοὺς Ζεβεδαίου παῖδας, καὶ πιθανῶς ἀποτρέπει μὲν καὶ ἐξίστησι τοῦ κακοῦ, μέτρια δὲ μᾶλλον διδάσκει φρονεῖν·

[05909] καὶ τοῦτο διὰ τῶν ἐφεξῆς εἰσόμεθα.

[05910] Ἀγανακτοῦσι μὲν γὰρ οἱ ἕτεροι μαθηταὶ, τὸ πᾶσι προτεθὲν καὶ ὀφειλόμενον ὑπὸ δύο μόνων ἁρπαζόμενον βλέποντες, ὅσον εἰς τὴν αἴτησιν καὶ τοῦ γυναίου τὴν πρόσοδον.

[05911] Προσκαλεσάμενος δὲ, ὡς γέγραπται, πάντας ὁ Σωτὴρ, παιδεύει τοὺς Ζεβεδαίου παῖδας, καί φησιν ἀπολελυμένως, ἵνα μὴ πρὸς μόνους αὐτοὺς ἀποτείνεσθαι·

[05912] Οἱ βασιλεῖς τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, καὶ οἱ ἄρχοντες κατεξουσιάζουσιν αὐτῶν.

[05913] Οὐχ οὕτως δὲ ἔσται ἐν ὑμῖν·

[05914] ἀλλ' ὃς ἂν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔσται ὑμῶν δοῦλος.

[05915] Ἑαυτὸν δὲ τοῦ πράγματος εἰκόνα παράγει προθείς·

[05916] Καθὼς καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι.

[05917] Ἐπισφραγίζων δὲ ὥσπερ τὰ εἰρημένα, καὶ τρανότερον ἐκτιθέμενος τὸν ἐν αὐτοῖς σκοπὸν, ἐπισυνάπτει παραβολὴν, δι' ἧς πάλιν συμβουλεύει τοὺς κεκλημένους εἰς ἄριστον, μὴ δεῖν αὐτομάτως ἐπὶ τὸν πρῶτον ἰέναι τόπον·

[05918] περιμένειν δὲ τὴν ἀπὸ τοῦ δειπνοκλήτορος τιμήν.

[05919] Κρεῖττον γὰρ, φησὶ, τὸ ἐν τῷ τελευταίῳ κείμενον τόπῳ διὰ τῆς τοῦ ἑστιῶντος φωνῆς ἐπὶ τὸν πρῶτον καλεῖσθαι, ἢ ἐν πρώτῳ τεθέντα θερμῶς πέμπεσθαι πρὸς τὸν ὕστερον, ἑτέρου παρόντος, ᾧ τὸ ἐν πρώτῳ κεῖσθαι παρὰ τοῦ πανηγυριάρχου χρεωστούμενον φαίνεται.

[05920] Δέδεικται τοίνυν ὅλου τοῦ κεφαλαίου καθεξῆς τὴν πρέπουσαν ἐσχηκότος βάσανον, οὐκ ἀσθενήσας περὶ τὸ δοῦναι τὴν χάριν ὁ Σωτήρ·

[05921] ἀλλὰ τῆς προαποδεδομένης οἰκονομίας ἕνεκα, λέγων τὸ, Οὐκ ἔστιν ἐμὸν δοῦναι·

[05922] καὶ περιττὴ λοιπὸν ἡ τῶν φλυαρούντων μανία.

[05923] ΛΟΓΟΣ ΚΖʹ.

[05924] Εἰς τὸ, Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

[05925] Ἀντίθεσις ὡς ἐκ τῶν αἱρετικῶν.

[05926] Ἰδοὺ, φασὶν, αὐτὸς ὁ Υἱὸς μόνον εἶναι Θεὸν ἀληθινὸν ὁμολογεῖ τὸν Πατέρα, καὶ αὐτὸς δὲ ὁ Πατὴρ εὑρίσκεται λέγων·

[05927] Ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα·

[05928] καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ.

[05929] Πῶς οὖν ὑμεῖς συνεισάγετε πρώτῳ καὶ μόνῳ καὶ κατ' ἀλήθειαν ὄντι Θεῷ καὶ Πατρὶ τὸν Υἱὸν, ὡς ὄντα καὶ αὐτὸν κατὰ φύσιν Θεόν;

[05930] Πρὸς τοῦτο λύσις.

[05931] Εἰδέναι χρὴ πρῶτον ὡς οὐκ εἰς ἀναίρεσιν τοῦ Υἱοῦ τὰ τοιαῦτά φησιν ὁ Πατήρ.

[05932] Τί γὰρ ἦν τὸ εἰς ταῦτα παρελθεῖν παροτρύναν αὐτόν;

[05933] Εἰ μὲν γὰρ ὡς ἄνθρωπος τῷ ἐξ αὐτοῦ γεννηθέντι φιλονεικεῖ·

[05934] ὥσπερ ὁ Δαβὶδ πολεμούμενος ὑπὸ τῶν ἑαυτοῦ παίδων·

[05935] ἔχει τινὰ λόγον ἴσως ὁ τοιοῦτος μῦθος.

[05936] Εἰ δὲ στασιάζειν καθ' ἑαυτῆς ἡ θεία φύσις οὐκ οἶδε, φαίνεται δὲ μᾶλλον ὁ Υἱὸς ἀεὶ τῷ Πατρὶ τὴν δόξαν ἀποδιδοὺς, ποῖον ἔχει λόγον τὸ εἰς ἀναίρεσιν αὐτοῦ τοιαῦτα φάναι τὸν Πατέρα;

[05937] Οὐκοῦν πρὸς ἀνατροπὴν μᾶλλον τῶν ψευ [75.421] δωνύμων θεῶν εἰρῆσθαι τὰ τοιαῦτα δώσομεν.

[05938] Εἶτα πρὸς τούτοις ὁ Σωτὴρ λέγων, Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, ἑαυτὸν εὐθὺς συνάπτει, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν, ὡς τῆς τοῦ Πατρὸς οὐσίας ἀδιαίρετος ὢν ὅσον ἧκεν εἰς θεότητος λόγον, καὶ πάντως μετὰ Πατρὸς νοούμενος.

[05939] ΑΛΛΟ.

[05940] Εἰ Λόγος ἐστὶ τοῦ Πατρὸς ὁ Υἱὸς, ὥσπερ οὖν καὶ ἔστι, καὶ τοῦτο ὢν ὁμολογεῖται, τίς οὕτως φρενῶν ἐκβέβηκεν, ὡς νομίσαι πρὸς ἀναίρεσιν τοῦ οἰκείου Λόγου, δι' οὗ τὰ πάντα ἐργάζεται, μόνον ἑαυτὸν Θεὸν ἀληθινὸν εἰπεῖν τὸν Πατέρα;

[05941] Ἐπειδὴ δὲ τοῦτο ἄτοπον, ἔρχεται μᾶλλον ἡ τοῦ ῥήματος δύναμις κατὰ τῶν ψευδωνύμων θεῶν, κἂν οἱ χριστομάχοι μὴ βούλωνται.

[05942] ΑΛΛΟ, ἐξ ὑποθέσεως.

[05943] Ὑποκείσθω νῦν ἡμῖν ὅτι πλανώμενοί τινες τῶν ὅσοι τῆς ἀληθινῆς ἀμοιροῦσι σοφίας, εἰκόνα στήσαντες, καί τινα τυχὸν μορφὴν ἀνθρώπου ἢ ἑτέρου ζώου καταγράψαντες ἐν αὐτῇ, τοῦτο κεκλήκασι φῶς, ἐκεῖθεν ὄντως οἰόμενοι γεννᾶσθαι τοῦτο αὐτοῖς·

[05944] φωνὴν δὲ εἴ τις ἡλίῳ περιθείη, εἶτα λέγοι πρὸς αὐτούς·

[05945] Ἄνθρωποι, πλανᾶσθε, ἐγὼ μόνος εἰμὶ τὸ φῶς, οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ, ἆρ' ἐκβάλλει τοῦ εἶναι φῶς τὸ ἴδιον ἀπαύγασμα, πρὸς ἀναίρεσιν τοῦ ψευδωνύμου φωτὸς ἐκεῖνο βοῶν;

[05946] Ἀλλ' οὐκ ἔχει λόγον τὸ οὕτω νοεῖν.

[05947] Οὐκοῦν ὅτε φησὶ καὶ ὁ Πατήρ·

[05948] Ἐγώ εἰμι Θεὸς μόνος, καὶ πλὴν ἐμοῦ οὐκ ἔστιν, οὐκ ἐκβάλλει τῆς θεότητος τὸ ἴδιον τῆς ἑαυτοῦ οὐσίας, τουτέστι, τὸν ἐξ αὐτοῦ προελθόντα Λόγον, ἀλλ' ἐν τῇ ταυτότητι τῆς φύσεως ἔχει παρ' ἑαυτῷ σωζόμενον καὶ ἐν τῇ μιᾷ θεότητι συνομολογούμενόν τε καὶ συνδοξαζόμενον.

[05949] ΑΛΛΟ.

[05950] δεικνύον ὅτι κἂν μόνος Θεὸς λέγηται ὁ Πατὴρ, συνεισάγεται πάντως ὁ Υἱός.

[05951] Λέγει που πρὸς Θεὸν εἷς τῶν προφητῶν·

[05952] Ὁ τανύσας τὸν οὐρανὸν μόνος·

[05953] φέρεται δὲ καὶ Θεοῦ φωνή·

[05954] Ἐγὼ μόνος ἐξέτεινα τὸν οὐρανόν.

[05955] Καὶ πάλιν ἑτέρα σαφῶς περὶ τοῦ Υἱοῦ, ὅτι Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν.

[05956] Εἰ τοίνυν τοῦ Θεοῦ καὶ Πατρὸς λέγοντος τὸν οὐρανὸν εἰργάσθαι μόνου, ὁ Υἱὸς εὑρίσκεται τοῦτον πεποιηκὼς, παντί που δῆλον ὅτιπερ κἂν ὡς μόνος ὀνομάζηται ὁ Πατὴρ Θεὸς ὢν ἀληθινὸς, συμπαραλαμβάνεται πάντως καὶ ὁ Υἱὸς, δι' οὗ τὰ πάντα ἐργάζεται καὶ λαλεῖ·

[05957] καὶ ἔστιν ὄντως ἐν τῷ ἑνὶ καὶ μόνῳ καὶ πρώτῳ καὶ ἀληθινῷ φυσικῶς, ὥσπερ ἐν τῷ φωτὶ τὸ ἀπαύγασμα αὐτοῦ.

[05958] ΛΟΓΟΣ ΚΗʹ.

[05959] Εἰς τὸ παρὰ τῷ Λουκᾷ κείμενον, Ἰησοῦς δὲ προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

[05960] Ἀντίθεσις ὡς ἐκ τῶν Εὐνομίου.

[05961] Καὶ πῶς δύναιτο, φησὶν, ἴσος εἶναι κατ' οὐσίαν τῷ Πατρὶ, ὁ μὴ τέλειος ὤν;

[05962] Ἰδοὺ γὰρ φαίνεται προ [75.424] κόπτων ἐν σοφίᾳ.

[05963] Ὁ δέ γε Πατὴρ ἀνενδεὴς ὢν, οὐκ ἐπιδέχεται προκοπήν.

[05964] Πρὸς τοῦτο λύσις.

[05965] Ἐρωτῆσαι προσήκει τοὺς χριστομάχους, περὶ τίνος εἰρῆσθαι νομίζουσι τὸ, Προέκοπτεν ἐν σοφίᾳ καὶ χάριτι.

[05966] Ἀλλ' ἐροῦσι δηλονότι περὶ τοῦ Ἰησοῦ Χριστοῦ.

[05967] Εἶτα, ὦ πάντων ἀνοητότατοι, τίνα οἴεσθε ἢ ποδαπὸν εἶναι τὸν Χριστὸν περὶ οὗ νῦν ὁ λόγος ἐστὶ τῷ Λουκᾷ;

[05968] Εἰ μὲν οὖν κοινὸν ἄνθρωπον εἶναι πιστεύετε, καὶ πλέον οὐδὲν ἔχειν τῶν ἄλλων ὑπολαμβάνετε, προκοπτέτω καὶ αὐτὸς, ὡς ἄνθρωπος.

[05969] Εἰ δὲ Θεός ἐστιν ἐνανθρωπήσας, καὶ Λόγος, καθὰ γέγραπται, γενόμενος σὰρξ, ποίαν ἐπιδέξεται προκοπήν;

[05970] ἢ πῶς ἀτελής ἐστιν ὁ ὑπάρχων ἴσα Θεῷ;

[05971] Ἀνάγκη γὰρ ἀτελῆ κἀκεῖνον ὑπάρχειν, ᾧ ἐστιν ἴσος, ἂν οὕτως ἔχει καθ' ὑμᾶς.

[05972] Εἰ δὲ τοῦτο φρονεῖν τε καὶ λέγειν δυσσεβὲς, καὶ παρ' ὑμῖν αὐτοῖς ἤδη φαίνεται (τέλειον γὰρ εἶναι δεδώκατε τὸν Πατέρα), ἀνάγκη τέλειον εἶναι πιστεύειν καὶ τὸν ἴσον αὐτῷ Υἱόν.

[05973] Οὐκοῦν οὐ καθὸ Λόγος ἐστὶ, προκόπτειν λέγεται, ἀλλὰ καθὸ γέγονεν ἄνθρωπος·

[05974] καὶ φύσιν πεφόρηκε τὴν τούτου δεκτικήν.

[05975] ΑΛΛΟ.

[05976] Λέγει που Παῦλος περὶ τοῦ Θεοῦ Λόγου, ὅτι καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχει, καὶ ἔστιν ἴσα Θεῷ.

[05977] Εἰ τοίνυν ἐν ἰσότητι τοῦ Πατρὸς ὑπάρχων προκοπὴν ἐπιδέχεται, καὶ προέκοψεν ὄντως, ἔστι τι μείζων τοῦ Πατρὸς, καὶ ὑπερήλατο τὸν γεννήσαντα ὁ προκόψας Λόγος, ἂν οὕτως ἔχῃ καθ' ὑμᾶς.

[05978] Ἀλλὰ τοῦτο τῶν ἀτοπωτάτων.

[05979] Οὐκ ἄρα προέκοψεν, ᾗ Λόγος ἐστίν·

[05980] ἔστι γὰρ τέλειος ὡς ὁ Πατὴρ, ἀλλ' εἴρηται καὶ τοῦτο διὰ τὴν τῆς ἐνανθρωπήσεως οἰκονομίαν.

[05981] ΑΛΛΟ.

[05982] Εἰ προέκοψεν ὁ Λόγος ὅτε γέγονεν ἄνθρωπος, καὶ τὴν ἡμῶν ἐφόρεσε σάρκα, οὐκ αὐτὸς ὠφέλησεν ἡμᾶς ἐνανθρωπήσας, ἀλλὰ μᾶλλον ἡ σὰρξ αὐτῷ γέγονε τῆς τελειώσεως πρόξενος.

[05983] Εἰ γὰρ ὄντως προέκοψεν, ὅτε γέγονε σὰρξ, ἀτελὴς ἦν ἄρα πρὸ τῆς ἐπιδημίας·

[05984] καὶ νῦν τετελείωται καθ' ὑμᾶς.

[05985] Πῶς οὖν εὐχαριστοῦμεν ὡς δι' ἡμᾶς ἐνανθρωπήσαντι, δέον αὐτὸν καὶ χάριν ὁμολογεῖν τῷ πράγματι;

[05986] Ἀλλὰ τοῦτο ἄτοπον.

[05987] Οὐκ ἄρα προέκοψεν ᾗ Λόγος ἐστὶν, ἀλλ' εἴρηται τοῦτο διὰ τὴν μετὰ σαρκὸς οἰκονομίαν.

[05988] ΑΛΛΟ.

[05989] Πολλοῖς ὀνόμασιν ὁ Λόγος τοῦ Θεοῦ καλεῖται παρὰ τῇ θείᾳ Γραφῇ.

[05990] Εἴρηται γὰρ καὶ ἔστιν Υἱός·

[05991] ἐκλήθη καὶ σοφία, ὠνόμασται καὶ Θεὸς, καὶ δύναμις, καὶ μορφὴ, καὶ εἰκὼν τοῦ Πατρός.

[05992] Εἰ δὲ ταῦτα ὢν σύμπαντα προκόπτει, τί ἄρα μεῖζον ἔχουσιν εἰπεῖν Υἱοῦ καὶ σοφίας, καὶ δυνάμεως, καὶ Θεοῦ, καὶ τῶν ἄλλων ἁπάντων, ἵνα μή τις τὰ καθ' ἕκαστον λέγοι;

[05993] Ἀλλ' ἔστι [75.425] τοῦτο φρονεῖν δυσσεβές.

[05994] Θεοῦ γὰρ μεῖζον οὐδέν.

[05995] Οὐκ ἄρα, ᾗ Λόγος ἐστὶ προκόπτειν λέγεται.

[05996] ΑΛΛΟ.

[05997] Ἀρχαὶ, καὶ Θρόνοι, καὶ Κυριότητες, Ἄγγελοί τε καὶ Ἀρχάγγελοι, καὶ πᾶσα δύναμις λογικὴ, ἔτι τε πρὸς τούτοις ἄνθρωποι τῇ τοῦ Λόγου μετοχῇ, τέλειοι πρὸς πᾶσαν εὐσέβειαν εἰσί τε καὶ γίνονται.

[05998] Πῶς οὖν ὁ τοῖς ἄλλοις τὴν τελειότητα διδοὺς, ἀτελὴς εἶναι δύναται, ὡς καὶ προκόψαι ζητεῖν, καὶ εἰς αὔξην ἐπιδοῦναί τινα;

[05999] πῶς δὲ εἴπερ ὄντως σοφία ἐστὶ, προκόπτειν ἐν σοφίᾳ δύναται;

[06000] ἢ πῶς ὁ ἄλλοις τὴν χάριν διδοὺς, αὐτὸς ἐν χάριτι προκόπτει ὡς οὐκ ἔχων αὐτήν;

[06001] εἰ μὴ ἄρα ψεύδεσθαι τὸν Παῦλον ἐροῦσι, καὶ σοφίαν καλοῦντα τὸν Υἱὸν, καὶ χάριτος χορηγόν;

[06002] Ἀλλ' οὐ ψεύδεται τῆς ἀληθείας ὁ ὑπηρέτης.

[06003] Οὐκ ἄρα προέκοψεν, ᾗ Λόγος ἐστὶν, ἀλλ' ὡς περὶ ἀνθρώπου λέγεται, πάντα τὰ ἡμῶν ἀναλαβόντος δι' ἡμᾶς.

[06004] ΑΛΛΟ.

[06005] Τὸ ἀτελὲς ἀεὶ πρὸς τὸ τέλειον ἐπείγεται, τὸν μὲν πρῶτον ἐν ᾧπέρ ἐστιν ἀτιμάζον τόπον, ζητοῦν δὲ ὥσπερ ἀεὶ τὸν ἐν μείζοσι καὶ ἀμείνονα.

[06006] Οἷον φέρε εἰπεῖν, ἄνθρωποι προκόπτομεν ἐν σοφίᾳ·

[06007] ὄντες ταῖς ἄλλαις ἀρεταῖς καὶ βραχὺ βελτιούμενοι, οὕτω τε πρὸς τελειότητα βίου φερόμεθα.

[06008] Ὁ δὲ τοῦ Θεοῦ Λόγος ὅλως ὢν ἐν Πατρὶ, ποῖ ποτε ἀναδραμεῖται;

[06009] ποίαν δὲ αὔξην ἐπιδέξεται οὕτω τέλειος ὢν, ὡς ὅλον ἔχειν ἐν ἑαυτῷ τὸν Πατέρα, καὶ ὅλος εἶναι πάλιν ἐν Πατρί;

[06010] Εἰ γὰρ τὸν Πατέρα πληρῶν (εἰρήσθω γὰρ καὶ σωματικώτερον ὡς ἐν ὑποδείγματι), προκοπὴν ἢ αὔξην ἐπεδέξατό τινα, ἔξω γέγονε τοῦ Πατρὸς, μείζων τοῦ ἐν ᾧπέρ ἐστι γεγονώς.

[06011] Ἀλλ' οὐκ ἐκβέβηκε τὸν Πατέρα.

[06012] Ἔστι δὲ ἀεὶ ἐν αὐτῷ, τέλειος ἐν τελείῳ μένων, καὶ τὸν τέλειον ἔχων ἐν ἑαυτῷ.

[06013] Οὐκ ἄρα προέκοψεν, ᾗ Λόγος ἐστὶν, ἀλλ' ἔστι τέλειος, μένων ὁ αὐτὸς, καὶ οὐκ ἀλλοιούμενος.

[06014] ΑΛΛΟ.

[06015] Λέγει που Παῦλος περὶ τοῦ Υἱοῦ, ὅτιπερ ἐταπείνωσεν ἑαυτὸν μορφὴν δούλου λαβών.

[06016] Εἰ τοίνυν οὐδεὶς ἐπὶ τούτῳ σκανδαλίζεται, οὐδὲ ἀκούων, Ἐταπείνωσεν ἑαυτὸν, μικρόν τι περὶ τοῦ Θεοῦ Λόγου φρονεῖ, ἀλλὰ μᾶλλον αὐτοῦ θαυμάζει τὴν φιλανθρωπίαν.

[06017] Πῶς οὐ περιττὸν ἀκροωμένους ὅτι προέκοπτε, σκανδαλίζεσθαι;

[06018] Εἰ γὰρ οὐδὲν ἐκ τοῦ ταπεινωθῆναι πέπονθεν εἰς τὴν θεότητα, οὐδὲ ἐκ τούτου πείσεται.

[06019] Καὶ ὥσπερ δι' ἡμᾶς ἐταπείνωσεν ἑαυτὸν, οὕτω καὶ δι' ἡμᾶς ἐπιδέχεται τὸ προκόπτειν, ἵνα πάλιν ἡμεῖς ἐν αὐτῷ προκόπτωμεν ἐν σοφίᾳ, οἱ πάλαι διὰ τὴν ἁμαρτίαν ἀποκτηνωθέντες·

[06020] προκόψωμεν δὲ καὶ ἐν χάριτι οἱ πάλαι μεμισημένοι διὰ τὴν ἐν Ἀδὰμ παράβασιν.

[06021] Πάντα γὰρ τὰ ἡμῶν δι' ἡμᾶς εἰς ἑαυτὸν ἀνεδέξατο Χριστὸς, ἵνα πάντα μεταποιήσῃ πρὸς τὸ ἄμεινον, καὶ ἀρχὴ γένηται τῶν γενητῶν ἀνθρώπων παντὸς ἀγαθοῦ.

[06022] [75.428] ΑΛΛΟ, ἐξήγησις πιθανὴ τοῦ αὐτοῦ ῥητοῦ.

[06023] Φυσικός τις νόμος οὐκ ἐπιτρέπει τὸν ἄνθρωπον τῆς τοῦ σώματος ἡλικίας ὥσπερ μείζονα πολὺ τὴν φρόνησιν ἔχειν·

[06024] ἀλλὰ συντρέχει πως καὶ ἡ ἐν ἡμῖν σύνεσις, καὶ συμβαδίζει τρόπον τινὰ ταῖς τοῦ σώματος προκοπαῖς.

[06025] Ἦν οὖν ὁ Λόγος ἐν σαρκὶ γενόμενος ἄνθρωπος, καθὰ γέγραπται·

[06026] καὶ ἦν τέλειος, σοφία τοῦ Πατρὸς καὶ δύναμις ὤν.

[06027] Ἐπειδὴ δὲ τῷ τῆς φύσεως ἡμῶν ἔθει παραχωρεῖν πως ἐχρῆν, ἵνα μή τι ξένον παρὰ τοῖς ὁρῶσι νομισθῇ, ὡς ἄνθρωπος, κατὰ βραχὺ πρὸς αὔξην ἰόντος τοῦ σώματος, ἀπεκάλυπτεν ἑαυτὸν καὶ ὁσημέραι σοφώτερος παρὰ τοῖς ὁρῶσιν ἢ καὶ ἀκούουσιν ἐφαίνετο.

[06028] Τέλειος μὲν ὢν ἐν ἅπασι, καθὰ προείρηται, ἀκολουθῶν δὲ τῷ κοινῷ τῆς φύσεως ἔθει.

[06029] Ὅταν οὖν ἀκούσῃς, Προέκοπτεν ἐν σοφίᾳ καὶ χάριτι, μὴ αὐτῷ τινα προσθήκην σοφίας ἐγγενέσθαι νομίσῃς, ἀνενδεὴς γὰρ ὁ τοῦ Θεοῦ Λόγος·

[06030] ἀλλ' ὅτι παρὰ τοῖς ὁρῶσι σοφώτερος ἀεὶ καὶ χαριέστερος ἦν, προκόπτειν εἴρηται, ὡς ἐντεῦθεν ἤδη τὴν τῶν θαυμαζόντων προκόπτειν ἕξιν, ἢ τὴν αὐτοῦ.

[06031] ΑΛΛΟ.

[06032] Τὸ ἔν τινι προκόπτον, ἕτερόν ἐστι παρ' ἐκεῖνο ἐν ᾧ προκόπτειν λέγεται.

[06033] Εἰ τοίνυν ἐν σοφίᾳ προκόπτειν εἴρηται, οὐχ ἡ σοφία προέκοπτεν, ἀλλ' ἐν αὐτῇ τὸ ἀνθρώπινον, Ἀποκαλυπτομένης γὰρ καὶ φανερουμένης ὁσημέραι τῆς θεότητος ἐν αὐτῷ, ἀεὶ θαυμαστότερος παρὰ τοῖς ὁρῶσιν ἐγίνετο.

[06034] Καὶ τοῦτό ἐστι τὸ, Προέκοπτεν ἐν σοφίᾳ.

[06035] ΑΛΛΟ.

[06036] Ἐν σοφίᾳ προέκοπτε τὸ ἀνθρώπινον, κατὰ τόνδε τὸν τρόπον·

[06037] ἡ τὴν ἀνθρώπου φύσιν ἐνδυσαμένη σοφία, τουτέστιν, ὁ τοῦ Θεοῦ Λόγος, κατὰ βραχὺ διὰ τῶν ἔργων καὶ τῶν παραδόξων ἀποτελεσμάτων, θεοποιοῦσα παρὰ τοῖς ὁρῶσι τὸν ἀναληφθέντα ναὸν, προκόπτειν αὐτὸν ἐποίει κατὰ τοῦτο.

[06038] Οὕτως ἐν σοφίᾳ προέκοπτεν ἡ ἀνθρωπότης, θεοποιουμένη δι' αὐτῆς.

[06039] Διὸ καὶ ἡμεῖς καθ' ὁμοιότητα τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος Λόγου, καὶ υἱοὶ Θεοῦ κεκλήμεθα καὶ θεοί.

[06040] Προέκοπτεν οὖν ἡ φύσις ἡμῶν ἐν τῇ σοφίᾳ, τρέχουσα μὲν ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν, ἀπὸ δὲ ἀνθρωπότητος εἰς τὸ τῆς θεότητος ἀξίωμα ἐν Χριστῷ.

[06041] Ἀντίθεσις ὡς ἐκ τῶν δι' ἐναντίας.

[06042] Ἤκουσα, φησὶν, ἀπὸ τῆς θείας Γραφῆς, ὅτιπερ ὁ τοῦ Θεοῦ Λόγος γενόμενος ἄνθρωπος, Ἰησοῦς ἐκλήθη.

[06043] Αὐτὸς οὖν ἐστιν ὁ προκόπτων.

[06044] Μὴ γάρ μοι διέλῃς, ἕνα Χριστὸν τοῦ Παύλου κηρύττοντος.

[06045] Καὶ εἰ προκοπὴν ἐπιδεχόμενος φαίνεται, ἀτελὴς ἄρα.

[06046] Καὶ πῶς ὁ τοιοῦτος ἴσος ἔσται τῷ τελείῳ Πατρί·

[06047] Πρὸς τοῦτο λύσις.

[06048] Οὐδὲν ἀδικήσεις εἰς θεότητα τὸν Υἱὸν, οὔτε κολοβῶσαι δυνήσῃ τὸ φυσικὸν ἀξίωμα, κἂν τοῦτο λέγων ἐμμένῃς, ἁλώσῃ δὲ μᾶλλον ἐξ ὧν οἴει νικᾷν.

[06049] Εἰ γὰρ [75.429] ὅλως οἶσθα σάρκα γεγονότα τὸν Λόγον, καὶ ἄνθρωπον γεννηθέντα, καθά φησιν ἡ θεία Γραφὴ, τί μὴ δίδως αὐτῷ καὶ τὰ ἀνθρώπῳ πρέποντα πάσχειν χωρὶς ἁμαρτίας;

[06050] Ἐπειδὴ γὰρ τῇ σαρκὶ τὸ προκόπτειν ὀφείλεται, λεγέσθω προκόπτειν, ὡς ἐν αὐτῇ γενόμενος, καὶ τὰ αὐτῆς οἰκειούμενος ἀκατηγόρητα πάθη.

[06051] Οὐ γὰρ ἑτέρου τινὸς ἦν ἡ σὰρξ, ἀλλ' αὐτοῦ τοῦ Λόγου.

[06052] Καὶ ὥσπερ λέγομεν αὐτὸν πεπονθέναι σαρκὶ, καίτοι μόνης παθούσης τῆς σάρκος, ἐπειδήπερ καὶ εἰ μὴ πέπονθεν, ὡς Θεὸς, ἀλλ' ἴδιον ἦν αὐτοῦ τὸ πάσχον σῶμα, οὕτω κἂν προκόπτειν λέγηται, προκοπὴν οὐδεμίαν ἐπιδεχόμενος ὡς Θεὸς, διὰ τὸ προκόπτειν ἐν αὐτῶ τὴν ἰδίαν ἑαυτοῦ σάρκα τοῦτο λέγεται.

[06053] ΑΛΛΟ.

[06054] Καὶ αὐτὸς ὁμολογεῖς, ὦ χριστομάχε, τὸν τοῦ Θεοῦ Λόγον γεγενῆσθαι σαρκὶ, ὅπερ οὐδὲν ἕτερόν ἐστι λέγειν, ἢ ὅτι σάρκα περιεβάλετο, καὶ ὄντως γέγονεν ἄνθρωπος.

[06055] Ὥσπερ οὖν, ὅταν ἀκούσῃς μέγα τι περὶ τοῦ Λόγου, καὶ ὅπερ αὐτῷ πρέπει γυμνῷ καὶ οὔπω τὴν σάρκα περιβεβλημένῳ, ὡς ὅταν λέγηται φῶς καὶ ἀπαύγασμα ἡ σοφία τοῦ Πατρὸς, οὐ τὴν σάρκα νοεῖς, ἀλλὰ τὸν ἐν τῇ σαρκὶ κατοικήσαντα Λόγον, οὕτως ὅταν λέγηταί τι παρὰ ταῖς θείαις Γραφαῖς, ὃ μόνῃ πρέπει τῇ σαρκὶ, ἢ καὶ τῷ ἀνθρωπίνῳ σχήματι, μὴ ἐπὶ τὸν Λόγον ἀγάγῃς, ἀλλὰ δίδου τῇ φύσει τῆς σαρκὸς τὰ αὐτῇ χρεωστούμενα.

[06056] Οὐκοῦν ὅταν προκόπτειν λέγηται, οὐχ ἡ σοφία καθ' ἑαυτὴν προέκοπτεν ᾗ σοφία ἐστὶν, ἀλλ' ἐν σοφίᾳ τὸ ἀνθρώπινον, κατὰ βραχὺ διαλάμπον καὶ φαινόμενον δι' αὐτῆς.

[06057] Ὅτιπερ καὶ ὄργανον εἴη τῆς ἐν αὐτῇ θεότητος, κατὰ βραχὺ πρὸς τὴν ἔκφασιν αὐτῆς διὰ τῶν ἔργων ὑπηρετοῦν.

[06058] Ἐπιτήρει δὲ ὅμως, ὅτι οὐκ εἶπεν, Ὁ Λόγος δὲ προέκοπτεν, ἀλλ' Ἰησοῦς, ἵνα μὴ γυμνὸν νοήσῃς τὸν Λόγον·

[06059] ἀλλ' ὅτε γέγονε σάρξ.

[06060] Καὶ εἰ προκόπτειν λέγεται, ὅτι τὸ προκόπτειν πεφυκὸς ἀνεδέξατο, τουτέστι, τὸ ἀνθρώπινον, τῆς ἀνθρωπότητος ἂν εἴη·

[06061] καὶ κατ' αὐτῆς εὐλόγως ἂν φέροιτο τὸ προκόπτειν.

[06062] Οὕτω γὰρ ἕκαστον τῶν λεγομένων ἐν τῇ οἰκείᾳ τάξει κείσεται, οὔτε τῶν ὅσα πρέπει γυμνῷ τῷ Λόγῳ καταφερομένων εἰς τὸ ἀνθρώπινον, οὔτε μὴν τῶν ἀνθρωπίνων ἀναβαινόντων εἰς τὸν τῆς θεότητος λόγον.

[06063] ΛΟΓΟΣ ΚΘʹ.

[06064] Εἰς τὸ, Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα.

[06065] Ἀντίθεσις ὡς ἐκ τῶν αἱρετικῶν.

[06066] Καὶ πῶς ἴσος ἔσται, φασὶ, κατὰ φύσιν τῷ Πατρὶ ὁ Υἱὸς, εἴ γε ἀληθεύειν λέγει ὁ Παῦλος, ὅτι καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ Πατρί;

[06067] Ἀνάγκη γὰρ πᾶσα συνομολογεῖν ὅτι τὸ ὑποτασσόμενον τοῦ ὑποτάσσοντος ἔλαττον·

[06068] ὥσπερ οὖν ἀμέλει καὶ τοῦ νικῶντος τὸ νικώμενον.

[06069] [75.432] Πρὸς τοῦτο λύσις.

[06070] Οὐ νοοῦσιν οἱ χριστομάχοι καὶ ταῖς ἑαυτῶν ἀσεβείαις διὰ τούτων μαχόμενοι.

[06071] Εἰ γὰρ δίδως εἶναι τὸν Υἱὸν ἐλάττονα τοῦ Πατρὸς, καὶ τοῦτο κρατύνειν ἐπείγῃ, διατί μὴ νῦν ὑποτέτακται;

[06072] Λέγων γὰρ ὁ Παῦλος ὅτι Τότε ὑποταγήσεται, τόνδε τὸν τοῦ πράγματος καιρὸν ὡς ἐσόμενον ὁρίζων, οὔπω δείκνυσιν ὑποτεταγμένον αὐτόν.

[06073] Εἶτα πῶς οὐ πάσης ἐπέκεινα δυσφημίας ἐστὶ τὸ λέγειν οὐχ ὑποτετάχθαι νῦν τῷ Πατρὶ τὸν Υἱὸν, μάχεσθαι δὲ ὥσπερ καὶ στασιάζειν πρὸς τὸν γεννήσαντα;

[06074] Τὸ γὰρ ἀνυπότακτον ὡς ἐν λογικοῖς, ἐν ἰδίοις ἐστὶ θελήμασι.

[06075] Τί οὖν ἐροῦμεν, ὅταν λέγῃ Χριστός·

[06076] Οὐκ ἦλθον ἵνα ποιήσω τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με;

[06077] Λεγέτωσαν ἡμῖν οἱ δεινοὶ περὶ τὸ δύνασθαι νοεῖν τὰς θείας Γραφὰς, εἰ μὴ ὑποταγῆς ἔχει δύναμιν τὸ ἐξανύειν τὸ θέλημα τοῦ Πατρός;

[06078] Πῶς οὖν ὁ νῦν ὑποτασσόμενος ὡς τότε ὑποταχθησόμενος λέγεται;

[06079] Οὐκοῦν ἀκουέτωσαν εὐλόγως·

[06080] Πλανᾶσθε μὴ εἰδότες τὰς Γραφάς.

[06081] ΑΛΛΟ.

[06082] Εἰ ποίημα καὶ κτίσμα δίδως εἶναι τὸν Υἱὸν, καὶ τοῖς γεγονόσιν αὐτὸν εἰ καταριθμεῖς, πῶς, εἰπέ μοι, κατὰ τὴν σὴν, ὦ οὗτος, ἀβουλίαν δουλικῆς ὑπάρχων οὐσίας, οὐχ ὑποτάσσεται νῦν τῷ πάντων Πατρὶ, τοῦ Ψαλμῳδοῦ περὶ τῶν πεποιημένων λέγοντος ὅτι Τὰ σύμπαντα δοῦλα σά;

[06083] Ἢ γὰρ ἀνάγκη μὴ δύνασθαι λέγειν τὸν Πατέρα καὶ ἄκοντα τὸν Υἱὸν ὑποθεῖναι, καὶ γέγονε κρείττων ὁ καθ' ὑμᾶς ἐλάττων, ἢ εἴπερ ἐστὶ τὸ ὑποτάσσεσθαι καλὸν, οὐχ ὑποτάσσεται δὲ νῦν ὁ Υἱὸς, ὡς γὰρ εἰς ὕστερον ὑποταχθησόμενος λέγεται, ἁμαρτίαν αὐτοῦ καταψηφιεῖσθε.

[06084] Καὶ ποῦ σωθήσεται τὸ Πατρὶ αὐτοῦ λεγόμενον, Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν;

[06085] Φεῦγε τὴν ἀτοπίαν τοῦ λόγου.

[06086] ΑΛΛΟ.

[06087] Ἀντίθεσις ὡς ἐκ τῶν αὐτῶν·

[06088] Καὶ πῶς οὐ πᾶσιν εὐσύνοπτον ἔσται, φασὶν, ὅτι τοῦ Πατρὸς ἐλάττων ἐστὶν ὁ Υἱὸς, ὑποταττόμενος αὐτῷ;

[06089] Πρὸς ταῦτα λύσις.

[06090] Καὶ πῶς οὐ πᾶσιν εὐσύνοπτόν ἐστι (κεχρῆσθαι γὰρ ἀκόλουθον ταῖς ὑμῶν ἤδη φωναῖς), ὅτι τὸ ἴσον ἴσῳ πολλάκις οἰκονομικῶς ὑποτάσσεται;

[06091] Ἢ γὰρ οὐχ ἓν καὶ τὸ αὐτὸ δώσομεν ἐν τοῖς προφήταις εἶναι τὸ Πνεῦμα;

[06092] Καὶ πῶς ὁ Παῦλός φησιν, ὅτι καὶ Πνεύματα προφητῶν προφήταις ὑποτάσσεται;

[06093] Πῶς δὲ τῆς ὑποταγῆς ὄνομα τῆς πρὸς τὸν Πατέρα ἰσότητος ἐκβάλλει τὸν Υἱόν;

[06094] Ἢ γὰρ οὐχὶ καὶ ἐν ἡμῖν εἴκουσι μὲν πατράσιν οἱ υἱοὶ καὶ ὑποτάττονται, μίαν ἔχοντες ὡς πρὸς αὐτοὺς τὴν οὐσίαν, καὶ τῆς αὐτῆς ὄντες φύσεως μέτοχοι;

[06095] Οὔτε γὰρ ἐν τοῖς ὑποτεταγμένοις ἐλάττων ὁ τῆς φύσεως λόγος, οὔτε ἐν τοῖς ὑποτάττουσι μείζων ἢ ὑπερβεβηκὼς εὑρίσκεται.

[06096] Ἑνὸς γὰρ ὄντος καὶ τοῦ αὐτοῦ κατὰ πάντων ἀνθρώπων τοῦ λόγου τῆς οὐσίας, μυρία διὰ τῆς τινων ὑποταγῆς οἰκονομεῖται τὰ χρή [75.433] σιμα.

[06097] Εἰ δὲ καλὸν τοῦτο τέτακται καὶ ἐφ' ἡμῶν, καὶ κατ' οὐδένα τρόπον τοῦ κοινοῦ τῆς φύσεως ἐξίστησιν ὅρου, τί μὴ τὸ ἴσον φυλάττοντες ἐπὶ τοῦ Θεοῦ Λόγου, τὴν ἄτοπον ταύτην παραιτεῖσθε δυσφημίαν;

[06098] ΑΛΛΟ.

[06099] Πόθεν ὑμῖν, ὦ οὗτοι, παρέστη λέγειν ἐλάττονα τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν διὰ τὴν καλουμένην ὑποταγήν;

[06100] Οὐ γὰρ ἐν τῷ ὑποτάσσεσθαι τῆς οὐσίας αὐτοῦ τὸν λόγον ὁριζόμεθα·

[06101] οὔτε μὴν ἐν τῇ ὑποταγῇ ἐστι τὸ εἶναι τοῦ Υἱοῦ·

[06102] ἀλλ' ὢν καὶ ὑπάρχων ἰδιαζόντως, ὑποτάσσεσθαι λέγεται.

[06103] Οὐκοῦν εἰ τῆς οὐσίας αὐτοῦ τὸν ὅρον οὐκ ἔχει τὸ τῆς ὑποταγῆς ὄνομα, οὐ δι' αὐτὴν ἐλάττων ἔσται τοῦ Πατρός.

[06104] Εἰ δὲ οἴεσθε τὴν ὑποταγὴν ὅρον εἶναι τῆς οὐσίας τοῦ Υἱοῦ, σκοπεῖτε λοιπὸν εἰς ὅσον ἀσεβείας καταφέρεσθε βόθρον.

[06105] Ἀνάγκη γὰρ εἰπεῖν τότε εἰς ὕπαρξιν καλεῖσθαι τὸν Υἱὸν, ὅταν καὶ ὁ τῆς ὑποταγῆς γένηται καιρός.

[06106] Ὡς γὰρ ὑποταχθήσεσθαι μέλλοντα, καὶ οὔπω ὑποτεταγμένον ὁ Παῦλος εἰσφέρει.

[06107] ΑΛΛΟ, ἐξήγησιν ἔχον πιθανὴν τοῦ ῥητοῦ.

[06108] Πάντα ὁ Πατὴρ ἐργάζεται δι' Υἱοῦ, καὶ τοῦτό ἐστι τὸ τῆς ὑποταγῆς σχῆμα, τὸ δοκεῖν ὥσπερ τοῖς τοῦ Πατρὸς ὑποκεῖσθαι θελήμασιν.

[06109] Ὥσπερ ἀμέλει καὶ τοῦ Πατρὸς λέγοντος·

[06110] Ποιήσωμεν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς ὁ Λόγος λαμβάνει θεοπρεπῶς, καὶ τὸ δόξαν ἐργάζεται.

[06111] Πάντα γὰρ δι' αὐτοῦ ἐγένετο.

[06112] Διδάσκων τοιγαροῦν ὁ Παῦλος, ὅτι καὶ κατὰ τὸν αἰῶνα τὸν μέλλοντα τὰ πάντα ὁ Πατὴρ ἐν ἡμῖν γενήσεται πάλιν δι' Υἱοῦ, σοφῶς δὴ λίαν φησίν·

[06113] Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ὁ Θεὸς ᾖ τὰ πάντα ἐν πᾶσιν.

[06114] Ὅμοιον γὰρ ὡς εἰ ἔλεγεν·

[06115] Μηδεὶς οἰέσθω κατὰ τὸν αἰῶνα τὸν μέλλοντα, ἑτέρως ἡμᾶς μετόχους ἔσεσθαι τοῦ Πατρὸς, εἰ μὴ πάλιν δι' Υἱοῦ.

[06116] Τὸ δὲ, δι' Υἱοῦ, τὴν ὑποταγὴν σημαίνει, οὐδὲν μὲν εἰς τὸν τῆς οὐσίας λόγον ἀδικοῦσαν τὸν Υἱὸν, τὴν δὲ τῆς ἁγίας Τριάδος ἑνότητα καὶ συνήθη στάσιν ἀπαράλλακτον εἰσφέρουσαν.

[06117] Οὐ γὰρ στασιάσει τότε πρὸς ἑαυτὴν, οὐδὲ ἀτάκτοις μεταβολαῖς θορυβηθήσεται τὸ ἀεὶ ὡσαύτως ἔχον, ἀλλ' ἔσται πάλιν καὶ κατ' ἐκεῖνο καιροῦ Πατὴρ δι' Υἱοῦ τὰ πάντα ἐν πᾶσι, καὶ ζωὴ, καὶ ἀφθαρσία, καὶ χαρὰ, καὶ ἁγιότης, καὶ δύναμις, καὶ ὅπερ ἂν ὑπάρχοι τοῖς ἁγίοις ἐν ὑποσχέσει κείμενον.

[06118] Ὅρα γὰρ ὅσην οἰκονομίαν ὁ Λόγος φέρει.

[06119] Ἐπειδὴ γὰρ ἔφησεν ὑποταχθήσεσθαι τῷ Υἱῷ διὰ τοῦ Πατρὸς τὰ πάντα, ἵνα μὴ τῆς ἁπάντων, κυριότητος ἔξω γεγονὼς ὁ Πατὴρ ὑποπτεύηται ὡς κρατήσαντος αὐτῶν τοῦ Υἱοῦ, ἀναγκαίως τὸν πάντων κρατήσαντα, οὐκ ἀνυπότακτον εἰσφέρει πρὸς τὸν Πατέρα, ἵνα τῆς πάντων κυριότητος τὸ πᾶν ἔχοι κράτος ὁ Πατὴρ, συμμετέχοντος αὐτῷ φυσικῶς τοῦ Υἱοῦ, καθὸ μία θεότης ἡ βασιλεύουσα, Πατὴρ δι' Υἱοῦ σὺν ἁγίῳ Πνεύματι.

[06120] ΑΛΛΟ.

[06121] Εἰ τὸ τῆς ὑποταγῆς ὄνομα τῆς πρὸς τὸν Πατέρα [75.436] ἰσότητος ἐκβάλλει τὸν Υἱὸν, ὥρα λέγειν ὑμᾶς, οἷς οὐδὲν ἀτόλμητον εἰπεῖν, ὅτιπερ ἐλάττων ἐστὶ κατὰ τὸν παρόντα καιρὸν ὁ Πατὴρ τοῦ Υἱοῦ τῷ τῆς ὑποταγῆς διακονούμενος τρόπῳ, καὶ λέγων πρὸς αὐτόν·

[06122] Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

[06123] Εἰ δὲ τῇ πρὸς τὸν Υἱὸν τῶν πάντων ὑποταγῇ διακονούμενος ὁ Πατὴρ, οὐ διὰ τοῦτο ἐλάττων ἐστὶν, οὐδὲ ὁ Υἱὸς ἐλάττων ἔσται τοῦ Πατρὸς, διὰ τὴν ὑποταγήν.

[06124] Ὅπερ γὰρ ἤδη φθάσας πεποίηκεν ὁ Πατὴρ, τοῦτο παρὰ τοῦ Υἱοῦ τρόπον τινὰ καὶ αὐτὸς ἀντικομίζεται.

[06125] ΑΛΛΟ.

[06126] Ὁ καὶ νῦν ὑποτεταγμένος τῷ Πατρὶ, πῶς ἐν ὑστέροις καιροῖς, μᾶλλον δὲ κατὰ τὸν αἰῶνα τὸν μέλλοντα ὑποταχθήσεσθαι λέγεται;

[06127] Ἢ γὰρ οὐχ ὑποτέτακται καὶ νῦν τοῦ Πατρὸς ἐξανύων τὸ θέλημα καὶ ταπεινώσας ἑαυτὸν, καθὰ γέγραπται, δουλικὸν δὲ σχῆμα καὶ μορφὴν ἀναλαβὼν, ἵνα πληρώσῃ τὸ ἔργον αὐτοῦ, καθά φησιν αὐτός;

[06128] Ἀλλ' οἶμαι τοῦτο πᾶσιν ὑπάρχειν καταφανὲς, ἀληθές τε ὂν διὰ τῆς τῶν πραγμάτων ἐρεύνης εὑρίσκεται.

[06129] Πῶς οὖν τὸν ὑποτεταγμένον ἤδη ὡς ἐς ὕστερον ὑποταχθησόμενον ὁ θεσπέσιος ἡμῖν εἰσφέρει Παῦλος;

[06130] Οὐκοῦν ἐξεταζέτωσαν τὸ ῥητὸν ἀκριβῶς.

[06131] Ὅταν, φησὶν, ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν τοῖς πᾶσι.

[06132] Τί οὖν ἐστιν ὃ βούλεται λέγειν;

[06133] ὑποτέτακται καὶ νῦν ὁ Χριστὸς τῷ Πατρὶ, οὐχ ὑπὲρ πάντων, ἀλλ' ὑπὲρ μόνων τῶν πεπιστευκότων εἰς αὐτόν·

[06134] καὶ ὑπὲρ αὐτῶν ὡς ἀμνὸν ἄμωμον ἑαυτὸν προσήνεγκε τῷ Πατρὶ, σταυροῦ καὶ αἰσχύνης καταφρονήσας, ἵνα πάσης ἁμαρτίας ἐλευθερώσας, καθαροὺς καὶ ἀσπίλους προσαγάγῃ τῷ πεποιηκότι.

[06135] Ὅταν οὖν πάσης ἐκποδὼν γενομένης πλάνης οἱ κατὰ πᾶσαν τὴν ὑφ' ἡλίῳ τὸν ἀληθινὸν ἐπιγνοῖεν Θεὸν, καὶ βασιλέα καὶ Κύριον ὁμολογήσωσι τὸν Χριστὸν τοῖς σωτηρίοις αὐτοῦ ἐπιτάγμασιν ὑποτασσόμενοι, τότε δὴ, τότε ὡς πάντων ὑποτεταγμένων, ὑπὲρ πάντων ὑποταχθήσεται, Θεὸς καὶ Κύριος καὶ ἀρχιερεὺς πάντων εὑρισκόμενος, καὶ δι' ἑαυτοῦ τοῖς πᾶσι διδοὺς τὸ μετέχειν δύνασθαι τοῦ ἐν αὐτῷ Πατρός.

[06136] Οὕτω γὰρ ἐν πᾶσιν ἔσται τὰ πάντα Θεὸς, δι' Υἱοῦ μεσίτου τοῖς πᾶσιν ἐνοικιζόμενος, καὶ χωρῶν εἰς ἕκαστον τῶν κεκλημένων εἰς σωτηρίαν.

[06137] ΑΛΛΟ.

[06138] Σκοπείτω πᾶς εὐσεβὴς τῶν εἰρημένων τὴν δύναμιν, καὶ περιεργαζέσθω σαφῶς τὴν ἀκριβεστάτην του ῥητοῦ διάνοιαν·

[06139] τρόπον γάρ τινα τὸ ἐξ ἀμαθίας διαβήσεται κακόν.

[06140] Φησὶ τοιγαροῦν ὁ Παῦλος ὅτι, Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι.

[06141] Πρῶτον μὲν ἄξιον ἐπιτηρεῖν εἰς ποίαν κατέληξε διάνοιαν ἡ τοῦ Παύλου φωνή.

[06142] Οὐ γὰρ εἶπεν ὑποταγήσεσθαι τῷ Πατρὶ τὸν Υἱὸν, ἵνα ἐλάττων αὐτοῦ κατ' οὐσίαν γένηται, ἀλλ' ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν.

[06143] Ὁρᾷς ὅτι τὴν με [75.437] σιτείαν εἰσφέρει τοῦ Λόγου τὴν πρὸς ἡμᾶς ὡς πρὸς τὸν Πατέρα;

[06144] Συνέσται γὰρ πάλιν τοῖς ἁγίοις, ἀναλόγως τῇ ἑκάστου χάριτι χορηγῶν ἑαυτὸν, ἵνα δι' αὐτοῦ μέτοχοι γένοιντο τοῦ Πατρός.

[06145] Καὶ οὗτός ἐστι τῆς ὑποταγῆς ὁ τρόπος·

[06146] διακονεῖ γὰρ ὥσπερ τὴν παρὰ Πατρὸς εὐλογίαν, φυσικῶς δι' ἑαυτοῦ μεταδιδοὺς τοῖς εἰς αἰώνιον κεκλημένοις ζωήν.

[06147] Οὐκ ἀναγκάσει δὲ τοῦτο τῆς φυσικῆς ἀξίας ἔξω γενέσθαι τὸν Υἱόν·

[06148] ἀλλ' ὢν καὶ ὑπάρχων ὅπερ ἐστὶν, τῇ πρὸς ἡμᾶς συγκαταβάσει, διακονήσει καὶ τότε τῷ Πατρὶ, χορηγῶν ἡμῖν τὴν περὶ θεότητος γνῶσιν ὡς μανθάνειν δυνάμεθα.

[06149] Εἶτα κἀκεῖνο πρὸς τούτοις ἀκόλουθον νοεῖν, ὥσπερ ἡμᾶς ὑποτάττων ὁ Πατὴρ τῷ Υἱῷ, οὐκ ἄλλο τι κατὰ τὴν οὐσίαν ἐργάζεται, οὐδὲ ἕτεροί τινες κατὰ τὴν φύσιν διὰ τὴν ὑποταγὴν εὑρισκόμεθα, παρ' ὅπερ γεγόναμεν ἐξ ἀρχῆς, γνώμης δὲ μεταβολὴ καὶ τρόπου καὶ γνώσεως τὴν ὑποταγὴν ἐργάζεται, οὕτω καὶ ὁ Υἱὸς, οὐ τῆς οἰκείας φύσεως τοὺς ὅρους ἐκβαίνων (οὐ γὰρ οἶδε μεταποιεῖσθαι Θεὸς), ὑποτάσσεται τῷ Πατρὶ, ἀλλά τις ἔσται τρόπος πράγματος καὶ κατ' ἐκεῖνο καιροῦ ὑποταττόμενον αὐτὸν δεικνύων, καὶ ἐν θελήματι μόνῳ, οὐ πάντως ἐν οὐσίας μεταβολῇ τὸ τῆς ὑποταγῆς εὑρεθήσεται πρᾶγμα.

[06150] ΑΛΛΟ.

[06151] Εἰ ἐλάττων ἔσται τοῦ Πατρὸς καὶ κατὰ φύσιν ἕτερος ὁ Υἱὸς ὑποταττόμενος αὐτῷ κατὰ τὸν ὁρισθέντα καιρὸν διὰ τῆς τοῦ Παύλου φωνῆς, οὔπω δὲ ὑποτέτακται, ἔχει νῦν ἄρα πρὸς αὐτὸν τὴν ἰσότητα.

[06152] Καὶ πῶς τὸ νῦν κατὰ φύσιν ἴσον τῷ γεγεννηκότι, ἔλαττόν ἐστι κατ' ἐκεῖνο καιροῦ;

[06153] Ἢ γὰρ φθορά τις ἔσται περὶ αὐτὸν καὶ ἐλάττωσις, καὶ λοιπὸν τοιούτοις ὑποπεσεῖται τὸ Θεῖον, ἢ ἐπείπερ τοῦτο ἀσεβὲς καὶ ἀλόγιστον εἰπεῖν, αὐτοὶ τῆς ἐλαττώσεως εἰσηγείσθωσαν τὸν τρόπον.

[06154] Οὐδὲν γὰρ εἰς οὐσίαν ἀδικουμένου τοῦ Υἱοῦ, οὐδὲν ἀδικήσει τῆς ὑποταγῆς ὁ τρόπος.

[06155] ΛΟΓΟΣ Λ.

[06156] Εἰς τὸ, Πάτερ, δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί.

[06157] Ἀντίθεσις ὡς ἐκ τῶν χριστομάχων.

[06158] Καὶ πῶς, φασὶν, οὐκ ἄτοπον ὅμοιον εἶναι λέγειν κατ' οὐσίαν τὸν Υἱὸν τῷ Πατρὶ, ὅς γε δόξαν αἰτῶν εὑρίσκεται παρ' αὐτοῦ;

[06159] Λέγει γάρ·

[06160] Πάτερ, δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί.

[06161] Εἰ μὲν γὰρ ἔχων αἰτεῖ, περιττῶς τοῦτο φανεῖται ποιῶν·

[06162] εἰ δὲ μὴ ἔχων, δῆλος ἐντεῦθέν ἐστιν, οὐκ ὢν τοσοῦτος ὅσος ὁ χορηγὸς ὧν ἐζήτει λαβεῖν.

[06163] Πρὸς τοῦτο λύσις.

[06164] Καὶ πῶς ἂν δέοιτο δόξης ὁ τῆς δόξης Κύριος;

[06165] τί δὲ ἐλλεῖπον, εἰπέ μοι, τῷ τελείῳ φανεῖται;

[06166] Οὐ γὰρ ἀνέξεταί τις λεγόντων ὑμῶν ἀτελῆ κατά τι γοῦν ὑπάρχειν τὸν Υἱὸν τοῦ Θεοῦ.

[06167] Ἄλλως τε κἀκεῖνο λίαν ἀτοπώτατον ἐννοεῖν, ὅτι καθάπερ τις ἄνθρωπος ἐπὶ δόξαις ἡδόμενος καὶ ἐκ πάθους τοῦτο ποιῶν, οὕτως ἐστὶ καὶ ὁ [75.440] Υἱὸς δόξαν αἰτῶν παρὰ τοῦ Πατρός.

[06168] Ἀλλ' ἔστι τις ἐν τούτῳ βαθὺς οἰκονομίας λογισμὸς καὶ τρόπος.

[06169] ΑΛΛΟ.

[06170] Συνθησόμεθα καὶ αὐτοὶ τῷ παροισθέντι ῥητῷ παρ' ὑμῶν, ὦ χριστομάχοι.

[06171] Ἔφησε μὲν γὰρ ὁ Σωτὴρ ὁμολογουμένως·

[06172] Πάτερ, δόξασόν σου τὸν Υἱόν.

[06173] Ἀλλὰ πρὸς ταύτην αὐτοῦ τὴν φωνὴν ἀπεκρίνατο καὶ ὁ Πατὴρ, λέγων·

[06174] Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω.

[06175] Εἰ τοίνυν δόξαν ὡς οἴεσθε τοιαύτην ὡς δόξης λειπόμενος ᾔτησεν ὁ Υἱὸς, ὑπέσχετο δὲ δοξάσειν αὐτὸν ὁ Πατὴρ, ὅτου δὴ χάριν ὕβρεις ἀκολουθοῦσι μετὰ τὴν αἴτησιν, καὶ τὰ παρὰ τῶν Ἰουδαίων ῥαπίσματα, καὶ στέφανος ἐξ ἀκανθῶν, καὶ ἐμπτύσματα;

[06176] Ἐνταῦθα γὰρ οὐ δοξάσας αὐτὸν ὁ Πατὴρ φαίνεται, ἀλλὰ πᾶν τοὐναντίον ἐκβεβηκὼς οἷς ἤθελε καὶ ἐβούλετο λαβεῖν, κατὰ τὸν ὑμέτερον λόγον.

[06177] Οὐκοῦν οὐχ ἑαυτῷ δόξαν ᾔτει παρὰ τοῦ Πατρὸς ὁ Υἱὸς (ἀνενδεὴς γὰρ δόξης, καθὰ φύσει Θεὸς), ἀλλ' ἕλκει δι' ἑαυτοῦ τὴν παρὰ Πατρὸς δόξαν εἰς τὸ γένος τὸ ἀνθρώπινον.

[06178] Πάντα γὰρ ἐν αὐτῷ καὶ δι' αὐτοῦ πεπλουτήκαμεν τὰ ἀγαθά.

[06179] ΑΛΛΟ, ἑρμηνείαν ἔχον τοῦ ῥητοῦ.

[06180] Οἱ τῶν ὀνομάτων ἀκριβεῖς ἐξετασταὶ, καὶ τὸ ἐξ ἑκάστου σημαινόμενον σαφῶς δοκιμάζοντες, τὸ τῆς δόξης ὄνομα νοοῦσι διχῶς.

[06181] Πῇ μὲν γὰρ ἐπὶ τιμῆς αὐτὸ λαμβάνειν ὑπειλήφασι δεῖν, πῇ δὲ πάλιν ἐπὶ τῆς γνώσεως τάττουσιν·

[06182] ὥσπερ ἂν εἴ τις λέγοι, τί ἄν τις δοξάσαι περὶ τοῦ ἡλίου τυχὸν, ἢ περί τινος ἑτέρου στοιχείου, πότερον γενητὰ ταῦτα ἢ ἀγένητα;

[06183] ἐρεῖ γοῦν πάντως ὁ δοξάζων ὀρθῶς, ὡς εἴη γενητά.

[06184] Οὐκοῦν καὶ ἡ περί τι τῶν ὄντων γνῶσις, δόξα καλεῖται παρὰ τοῖς ταῦτα σοφοῖς.

[06185] Ὅταν οὖν εὑρίσκηται λέγων ὁ Υἱός·

[06186] Πάτερ, δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοὶ, νοεῖν ἀκόλουθον τοιῶσδε τὸ λεγόμενον·

[06187] ἐπειδήπερ, φησὶν, ὦ Πάτερ, ἄνθρωπος δι' οἰκονομίαν γεγονὼς, αὐτὸ δὴ τοῦτο νομίζομαι μόνον ὅπερ ὁρῶμαι, καὶ οὐ πολλοῖς προαιώνιος ὢν Υἱὸς γινώσκομαι, δόξασόν με, ἀντὶ τοῦ, Φανέρωσόν με, τοιαύτην ἐνθεὶς περὶ ἐμοῦ γνῶσιν τοῖς ἀνθρώποις, ὁποίαν ἂν δέχοιντο περὶ ἐμοῦ, καὶ πρὶν γενέσθαι τὸν κόσμον ὑπάρχειν ἀκούοντες, Θεὸν δηλαδὴ κατὰ φύσιν, φῶς ἐκ φωτὸς, ἀλήθειαν ἐξ ἀληθινοῦ προελθόντα Πατρός.

[06188] Γνωσόμεθα δὲ τοῦτο μάλιστα διὰ τῆς ἐπαγωγῆς.

[06189] Δόξασόν με γὰρ, φησὶν, ἀντὶ τοῦ, Φανερόν με κατάστησον, ἐπειδή σου κἀγὼ τὸ ὄνομα πεφανέρωκα τοῖς ἀνθρώποις.

[06190] Εἰ τοίνυν ὅπερ πεποίηκε γενέσθαι βούλεται, ἐδόξασε δὲ τὸν Πατέρα φανερώσας αὐτὸν τοῖς ἀνθρώποις, δοξάζεσθαι βούλεται καὶ αὐτὸς, φανερὸς ὑπὸ τοῦ Πατρὸς τοῖς ἀνθρώποις γινόμενος.

[06191] Καὶ περιττὸς τῶν χριστομάχων ὁ λόγος, τιμῆς ἤτοι δόξης ἐνδεᾶ τὸν Υἱὸν εἰσφέρων.

[06192] ΑΛΛΟ.

[06193] Εἰ δόξης εἶναι καὶ τιμῆς ἐνδεᾶ φατε τὸν Υἱὸν, διά τε τοῦτο παρὰ τοῦ Πατρὸς δοξάζεσθαι ζητεῖν, καὶ ἐν [75.441] τεῦθεν ὑμῖν τὸ τῆς ἀνομοιότητος ἔγκλημα πλέκεται, λέγετε δὴ πάλιν, πῶς ὁ Πατὴρ ἐν Υἱῷ θεωρεῖται;

[06194] Εἰ γὰρ χρῄζει δόξης ὁ Υἱὸς, οὐκ ὄντος τοῦ Πατρὸς, πῶς τὸ δόξης μὴ δεόμενον, ἐν δεομένῳ καθ' ὑμᾶς ὀφθήσεται·

[06195] ΑΛΛΟ.

[06196] Εἰ ἀληθεύει λέγων ὁ Σωτήρ·

[06197] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα, τελείαν ἔχει τὴν δόξαν, ὥσπερ καὶ ὁ Πατὴρ, ἵνα φαίνηται καὶ ἐν αὐτῷ.

[06198] Οὐ γὰρ ἂν ἀπαραλλάκτως ἐν ἑαυτῷ δείξειε τὸν Πατέρα, μὴ τοῦτο ὢν καὶ κατὰ τὴν δόξαν, ὅπερ ἐκεῖνός ἐστιν.

[06199] ΑΛΛΟ.

[06200] Εἰ δόξης ἐστὶν ἐνδεὴς ὁ Υἱὸς, ἕτερόν τι παρὰ τὸν Πατέρα φανεῖται.

[06201] Οὐ γὰρ ἂν εἴη τὸ ἐνδεές τινος τῷ παντελείῳ ταυτόν.

[06202] Εἰ δὲ ἀληθεύει λέγων ὁ Σωτήρ·

[06203] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ἔσται τέλειος ὥσπερ καὶ ὁ Πατὴρ, πρὸς ὅν ἐστιν ἕν.

[06204] Εἰ δὲ τοῦτο, τελείαν ἔχει τὴν δόξαν, ὥσπερ καὶ ὁ γεννήσας αὐτόν.

[06205] ΛΟΓΟΣ ΛΑʹ.

[06206] Πρὸς τοὺς λέγοντας, ὅτι ὁ Θεὸς περὶ τῆς ἑαυτοῦ οὐσίας οὐδὲν πλέον ἡμῶν ἐπίσταται·

[06207] ἀλλ' ὅπερ ἂν αὐτὸς εἰδείη περὶ ἑαυτοῦ, τοῦτο καὶ ἡμεῖς ἀπαραλλάκτως.

[06208] Ἀντίθεσις ὡς ἐκ τῶν δι' ἐναντίας.

[06209] Ἀγένητός ἐστιν, φασὶν, ἡ τοῦ Θεοῦ σοφία, καὶ τοῦτό ἐστι τὸ εἶναι αὐτῇ.

[06210] Οὐκοῦν ὁ γινώσκων ὅτιπερ τοῦτο εἴη Θεὸς, εἴσεται πάντως αὐτόν.

[06211] Οἶδε δὲ καὶ αὐτὸς ἑαυτὸν ἀγένητον.

[06212] Οὐδὲν οὖν τὸ παραλλάττον, αὐτοῦ μὲν περὶ ἑαυτοῦ τοῦτο δοξάζοντος, ἡμῶν δὲ αὖ πάλιν οὕτως ἔχειν αὐτὸν πιστευόντων.

[06213] Πρὸς τοῦτο λύσις.

[06214] Γέλως μὲν ὄντως τὰ τοιαῦτα καὶ μωρία πολλὴ, μᾶλλον δὲ μανίας ἁπάσης ἐπέκεινα χωρεῖ τοῖς οὕτω διακειμένοις ὁ νοῦς.

[06215] Ἄνθρωποι γὰρ ὄντες, καὶ τοσοῦτον καταβεβηκότες τὴν θείαν οὐσίαν, ὅσον αὐτῶν ὑπερέχει, τὸν αὐτὸν ἔχειν ἐκείνῃ φαντάζονται νοῦν, εἴ γε δεῖ καὶ τοῦτο λέγειν ἐπὶ Θεοῦ·

[06216] οὐ γὰρ ἤκουσαν, ὡς εἰκὸς, Ἡσαΐου λέγοντος·

[06217] Τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ;

[06218] Τίς ἔγνω νοῦν Κυρίου;

[06219] Λεγόντων τοιγαροῦν ἡμῖν οἱ τὴν ἀμέτρητον καὶ ἀκατάληπτον τοῦ Θεοῦ φύσιν ἀνθρωπίνοις μετρεῖν ἐπιχειροῦντες λογισμοῖς, ὥσπερ οἱ τὸν οὐρανὸν σπιθαμῇ·

[06220] τί ποτε ἄρα φήσουσιν ἀντερωτώμενοι παρ' ἡμῶν, πότερόν ποτε κατὰ τὴν ἑαυτῶν ἐπιχείρησιν, ἐν τῷ ἀγενήτῳ εἶναι τὸν Θεόν·

[06221] καὶ αὐτὸ δὴ τοῦτο τὴν ἄῤῥητον οὐσίαν δηλοῦν, ἢ οὐχί;

[06222] Εἰ μὲν γὰρ ἀρνήσονται, οἴχεται σύμπαν αὐτοῖς τὸ κατασκεύασμα, καὶ ἡ σοφὴ πρότασις ὡς ἕωλος εὑρεθήσεται, αὐτῶν ὅπερ ἔθεντο παραιτουμένων εἰπεῖν.

[06223] Εἰ δὲ κρατύνειν οἴονται δεῖν τὸ κατασκεύασμα, καὶ οὕτω ληροῦντες ἐλεγχθήσονται.

[06224] Οὐ γὰρ ἐπειδήπερ ἀγενήτως εἶναι δεῖ τὸν Θεὸν, διὰ τοῦτο πάντως καὶ ἐν τῷ ἀγενήτῳ τὸ εἶναι ἔχει.

[06225] Ὅμοιον γὰρ, ὡς εἴ τις λέγοι·

[06226] Ἐπειδὴ πᾶς [75.444] ἀριθμὸς ἢ ἄρτιός ἐστιν ἢ περιττὸς, ἐν τούτοις τὸ εἶναι ἔχει.

[06227] Καὶ πάλιν·

[06228] Ἐπειδὴ πᾶς ἀριθμὸς ἀναγκαίως ἐκ μονάδος σύγκειται, ἐν τῇ μονάδι τὸ εἶναι ἔχει.

[06229] Καὶ πάλιν·

[06230] Ἐπειδὴ πᾶς ἄνθρωπος ἐν τῷ εἶναι ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, οὐκ αὐτὸς ὑπάρξει καθ' ἑαυτὸν ὁ ἄνθρωπος, ἀλλ' ἐν τούτοις τὸ εἶναι ἕξει.

[06231] Καὶ πάλιν·

[06232] Ἐπειδήπερ πᾶς ἄνθρωπος ἄπτερός ἐστιν, ἐν τῷ ἄπτερος εἶναι τὸ εἶναι ἔχει.

[06233] Ἀλλ' ἔστι γελοῖον τὰ τοιαῦτα καὶ μόνον ἐννοεῖν.

[06234] Ἐπειδὴ γὰρ ἄνθρωπος, διὰ τοῦτο καὶ ζῶον λογικὸν, θνητόν·

[06235] καὶ ἐπειδὴ ἄνθρωπος, διὰ τοῦτο ἄπτερος·

[06236] καὶ ἐπειδήπερ ἀριθμὸς, διὰ τοῦτο ἐν τῷ περιττῷ καὶ ἀρτίῳ γίνεται.

[06237] Οὐκοῦν ὑποκειμένης τῆς οὐσίας, πάντα λέγεται τὰ ἐπ' αὐτῇ κατηγορούμενα, οὐκ ἀναιρεθείσης τῆς οὐσίας, ὡς ὅροι τὰ ἐπισυμβεβηκότα αὐταῖς λαμβάνονται.

[06238] Εἰ τοίνυν καὶ ἡ ἀγένητος φωνὴ κατηγορεῖται τῆς τοῦ Θεοῦ οὐσίας, ὡς ἕν τι τῶν περὶ αὐτὸν, οὐκ αὐτὴ τυγχάνον τὸ γὰρ μὴ γενέσθαι δηλοῖ, οὐ μὲν τῷ ἀγενήτῳ τὸ ὑπάρχειν ἕξει Θεός·

[06239] ἀλλ' ὢν καὶ ὑπάρχων, ἀγένητός ἐστιν.

[06240] ΑΛΛΟ.

[06241] Εἰ ὅπερ ἂν ὑπάρχοι μόνῳ τῷ Θεῷ, τοῦτο πάντως καὶ οὐσία ἔσται αὐτοῦ, ἐκ πολλῶν ἡμῖν οὐσιῶν συγκείσεται.

[06242] Πολλὰ γάρ ἐστιν, ἃ μόνῳ μὲν αὐτῷ κατὰ φύσιν ὑπάρχει.

[06243] Ἑτέρῳ δὲ τῶν ὄντων οὐδενὶ, καὶ βασιλεὺς, καὶ κύριος, καὶ ἄφθαρτος, καὶ ἀόρατος, καὶ πρὸς τούτοις ἕτερα μυρία περὶ αὐτοῦ λέγουσιν αἱ θεῖαι Γραφαί.

[06244] Εἰ τοίνυν ἕκαστον τῶν αὐτῷ προσόντων, ἐν οὐσίας τάξει κείσεται, πῶς οὐκ ἔσται σύνθετος ὁ ἁπλοῦς;

[06245] Ὅπερ ἐστὶν ἐννοεῖν ἀτοπώτατον.

[06246] Οὐκοῦν ἡ ἀγένητος φωνὴ, ἕν τι τῶν αὐτῷ προσόντων γνωρίζουσα, οὐκ ἔσται οὐσία, καὶ περιττὸν τὸ λέγειν ἐν τῷ ἀγενήτῳ τὸ εἶναι ἔχειν τὸν Θεόν.

[06247] ΑΛΛΟ.

[06248] Εἰ πᾶσα οὐσία τὸ τί ἐστι σημαίνει τὸ ὁριζόμενον οὐχὶ τί οὐκ ἔστιν (οὐ γὰρ ἄν τις εὐφρονῶν τὴν ἀνθρώπου φύσιν ὁριζόμενος λέγοι, ἄπτερος, οὐχὶ τετράπους, ἀλλὰ μᾶλλον ἐξ ὧν σημαίνεται κυριώτερον, καὶ ἐξ ὧν ἐστι, τουτέστι, ζῶον λογικὸν θνητὸν), ἡ δὲ ἀγένητος φωνὴ, οὐ τί ἐστι κατὰ φύσιν Θεὸς, ἀλλὰ τί οὐκ ἔστι δηλοῖ (ὅτι γὰρ μὴ γενητός ἐστι, σημαίνει), οὐκ ἂν εἴη οὐσία, οὐδὲ ἐν αὐτῷ τὸ εἶναι ἕξει Θεός.

[06249] ΑΛΛΟ.

[06250] Πᾶν ὅπερ ἂν κατηγοροῖτο κατά τινος, ὡς τὸ τί ἐστιν εὖ μάλα σημαῖνον·

[06251] ἢ ὡς γένος, ἢ ὡς εἶδος, ἢ ὡς διαφορὰ, ἢ ὡς ὅρος ἔσται.

[06252] Δεῖ γὰρ πάντως ἓν εἶναι τῶν εἰρημένων.

[06253] Ἡ τοίνυν ἀγένητος φωνὴ πῶς ἡμῖν τὴν θείαν οὐσίαν σημανεῖ;

[06254] Λεγέτωσαν οἱ τὰς ἀμαθεῖς προτάσεις εἰσφέροντες·

[06255] γένος μὲν γὰρ ἢ εἶδος οὐκ ἂν εἴη, κατὰ τὴν Ἀριστοτέλους τέχνην.

[06256] Κατὰ πλειόνων γὰρ κατηγορεῖται τὰ γένη καὶ τὰ εἴδη·

[06257] διαφερόντων δὲ, ἢ τῷ εἴδει ἢ τῷ ἀριθμῷ.

[06258] Τὸ δὲ ἀγένητος ὄνομα, οὐκ ἂν φέροιτο κατά τινος ἑτέρου, μόνῳ δὲ ὑπάρχει Θεῷ·

[06259] διὸ δὴ κατ' αὐτοῦ κατ [75.445] ηγορεῖται μόνον.

[06260] Οὐκοῦν οὐκ ἂν εἴη γένος τὸ εἰς εἴδη, καὶ διαφορὰς, καὶ ἀριθμὸν τέμνεσθαι μὴ δυνάμενον.

[06261] Ἀλλ' ἐρεῖ τις τυχὸν, ὅρον εἶναι τὸ ἀγένητον·

[06262] ἐντεῦθεν ἡμῖν καὶ τοῦτο ψεῦδος ὂν ἐλεγχθήσεται.

[06263] Πᾶς μὲν γὰρ ὅρος λόγος ἐστὶ, τὸ τί ἐστι κατ' οὐσίαν τὸ σημαινόμενον ἀποδιδούς·

[06264] τὸ δὲ ἀγένητος, οὐ λόγος ὂν, ἀλλ' ὄνομα φαίνεται.

[06265] Διαφορὰ τοιγαροῦν ἔσται τὸ ἀγένητον, καὶ διαφορὰ οὐσιώδης·

[06266] τοῦτο γὰρ τὸ λειπόμενον.

[06267] Ἀλλ' ἴδωμεν εἴ τις ἡμῖν ἐπιτρέπει λόγος, οὕτω νοοῦντας μὴ σφάλλεσθαι.

[06268] Ὁρῶμεν τοίνυν ὅτι πᾶν ὅπερ ἂν δέχοιτο τὴν διαφορὰν, σύνθετον ἔσται, καὶ οὐχ ἁπλοῦν.

[06269] Ἐπειδὴ δὲ ἁπλοῦς τε ὢν καὶ ἀσύνθετος παρὰ παντὸς ἂν δήπουθεν ἀνθρώπου Θεὸς ὁμολογηθήσεται, οὐκ ἂν εἴη διαφορὰ τὸ ἀγένητον.

[06270] Εἰ δὲ τῶν εἰρημένων οὐδέν ἐστιν, οὐκ ἐν τῷ ἀγενήτῳ τὸ εἶναί ἐστι τοῦ Θεοῦ.

[06271] Οὐ γὰρ οὐσίαν σημαίνει τοῦτο, ἀλλὰ τοῦ εἶναι τοιῶσδε αὐτὴν παραστατικὸν φαίνεται.

[06272] ΑΛΛΟ.

[06273] Εἰ τὸ ἀγένητος ὄνομα, τὸ μὴ γεγενῆσθαι σημαῖνον, τῆς οὐσίας ἐστὶ δηλωτικὸν τῆς τοῦ Θεοῦ, τί κωλύσει καὶ τὸ γελαστικὸν τῇ τοῦ ἀνθρώπου φύσει προσὸν, οὐσίαν αὐτοῦ εἶναι·

[06274] καὶ πάνθ' ὅσαπερ ἂν τοῖς οὖσιν ἰδίως προσῇ, ταῦτα λέγειν αὐτοῖς εἶναι οὐσίας;

[06275] Εἰ δὲ τὸ ἑκάστου ἴδιον, οὐκ αὐτό ἐστιν οὐσία, ἀλλὰ τῇ οὐσίᾳ προσὸν, οἷον ἀνθρώπῳ τὸ γελαστικὸν, καὶ ἵππῳ τὸ χρεμετιστικὸν, οὐκ ἂν εἴη τὸ ἀγένητον οὐσία, οὐ τί ἐστι σημαῖνον κατὰ φύσιν Θεὸς, ἀλλ' ὅτι τοιῶσδέ ἐστι, καὶ ὥσπερ ἐπὶ τῶν ἄλλων ἴδιον αὐτοῦ τυγχάνει.

[06276] ΑΛΛΟ.

[06277] Τῆς οὐσίας τοῦ Θεοῦ τὸ ἀγένητον ὡς ἀχώριστον κατηγορηθήσεται, ὥσπερ ἂν εἰ καὶ κατὰ παντὸς σώματος χρῶμα.

[06278] Ἀλλ' οὐκ ἐκ τῶν ἀχωρίστως προσόντων αἱ οὐσίαι νοηθήσονται, ἀλλ' ἐξ ὧν εἰσιν αὗται.

[06279] Ὥσπερ οὐκ ἄν τις εἰδείη τὸν κύκνον, ἤτοι τὴν χιόνα τί κατὰ φύσιν εἰσὶν, εἰ μάθοι μόνον ὅτι λευκὰ ταῦτά ἐστιν.

[06280] Οὐ γὰρ ἡ λευκότης εἰς οὐσίαν νοηθήσεται, ἀλλά τι τῶν τῇ οὐσίᾳ προσόντων.

[06281] Ἡ τοίνυν ἀγένητος φωνὴ, ἕν τι τῶν προσόντων ἀχωρίστως τῇ οὐσίᾳ τοῦ Θεοῦ σημαίνουσα, οὐκ ἂν εἴη καθ' ὑμᾶς οὐσία.

[06282] Εἰ δὲ τοῦτο, ὁ εἰδὼς ὅτιπερ ἀγένητός ἐστιν ὁ Θεὸς, οὔπω τί ἐστὶ κατὰ φύσιν ἐπίσταται, ἀλλ' ὅτι τὸ μὴ γενέσθαι πρόσεστι τῇ οὐσίᾳ αὐτού.

[06283] Ἀντίθεσις ἐκ τῶν λεγόντων εἰδέναι τὸν Θεὸν, ὡς αὐτὸς ἑαυτόν.

[06284] Τὸ ἀγένητος ὄνομα, φασὶν, ἤ τι παραστατικὸν τῆς οὐσίας τοῦ Θεοῦ νοηθήσεται, ἢ σημαίνει τι τῶν συμβεβηκότων αὐτῇ.

[06285] Ἀλλὰ μὴν οὐδὲν τῇ θείᾳ συμβέβηκεν οὐσίᾳ·

[06286] τελεία γὰρ ἐξ ἑαυτῆς.

[06287] Τὸ ἀγένητον ἄρα τῆς οὐσίας ἔσται δηλωτικόν.

[06288] Εἰ δὲ τοῦτο, οἶδε Θεὸς ἑαυτὸν ἀγένητον.

[06289] Καὶ εἴ τις ἕτερος τοῦτο εἰδείη, εἴσεται πάντως Θεὸν, ὡς αὐτὸς ἑαυτόν.

[06290] Πρὸς τοῦτο λύσις.

[06291] Σοφὸν μὲν τὸ λέγειν μηδὲν ἐπισυμβαίνειν τῇ οὐσίᾳ τοῦ Θεοῦ.

[06292] διὰ τὸ ἔχειν αὐτὴν ἐξ ἑαυτῆς τὸ εἶναι τε [75.448] λείαν.

[06293] Ὁρῶμεν δὲ ὅτι πολὺς ἡμᾶς ἀναγκάζει λόγος, ὡς συμβεβηκότα τὰ τοιαῦτα νοεῖν ἐπὶ Θεοῦ, καὶ εἰ μὴ πάντως συνέβη.

[06294] Τί γὰρ ἐροῦμεν ἐννοοῦντες ὅτι πρὸ μὲν τῆς διακοσμήσεως τοῦδε τοῦ παντὸς, ἦν μὲν κατ' οὐσίαν δημιουργὸς, οὔπω δὲ τοῦτο τῇ ἐνεργείᾳ, διὰ τὸ μήπω τῶν ὄντων τι παρῆχθαι πρὸς γένεσιν;

[06295] Ἐπειδὴ δὲ ἐποίησε τὸ πᾶν, γέγονεν ὥσπερ καὶ δημιουργὸς, καὶ τρόπον τινὰ συμβέβηκε τοῦτο αὐτῷ, διὰ τοῦ καὶ ἐξ ἐνεργείας ὀφθῆναι τοιοῦτον.

[06296] Εἰ τοίνυν νοεῖταί τινα τῶν πραγμάτων ὡς ἐπισυμβεβηκότα Θεῷ, τί μάτην περὶ τοῦ μὴ δεῖν ἐπισυμβεβηκέναι λέγειν τῷ Θεῷ τὸ ἀγένητον διατείνεσθε, ἐν τῷ τοιῷδε σχήματι φαινομένων τινῶν τῶν ὅσαπέρ ἐστι κατ' οὐσίαν αὐτῷ;

[06297] ΑΛΛΟ.

[06298] Ἀποκρινάσθωσαν ἡμῖν οἱ σπιθαμῇ μετρεῖν ἐπιχειροῦντες τὸν οὐρανὸν, καὶ τὴν θείαν οὐσίαν ὅπως ἔχει φύσεως νοεῖν ὑπισχνούμενοι, τί ποτε ἄρα ἐροῦσι τὸ πατὴρ ὄνομα ταττόμενον ἐπὶ Θεοῦ;

[06299] Τῆς οὐσίας αὐτοῦ παραστατικὸν ἢ συμβεβηκότος αὐτῇ τινος;

[06300] Ἀλλ' οὐδὲν ἐπισυμβαίνειν τῇ οὐσίᾳ τοῦ Θεοῦ φάσκοντες, οὐκ εἶναι δώσουσι συμβεβηκός.

[06301] Λείπεται τοίνυν εἰπεῖν ὅτι τῆς οὐσίας δηλωτικόν ἐστι.

[06302] Ταυτὸν οὖν τὸ πατὴρ τῷ ἀγενήτῳ, ἵνα μὴ σύνθετος καὶ ἐκ δύο συγκείμενος οὐσιῶν νοῆται Θεός.

[06303] Εἰ δὲ τοῦτο, ἐπειδὴ ταυτὸν ἀγένητος καὶ πατὴρ καθ' ὑμᾶς, ὥσπερ τοῦ εἶναι οὐκ ἤρξατο, οὕτως οὐδὲ τοῦ εἶναι πατήρ·

[06304] ἀλλ' ἦν ἀεὶ τοῦτο, συνεισφερομένου δηλαδὴ καὶ τοῦ γεννήματος·

[06305] οὕτω γὰρ ἂν εἴη Πατήρ.

[06306] Ἔτι τε πρὸς τούτῳ, εἰ τὸ ἀγένητον καὶ πατὴρ ἐπὶ Θεοῦ τὴν οὐσίαν σημαίνει, τί κωλύσει λέγειν ὅτι πάντως ἀντιστρέψει πρὸς ἑαυτὰ τὰ ὀνόματα, ὡς εἴ τίς ἐστι πατὴρ, τοῦτ' εἶναι καὶ ἀγένητον·

[06307] καὶ εἴ τι ἀγένητον, τοῦτο καὶ πατήρ;

[06308] Οἰχήσεται δὴ οὖν καὶ χωρήσει λοιπὸν ἐπὶ πάντας τὸ μόνῳ προσὸν τῷ Θεῷ ὡς ἴδιον αὐτοῦ καὶ ἐξαίρετον τὸ ἀγένητον εἶναί φημι.

[06309] Ὁρᾶτε τοίνυν εἰς ὅσην ἀτοπίαν ὑμῖν καταστρέφουσιν οἱ λόγοι.

[06310] ΑΛΛΟ.

[06311] Μηδὲν κατ' ἐπίνοιαν συμβεβηκὸς νοοῦντες ἐπὶ Θεοῦ, μήτε μὴν οὕτω τισὶν νοεῖν ἐπιτρέποντες, πολλῇ δυσχερείᾳ περιπεσεῖσθε πάντως, καὶ μυρίος ἡμᾶς νοημάτων ἀθέσμων περιεστήξει θόρυβος.

[06312] Ἆρα γὰρ εἴ τις ὑμᾶς ἐρωτῴη, τὸ πατὴρ καὶ τὸ ἀγένητος, ἄφθαρτός τε καὶ ἀθάνατος, καὶ ἀόρατος, καὶ ὅσα ἕτερά ἐστι τοιαῦτα, κατὰ φύσιν ἐνυπάρχοντα τῷ Θεῷ, καὶ κατὰ μόνης τῆς οὐσίας αὐτοῦ κατηγορούμενα, πότερον οὐσίας εἶναι δώσετε, μᾶλλον δὲ ἕκαστον αὐτῶν οὐσίαν σημαίνει, ἢ οὐχί;

[06313] Ποῖον ἀποδώσετε λόγον;

[06314] Εἰ μὲν οὖν ἕκαστον οὐσίαν σημαίνει, ἐκ τοσούτων ὑμῖν οὐσιῶν, ὁ ἁπλοῦς συγκείσεται Θεὸς, ὅσαπερ ἂν αὐτῷ φυσικῶς προσόντα φαίνηται.

[06315] Πρὸς δέ γε τούτῳ κἀκεῖνο πάντως ἀναγκαῖον ὑπάρχειν ἀληθὲς, ὅτι καὶ τὰ ἀντικείμενα τοῖς εἰρημένοις τὸ γενητὸν δηλαδὴ, τὸ φθαρτὸν, τὸ ὁρατὸν ἔσται πάντα τῆς αὐτῆς οὐσίας·

[06316] μᾶλλον δὲ μίαν οὐσίαν σημαίνει.

[06317] Εἰ δὲ τοῦτο, οὐδὲν κωλύσει λέγειν ταυτὸν εἶναι ξύλον καὶ υἱὸν, λίθον καὶ γέννημα.

[06318] Γενητὰ γὰρ καὶ φθαρτὰ καὶ ὁρατὰ ταῦτά ἐστι καὶ συγκέχυται λοιπὸν τῶν πραγμάτων ἡ τάξις.

[06319] [75.449] Εἰ τοίνυν οὐχ ὅσα προσεῖναι λέγεται κατὰ φύσιν τῷ Θεῷ, ταῦτα πάντως ἔσται αὐτοῦ καὶ οὐσία, λείπεται λέγειν αὐτὰ τῇ οὐσίᾳ συμβεβηκότα, μέχρι μόνης φωνῆς οὕτω νοούμενα.

[06320] Οὐκ ἔχει γὰρ ἡ ἀνθρώπου φύσις μεῖζόν τι τῶν καθ' ἑαυτὴν λέγειν ἐπὶ Θεοῦ.

[06321] Διὸ δὴ τοῖς ἰδίοις ἔθεσιν ἐπ' αὐτοῦ κεχρήμεθα, τὰ καθ' ἑαυτοὺς μειζόνων ὑπόδειγμα ποιούμενοι, ὥσπερ οἱ ἐν μικρῷ πίνακι τὸν οὐράνιον καταγράφοντες κύκλον.

[06322] Ἀντίθεσις ἐκ τῶν αὐτῶν διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς.

[06323] Ὁ Θεὸς, φασὶ, τὴν ἑαυτοῦ φύσιν οἶδεν ἀκριβῶς καὶ ἀληθῶς, καὶ ὅπερ ἐστὶ κατ' οὐσίαν ἐπίσταται σαφῶς.

[06324] Εἰ δὲ οὐκ ἴσμεν ἡμεῖς οὕτως ὡς αὐτὸς οἶδεν, ἐσφαλμένως ἄρα καὶ διεστραμμένως τὰ περὶ αὐτὸν δοξάζοντες ἁλισκόμεθα.

[06325] Ὁ γὰρ μὴ ὁμοίως τῷ ἀληθῶς εἰδότι γινώσκων, οὐκ ἀληθῶς εἴσεται, πλανᾶται δὲ πάντως ὁ τοιοῦτος.

[06326] Πρὸς τοῦτο λύσις.

[06327] Οὐχ ὁρῶσι πάλιν οἱ δεινοὶ πρὸς τόλμας, εἰς ὅσον ἀσεβείας καταφέρονται βάραθρον.

[06328] Δεδοίκασι γὰρ, ὡς εἰκὸς, ἐλάττους φαίνεσθαι κατὰ τὸ νοεῖν τοῦ Θεοῦ·

[06329] φρίττουσι δὲ ὡς εὐτελὲς τὸ μὴ οὕτως εἶναι νομίζεσθαι λεπτοὺς εἰς γνῶσιν, ὡς ἂν εἶναί τις δῴη καὶ τὴν θείαν οὐσίαν, οὐκ εἰδότες ὅτι τοσοῦτον ὑπερέξει καὶ κατὰ τοῦτο τῶν γενητῶν, ὅσον αὐτῶν καὶ κατὰ φύσιν διέστηκεν.

[06330] Εἶτα πρὸς τούτῳ πῶς οὐ λίαν ἐστὶν ἀτοπώτατον, οὐκ ἀληθῶς εἰδέναι λέγειν τὸν μὴ παραπλησίως εἰδότα τι τῷ τελείαν ἔχοντι τὴν γνῶσιν πράγματός τινος τυχὸν, ἐφ' οὗπερ ἂν τυχὸν καὶ οἱ λόγοι γίνονται;

[06331] Ἔστι μὲν γὰρ ἧττον εἰδέναι καὶ κατὰ τοῦτο τοῦ τελείως εἰδότος ἀπολιμπάνεσθαι, οὐ μὴν παντελῶς καὶ διεστραμμένως.

[06332] Οἷον φέρε εἰπεῖν, ἐπίσταταί τις ὅτι περὶ τὴν σελήνην ἔκλειψις γίνεσθαι συμβαίνει, ἀγνοεῖ δὲ ὅπως καὶ τίνα τρόπον·

[06333] ἀλλ' ἔστω τις ἕτερος τυχὸν ὁ καὶ τοῦτο εἰδώς.

[06334] Ἆρ' οὖν ἐπειδήπερ ὁ μέν τις σοφώτερος ὢν οἶδε τὸ συναμφότερον, ὁ δὲ κατὰ τὸ δύνασθαι νοεῖν ἐλάττων ἐκείνου τυγχάνων, οἶδε τὸ ἕτερον, ψευδῶς δοξάσει περὶ τὴν σελήνην τὰς ἐκλείψεις γίνεσθαι λέγων;

[06335] Ἀλλ' οὐκ ἔστι τοῦτο.

[06336] Εἰ τοίνυν ἐνδέχεται περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματος, μείζονα μὲν ἔν τισι κεῖσθαι τὴν γνῶσιν, ἐλάττοντα δὲ ἐν ἑτέροις, καὶ ἀληθεῖς εἶναι τὰς δόξας ἐν ἀμφοτέροις, τί κωλύσει καὶ ἡμᾶς ἀνθρώπους ὄντας, ἔλαττον μὲν εἰδέναι Θεοῦ, ἢ ὡς αὐτὸς ἑαυτὸν οἶδε, τί ποτέ ἐστι κατ' οὐσίαν, μὴ μὴν ψευδῶς τε καὶ διεστραμμένως;

[06337] ΑΛΛΟ.

[06338] Ἐπὶ τὴν τῶν ὄντων σημασίαν ἤτοι κατάληψιν, πολλαῖς καὶ διαφόροις ἐννοίαις ἐρχόμεθα.

[06339] Καὶ οὐ πάντως ψευδῶς τε καὶ διεστραμμένως δοξάσει τις πρὸς ἕτερον, ὅτι μὴ ταῖς αὐταῖς ἐννοίαις, ἀλλ' ἑτέραις τισὶν ἐπί τι τῶν ζητουμένων βαδίζει.

[06340] Οἷον φέρε εἰπεῖν, ἔστωσαν δύο τινὲς ἐρωτώμενοι, εἰ ταυτόν ἐστι τῷ ἀνθρώπῳ ὁ ἵππος, καὶ ὁ μὲν ἀποκρινέσθω μὴ εἶναι ταυτὸν, ἐπεὶ πᾶς ἄνθρωπος γελαστικὸν, ὁ δὲ ἵππος οὐ τοῦτο·

[06341] ὁ δὲ ἕτερος λεγέτω, Οὐ ταυτὸν ἵππῳ ὁ ἄνθρωπος, ἐπειδήπερ τὸ χρεμετιστικὸν τῆς οὐσίας αὐτοῦ οὐ κατηγορεῖται.

[06342] Ἆρ' οὖν οὐκ ἀληθεύσουσιν [75.452] ἀμφότεροι, καὶ λόγον ἀποδώσουσιν ὀρθὸν, εἰ καὶ μὴ ταῖς αὐταῖς ἐννοίαις ἐχρήσαντο;

[06343] Δυνατοῦ τοιγαροῦν ὄντος διαφόρως μὲν δοξάζειν περί τι τῶν ὄντων, μὴ ψευδῶς δὲ μηδὲ διεστραμμένως, τί κωλύσει Θεὸν μὲν ἑαυτὸν εἰδέναι τελείως ὅπερ ἐστὶν κατ' οὐσίαν·

[06344] ἡμᾶς δὲ ἀνθρώπους ὄντας ἔλαττόν τε νοοῦντας αὐτοῦ, μὴ πάντως καὶ διεψευσμένας ἔχειν τὰς δόξας;

[06345] ΑΛΛΟ.

[06346] Εἰ παντὶ λογικῷ τὴν ἐνυπάρχουσαν αὐτῷ γνῶσιν ὁρῶμεν τῇ τοῦ γένους διαφορᾷ συμμεμετρημένην, ὡς ἑτέραν μὲν εἶναι πιστεύειν ἐν ἀγγέλοις, μείζονα δὲ ἐν ἀρχαγγέλοις, καὶ ἔτι ταύτης ὑπερέχουσαν ἐν ταῖς ἀνωτέρω δυνάμεσι·

[06347] συμμεμέτρηται τοίνυν καὶ ἀνθρώπου γνῶσις ἐλάττων οὖσα τῆς τῶν εἰρημένων.

[06348] Πῶς οὖν ὁμοίως δοξάσει Θεῷ ὁ μὴ τοσοῦτος εἰς νοῦν, ὅσον ἂν εἶναί τις δοίη τὸν ἄγγελον, ὁμολογουμένου δήπουθεν ὅτιπερ ἡ Θεοῦ γνῶσις ὑπερέχει πάντα νοῦν, καὶ πᾶσαν κατάληψιν ἀναβήσεται;

[06349] ΑΛΛΟ Πολλὰ τῶν ὀνομάτων ὁρῶμεν ἐπὶ Θεοῦ ταττόμενα, ἀλλ' ἕκαστον αὐτῶν οὐ τί κατ' οὐσίαν ἐστὶν ὁ Θεὸς, σημαῖνον φαίνεται, ἀλλ' ἢ τί οὐκ ἔστι δηλοῖ, ἢ σχέσιν τινὰ σημαίνει πρός τι τῶν διαστελλομένων.

[06350] Οἷον φέρε εἰπεῖν, τὸ ἄφθαρτον καὶ τὸ ἀθάνατον τί οὐκ ἔστι δηλοῖ·

[06351] τὸ δὲ πατὴρ ἢ ἀγένητος, ὅτι γεννήτωρ ἐστὶ πρὸς υἱὸν ἀντιδιαστελλόμενον, καὶ ὅτι οὐ γέγονεν·

[06352] ἀλλὰ τούτων ἕκαστον οὐ τῆς οὐσίας ἐστὶ σημαντικὸν, καθάπερ ἤδη προείπομεν, ἀλλά τι τῶν περὶ τὴν οὐσίαν σημαίνει.

[06353] Εἰ τοίνυν ἐκ τῶν τοιούτων ὀνομάτων ἤτοι σημασιῶν ἡμεῖς ἐπὶ τὴν τοῦ Θεοῦ γνῶσιν χειραγωγούμεθα, πῶς εἰσόμεθα τὴν οὐσίαν αὐτοῦ μόνα τὰ περὶ αὐτὴν μανθάνοντες, οὐ τί ἔστι κατὰ φύσιν παιδευόμενοι;

[06354] Ὅμοιον γὰρ ὡς εἴ τις λέγοι τὴν ἀνθρώπου ψυχὴν τί κατ' οὐσίαν ἐστὶν ἐπίστασθαι σαφῶς, εἴπερ εἰδείη ὅτιπερ ἄποιος, ἄποσός τέ ἐστι καὶ ἀσχημάτιστος·

[06355] ἢ εἴπερ λέγοι τὸ σῶμα τυχὸν τὸ ἀνθρώπινον τί κατὰ φύσιν ἐστὶν εἰδέναι, ἢ λευκὸν ἢ μέλαν εἶναι λέγοι.

[06356] Οὐκοῦν οὐκ ἐκ τῶν περὶ τὰς οὐσίας αἱ οὐσίαι γνωσθήσονται, ἀλλ' ἐξ ὧν εἰσιν αὐταὶ καθ' ἑαυτάς.

[06357] ΑΛΛΟ.

[06358] Ἁπλοῦς καὶ ἀσύνθετος ὢν ὁ Θεὸς πρὸς ἁπάντων ὁμολογηθήσεται.

[06359] Οὐκοῦν ἄτοπον τὸ λέγειν τοιαύτην ἔχειν αὐτὸν περὶ ἑαυτοῦ τὴν γνῶσιν, ὁποίαν ἂν καὶ ἡμεῖς.

[06360] Εἰ γὰρ αὐτὸς ἕτερόν τί ἐστιν, ἑτέρα δέ τις παρ' αὐτὸν ἡ ἐν αὐτῷ γνῶσις, σύνθετος ἔσται, καὶ οὐχ ἁπλοῦς.

[06361] Ἐπειδὴ δὲ ἁπλοῦς ὁμολογουμένως, οὐχ ἕτερόν τι παρ' αὐτὸν ἡ ἐν αὐτῷ γνῶσις·

[06362] ἡμεῖς δὲ οὐχ οὕτως.

[06363] Ἐσμὲν γὰρ κατ' οὐσίαν ἰδίως·

[06364] ἐν δὲ τῇ οὐσίᾳ κειμένην ἔχομεν τὴν γνῶσιν, ὥσπερ χρῶμα ἐν σώματι.

[06365] Οὐκ ἄρα παραπλήσιον εἰσόμεθά τι τῷ Θεῷ οἱ μὴ οὕτως ὄντες ὡς αὐτός.

[06366] Ἀλλ' αὐτὸς μὲν ὡς αὐτὸ δὴ τοῦτο νοῦς ὁ πάντων ἀνωτάτω, θεωρήσει θεοπρεπῶς τά τε ὄντα καὶ ἑαυτόν.

[06367] Ἡμεῖς δὲ τὸ δοθὲν ἡμῖν μέτρον ὑπερβαίνειν οὐ δυνάμενοι ὡς ἐν [75.453] ἐσόπτρῳ καὶ αἰνίγματι τὸν ἀκατάληπτον ὁρῶμεν Θεόν.

[06368] ΛΟΓΟΣ ΛΒ΄.

[06369] Ἐκλογαὶ ῥητῶν μετὰ συλλογισμῶν ἐκ τῆς Καινῆς Διαθήκης ὅτι Θεὸς κατὰ φύσιν ὁ Υἱὸς, εἰ δὲ τοῦτο, οὐ ποίημα, οὐδὲ κτίσμα.

[06370] Ἐκ τῆς πρὸς Ῥωμαίους Ἐπιστολῆς.

[06371] Ῥωμαίοις ἐπιστέλλων Παῦλος, Δοῦλος, φησὶν, Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ.

[06372] Καὶ πάλιν ἐν τῇ αὐτῇ Ἐπιστολῇ περὶ τοῦ Σωτῆρος λέγει·

[06373] Δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ.

[06374] Ὁ λέγων εἰς Εὐαγγέλιον ἀφωρίσθαι Θεοῦ, παραχρῆμά φησιν, ἀπεστάλθαι κηρύξων ἐν πᾶσι τοῖς ἔθνεσιν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὡς ὁμολογεῖν ἐντεῦθεν δηλονότι Θεὸν ὄντα τὸν Χριστόν.

[06375] Πῶς οὖν ἔτι κτίσμα ἢ ποίημα οὐκ ἐνδεχομένου κτιστὴν εἶναι τὴν οὐσίαν τοῦ κατὰ φύσιν ὄντος Θεοῦ;

[06376] ΑΛΛΟ.

[06377] Χάρις ὑμῖν καὶ εἰρήνη, φησὶν, ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

[06378] Εἰ συμπαραλαμβάνεται Χριστὸς παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς εἰς τὴν τῶν θείων χαρισμάτων ἐπίδοσιν, καὶ συγχορηγεῖ τοῖς ἁγίοις τὰ δῶρα, πῶς οὐ Θεὸς ὁ ἐν Θεοῦ τάξει τεθεὶς, καὶ πάντα ῥᾳδίως ἐνεργεῖν δυνάμενος ἅπερ ἂν καὶ ὁ γεννήσας αὐτόν;

[06379] Οὐ γὰρ δή που μίαν εἶναι φυσικὴν τὴν ἐνέργειαν δώσομεν Θεοῦ καὶ ποιήματος·

[06380] ἵνα μήτε τὸ ποιηθὲν εἰς τὴν θείαν ἀνάγωμεν οὐσίαν, μήτε μὴν τῆς θείας φύσεως τὸ ἐξαίρετον εἰς τὸν τοῖς γενητοῖς πρέποντα κατάγωμεν τόπον.

[06381] Οἷς γὰρ ἡ ἐνέργεια καὶ ἡ δύναμις ἀπαραλλάκτως μία, τούτοις ἀνάγκη καὶ τὴν τοῦ εἴδους ἑνότητα σώζεσθαι.

[06382] Ἄλλως τε καὶ τοῦ προφήτου λέγοντος Ἡσαΐου·

[06383] Κύριε, ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν, ταύτην ὁ Υἱὸς μετὰ Πατρὸς χορηγῶν φαίνεται.

[06384] Θεὸς οὖν ἄρα καὶ Θεὸς ἀληθινὸς ὁ ἐν Θεῷ Πατρὶ καὶ μετὰ Πατρὸς πάντα ἐνεργῶν.

[06385] ΑΛΛΟ, εἰς τὸ αὐτό.

[06386] Συντατττόμενος τοῖς ἑαυτοῦ μαθηταῖς ὁ Χριστὸς, καὶ ὅσον οὐδέπω μέλλων ἤδη πρὸς τὸ σωτήριον ἀναβήσεσθαι πάθος, Εἰρήνην, φησὶ, τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.

[06387] Εἰ τοίνυν ἑαυτοῦ τὴν εἰρήνην εἶναί φησιν, ὡς ἴδιον ἀγαθὸν καὶ φυσικῶς ἐνυπάρχον αὐτῷ, πῶς οὐκ ἔσται παντί τῳ σαφὲς, ὅτιπερ οὐ μετοχικῶς ἐπὶ τὸν Υἱὸν τὰ Πατρὸς ἐξαίρετα διαβαίνῃ, καθάπερ καὶ ἐν τοῖς λογικοῖς κτίσμασιν, ἀλλ' οὐσιώδης ἕλκει λόγος ἐπὶ τὸν γεγεννημένον τὰ τοῦ γεννήσαντος ἴδια;

[06388] Διὸ δὴ καὶ συνδοτὴρ καὶ συγχορηγὸς φυσικῶς τε καὶ ἀδιαστάτως παραλαμβάνεται, καὶ διανέμει σὺν Πατρὶ τοῖς ἁγίοις τὰς δωρεάς.

[06389] Ὁ δὲ οὕτως ἔχων οὐσίας, πῶς οὐκ ἂν εἴη φύσει Θεός;

[06390] Εἰ δὲ φύσει Θεὸς, οὐ ποίημα.

[06391] [75.456] ΑΛΛΟ.

[06392] Ἀποκαλύπτεται γὰρ, φησὶν, ὀργὴ Θεοῦ ἀπὸ οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων, διότι τὸ γνωστὸν τοῦ Θεοῦ, φανερόν ἐστιν ἐν αὐτοῖς.

[06393] Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης.

[06394] Εἰ τοίνυν ἀπὸ τῆς ἐν τοῖς ποιήμασι μεγαλουργίας ἀναλόγως ἡ τοῦ μεγαλουργήσαντος ὁρᾶται θειότης, ἔξω μὲν πάντων τῶν γενητῶν ὁ Υἱὸς κείσεται.

[06395] Ἐπειδὴ δὲ πάλιν αὐτός ἐστιν ὁ πάντων ποιητὴς, αὐτοῦ δηλονότι καὶ ἡ θειότης διὰ τῶν πεποιημένων ὁρᾶται·

[06396] πῶς οὖν ποίημα ἢ κτίσμα ὂν ἡ τῶν γενητῶν φύσις δι' αὐτοῦ τοῦ πεποιῆσθαι δεικνύει Θεοῦ ὄντα κατὰ φύσιν;

[06397] ΑΛΛΟ.

[06398] Τοὺς ἐκ τῶν ποιημάτων ἀναλόγως τοῦ δημιουργοῦ τὴν θειότητα δυναμένους ὁρᾷν, ἀναπολογήτους ἔσεσθαί φησιν ὁ μακάριος Παῦλος, διότι γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν.

[06399] Οὐκοῦν εἰ Θεὸν ἐπιγινώσκουσιν οἱ τὸν τῆς κτίσεως ὁρῶντες δημιουργὸν, τῷ δὲ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, Θεὸς ἄρα, καὶ οὐ ποίημα ὁ Υἱὸς, ὁ πάντα πρὸς τὸ εἶναι καλέσας·

[06400] ὃν καὶ δοξάσαι παραιτησάμενοι μένουσιν ἀναπολόγητοι, περὶ ὧν ἡμῖν ὁ λόγος.

[06401] Δοξολογία δὲ πάλιν χρεωστεῖται καὶ πρέπει μόνῳ Θεῷ, γενητῆς δὲ φύσεως ἀλλότριον·

[06402] ὃ καὶ διδάσκων ἡμᾶς ὁ Σωτὴρ, πρὸς τοὺς οἰκείους φησὶ μαθητάς·

[06403] Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

[06404] Οὐ γὰρ τοῖς μαθηταῖς τὴν ἐφ' οἷς εὐδοκιμοῦσι δόξαν, ἀνακεῖσθαι δεῖν ἐδοκίμασε·

[06405] Θεῷ δὲ μᾶλλον ὡς αὐτῷ χρεωστουμένην.

[06406] Εἰ δὲ χρῆναι δοξάζεσθαι τὸν Χριστὸν, ὡς ἀποδέδεικται, καὶ ὁ τῆς ἀληθείας μάρτυς φησὶ, πῶς οὐκ ἔστι Θεὸς ὁ τὴν Θεῷ πρέπουσαν δόξαν περικείμενος;

[06407] ΑΛΛΟ.

[06408] Παραδεδόσθαι φησὶν ὁ μακάριος Παῦλος εἰς ἀδόκιμον νοῦν, καὶ εἰς πάθη ἀτιμίας τοὺς ἀλλάξαντας τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει·

[06409] οἳ καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα·

[06410] ὅς εὐλογητὸς εἰς τοὺς αἰῶνας.

[06411] Ἀμήν.

[06412] Εἰ τοίνυν ἀλλάττει τὴν ἀλήθειαν ἐν τῷ ψεύδει ὁ τῇ κτίσει λατρεύων παρὰ τὸν κτίσαντα, φυλάττει δηλαδὴ τὴν ἀλήθειαν ὁ μὴ τοῦτο ποιῶν, ἀλλ' ἐξ ἀντιστρόφου τοῖς πλανωμένοις τῷ κτίστῃ λατρεύων καὶ ποιητῇ.

[06413] Κτίστης δὲ καὶ ποιητὴς ὁ Υἱὸς, καὶ αὐτῷ λατρεύομεν ὡς Θεῷ πάντων.

[06414] Οὐ γὰρ ἔτι πλανώμεθα τὴν ἀλήθειαν οὐκ ἀλλάξαντες.

[06415] Οὐκοῦν οὐ ποίημα ὁ ἐξ ἀντιστρόφου τοῖς ποιήμασιν, ὡς κτίστης μετὰ Πατρὸς νοούμενος, καὶ ὑπάρχων εὐλογητὸς εἰς τοὺς αἰῶνας.

[06416] Ἀμήν.

[06417] ΑΛΛΟ.

[06418] Πρὸς τοὺς ἐπὶ τοῖς οἰκείοις πταίσμασιν οὐκ εἰδότας μετανοεῖν, ἄῤῥηκτον δὲ ὥσπερ ἐπιθέντας ἑαυτοῖς τῆς φαυλότητος τὸν δεσμὸν, ὁ Παῦλός φησι·

[06419] Κατὰ [75.457] δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

[06420] Εἶτα πάλιν ἑτέροις·

[06421] Τοὺς γὰρ πάντας ἡμᾶς δεῖ φανερωθῆναι ἐνώπιον τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον.

[06422] Οὐκοῦν εἰ παραστησόμεθα πάντες τῷ βήματι τοῦ Χριστοῦ (Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ), καὶ αὐτὸς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ·

[06423] πῶς οὐκ ἔσται φύσει Θεὸς, τοῦ Παύλου λέγοντος ἀποκάλυψιν ἔσεσθαι δικαιοκρισίας Θεοῦ, τὴν ἐφ' ἑκάστῳ τῶν κρινομένων παρ' αὐτοῦ τιθεμένην ψῆφον δηλαδὴ, ὡς τοῖς μὲν φαύλοις εἰπεῖν·

[06424] Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον·

[06425] τοῖς δὲ τῆς εἰς αὐτὸν εὐσεβείας ἐργάταις·

[06426] Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, καὶ τὰ ἑξῆς.

[06427] ΑΛΛΟ.

[06428] Γέγραπται πάλιν·

[06429] Διότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ.

[06430] Διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας, νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη Θεοῦ πεφανέρωται, μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν.

[06431] Δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας τοὺς πιστεύοντας.

[06432] Ὅτε τοίνυν πιστεύοντες εἰς Χριστὸν δικαιούμεθα, ὡς τὸν ὄντα φύσει καὶ κατὰ ἀλήθειαν ἐπιγνόντες Θεὸν (τοῦτο γὰρ ἐπισφραγίζει καὶ αὐτὸς ὁ Παῦλος τοῖς ἐξ ἐθνῶν ἐπιστέλλων·

[06433] Νυνὶ δὲ γνόντες Θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ)·

[06434] πῶς ἔσται ποίημα ἢ κτίσμα ὁ Υἱὸς, καὶ οὐχὶ μᾶλλον Θεὸς, κατὰ τὰς τῶν ἁγίων φωνάς;

[06435] ΑΛΛΟ.

[06436] Τοῖς δικαιουμένοις διὰ τῆς πίστεως τῆς εἰς Χριστὸν συναγορεύων Παῦλός φησι·

[06437] Λογιζόμεθα γὰρ δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου·

[06438] ἢ Ἰουδαίων ὁ Θεὸς μόνων, οὐχὶ καὶ ἐθνῶν;

[06439] ναὶ καὶ ἐθνῶν.

[06440] Εἴπερ εἷς Θεὸς ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως.

[06441] Τοῦτο ποιοῦντα Χριστὸν εὑρίσκομεν.

[06442] Δικαιοῦν γὰρ ὑπισχνούμενος τοὺς πιστεύοντας εἰς αὐτὸν, Ἀμὴν, φησὶ, λέγω ὑμῖν·

[06443] ὁ πιστεύων εἰς ἐμὲ, οὐ κρίνεται, ἀλλ' ἔχει ζωὴν αἰώνιον.

[06444] Εἰ δὲ πρέπει μόνῳ τὸ δικαιοῦν τῷ Θεῷ, δικαιοῖ δὲ Χριστὸς, πῶς οὐκ ἔστι φύσει Θεός;

[06445] Εἰ δὲ τοῦτο, οὐ ποίημα.

[06446] ΑΛΛΟ.

[06447] Φησί που πάλιν ὁ Παῦλος περὶ τοῦ προπάτορος ἡμῶν Ἀβραάμ·

[06448] Ὅς ἐστι πατὴρ πάντων ἡμῶν, καθὼς γέγραπται·

[06449] Ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε κατέναντι Θεοῦ τοῦ ζωοποιοῦντος τοὺς νεκρούς.

[06450] Θεοῦ τοιγαροῦν ζωογονεῖν τοὺς νεκροὺς λεγομένου, εἶτα τοῦ Υἱοῦ φάσκοντος·

[06451] Ἐγώ εἰμι ἡ ζωή·

[06452] πάλιν, Ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον, κἀγὼ [75.460] ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ·

[06453] καὶ πάλιν, [75.460] Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή·

[06454] τίς οὐκ ἂν ὁμολογήσειεν, εἴ γε νοῦν ἔχοι, τῆς οὐσίας αὐτὸν ὑπάρχειν τῆς τοῦ Πατρὸς γνήσιόν τε καὶ ἀληθέστατον γέννημα, πάντα φέρον ἐν ἑαυτῷ φυσικῶς τὰ τοῦ γεννήσαντος ἴδια;

[06455] Εἰ δὲ τοῦτο, Θεὸς ἄρα τὸ ἐκ Θεοῦ, καὶ οὐ κτίσμα ἢ ποίημα.

[06456] ΑΛΛΟ.

[06457] Τοῖς ἐξ ἐθνῶν ἐπιστέλλων ὁ Παῦλός φησι·

[06458] Μνημονεύετε γὰρ ὑμεῖς τὰ ἔθνη οἱ καλούμενοι ἀκροβυστία, ὅτι ἦτέ ποτε ἀπεξενωμένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, καὶ κεχωρισμένοι τῆς εὐλογίας τοῦ Ἰσραὴλ, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ, νυνὶ δὲ ἐπιγνόντες Θεόν.

[06459] Εἶτα τὸν τρόπον τῆς ἐπιγνώσεως αὐτοῖς ἐξηγούμενος λέγει·

[06460] Ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου, τουτέστι, τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν.

[06461] Ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου, ὅτι Κύριος Ἰησοῦς, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ.

[06462] Ὅτε τοίνυν ὁ πιστεύων εἰς Χριστὸν Ἰησοῦν, καὶ ὁμολογῶν ὅτι Κύριός ἐστιν, ὡς Θεὸν ἐπιγνοὺς τὸν ἀληθινὸν, δικαιοῦται, πῶς οὐκ ἔστι κατὰ φύσιν Θεὸς ὁ Υἱός;

[06463] Ὁ δὲ τοῦτο ὑπάρχων, πῶς ἂν εἴη καὶ ποίημα;

[06464] ΑΛΛΟ.

[06465] Τῶν θείων μυστηρίων οἰκονόμον καὶ λειτουργὸν ἑαυτὸν ἀναδεικνύων ὁ Παῦλος, Τολμηρότερον δὲ, φησὶν, ἔγραψα ὑμῖν ἀπὸ μέρους, ὡς ἐπαναμιμνήσκων ὑμᾶς διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ, εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ, εἰς τὰ ἔθνη ἱερουργοῦντα τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος ἡγιασμένη ἐν Πνεύματι ἁγίῳ.

[06466] Ἰδοὺ πάλιν ἐνθάδε σαφῶς εἰληφέναι μὲν ἐν χάριτος μέρει παρὰ τοῦ Θεοῦ διϊσχυρίζεται τὸ εἶναι λειτουργὸς Ἰησοῦ Χριστοῦ.

[06467] Εἶτα τῆς ἱερουργίας τὸν τρόπον ἐξηγούμενος, εἰς τὸ Εὐαγγέλιον, φησὶ, τοῦ Θεοῦ.

[06468] Καίτοι Χριστὸν Ἰησοῦν κηρύσσων καὶ εὐαγγελιζόμενος, οὕτως οἶδε φύσει Θεὸν ὄντα τὸν Υἱόν.

[06469] Οὐ γὰρ ἂν ὠνόμασε Θεὸν μὴ τοῦτο κατὰ φύσιν ὑπάρχοντα·

[06470] οὐδ' ἂν ἐφ' ἑαυτῷ πολὺ λίαν ἐκαυχήσατο λέγων, Εὐδόκησεν ὁ Θεὸς ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ δι' ἐμοῦ, εἴπερ ἦν κτίσμα καὶ ποίημα.

[06471] Ἐκ τῆς πρὸς Κορινθίους α'.

[06472] Περὶ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου καὶ τῆς ἐν αὐτοῖς μωρίας τοὺς λόγους ποιούμενος, Εἰ γὰρ ἔγνωσαν, φησὶν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν.

[06473] Οὐκοῦν εἰ τῆς δόξης Κύριός ἐστιν ὁ τὸν σταυρὸν ὑπομείνας Υἱὸς, πῶς οὐκ ἔστι φύσει Θεός;

[06474] πῶς δὲ κτίσμα ἢ ποίημα, ὁ καὶ ὑπὸ τῶν Σεραφὶμ ὑμνούμενος;

[06475] Πλήρη γὰρ εἶναί φασι τόν τε οὐρανὸν καὶ τὴν γῆν τῆς δόξης αὐτοῦ·

[06476] καὶ Κύριον Σαβαὼθ ὀνομάζουσι.

[06477] Δῆλον γὰρ ὅτι περὶ αὐτοῦ τὰ τοιαῦτά φασιν, εἴπερ ἐστὶ τῆς δόξης Κύριος, κατὰ τὴν τοῦ Παύλου φωνήν.

[06478] [75.461] ΑΛΛΟ.

[06479] Οὕτω, φησὶν, ἡμᾶς λογιζέσθω ἄνθρωπος ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων Θεοῦ.

[06480] Εἰ τοίνυν τὸ περὶ τοῦ Υἱοῦ μυστήριον, Θεοῦ μυστήριον ὁ Παῦλος ἀποκαλεῖ, πῶς οὐκ ἔσται φύσει Θεὸς, ἢ πῶς ἐν ποιήμασι τετάξεται ὁ διὰ τῶν ἀποστόλων ὑπηρετούμενος;

[06481] Πῶς δὲ οὐκ ἀληθεύσει, Θεοῦ μυστήριον ὀνομάζων τὸ Εὐαγγέλιον Χριστοῦ, ὁ μετὰ πολλῆς παῤῥησίας εἰπών·

[06482] Οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτὸ, οὐδὲ ἐδιδάχθην, ἀλλ' ὑπὸ τοῦ Θεοῦ δηλαδή;

[06483] Ὅτε τοίνυν θεοδίδακτος ὢν Θεὸν ὄντα τὸν Υἱὸν ἐπιγινώσκει, τίς τῶν ἕτερα διδασκόντων ἀνέξεται;

[06484] ΑΛΛΟ.

[06485] Ὥστε, φησὶ, μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν, καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ.

[06486] Ἐν δὲ τοῖς Εὐαγγελίοις, στήσειν μὲν ἐκ δεξιῶν τὰ πρόβατα, ἐξ εὐωνύμων δὲ τὰ ἐρίφια Χριστὸς ἐπαγγέλλεται, κατὰ τὸν καιρὸν τῆς δευτέρας αὐτοῦ παρουσίας·

[06487] καὶ τοὺς μὲν τῆς ἀνομίας ἐργάτας ἐκπέμψειν εἰς τὸ πῦρ τὸ αἰώνιον, τοῖς δέ γε τὸν δεξιὸν ἐπέχουσι τόπον τοὺς ἐπαίνους ὁμοῦ τοῖς μισθοῖς ἀποδώσειν, λέγων τὸ, Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.

[06488] Οὐκοῦν εἰ τὸν τῆς ἀρετῆς ἐργάτην καὶ ἐπιστήμονα ἐπαινέσειν μέλλοντος τοῦ Θεοῦ, Χριστός ἐστιν ὁ ἐπαινῶν, πῶς ἔσται ποίημα, καὶ οὐχὶ μᾶλλον Θεὸς ἐκ Θεοῦ, τῆς πατρῴας οὐσίας ὅλον ἔχων τὸ ἴδιον, καὶ ὢν διὰ τοῦτο φύσει Θεὸς, ὥσπερ καὶ ὁ γεννήσας αὐτόν;

[06489] ΑΛΛΟ.

[06490] Δοκῶ γὰρ, φησὶν, ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους.

[06491] Ἰδοὺ πάλιν τοὺς ἁγίους ἀποστόλους ἀποδεῖξαι λεγομένου τοῦ Θεοῦ, Χριστός ἐστιν ὁ ἀναδείξας.

[06492] Πῶς οὖν [οὐ] φύσει Θεὸς, ὁ τοῦτο ὢν καὶ καλούμενος;

[06493] Ὁ δὲ οὕτως ἔχων, πῶς ἔσται ποιητός;

[06494] ΑΛΛΟ.

[06495] Ἐγενόμην, φησὶ, τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος Θεοῦ, ἀλλ' ἔννομος Χριστοῦ, ἵνα κερδάνω τοὺς ἀνόμους.

[06496] Θεὸς οὖν ἄρα ὁ Χριστὸς, οὗ τὸν νόμον ἔχοντες, οὐκ ἐσμὲν ἄνομοι Θεοῦ.

[06497] Ὅτι δὲ πάλιν μόνῳ Θεῷ τὸ νομοθετεῖν οἰκεῖον, οὐκ ἀμφίβολον.

[06498] Ἐκ τῆς πρὸς Κορινθίους β'.

[06499] Οὐ γὰρ θέλομεν ὑμᾶς, φησὶν, ἀγνοεῖν, ἀδελφοὶ, ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ὑπὲρ δύναμιν ἐβαρήθημεν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν·

[06500] ἀλλ' αὐτοὶ ἐν αὐτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ [75.464] ἐγείροντι τοὺς νεκρούς.

[06501] Ἰδοὺ πάλιν ἐνθάδε σαφῶς Θεὸν εἶναί φησι τὸν ἐγείροντα τοὺς νεκρούς.

[06502] Τοῦτο δὲ Χριστὸς ἐργάζεται, λέγων, ποτὲ μέν·

[06503] Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή·

[06504] ποτὲ δὲ πάλιν·

[06505] Ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

[06506] Θεὸς οὖν ἄρα κατὰ φύσιν ὁ Υἱὸς, ἐνεργεῖν δυνάμενος, ἃ μόνῳ πρέπει Θεῷ.

[06507] Οὐκοῦν οὐ ποίημα, οὐδὲ γενητός.

[06508] ΑΛΛΟ.

[06509] Πιστὸς δὲ ὁ Θεὸς, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἔστι, ναὶ καὶ οὔ.

[06510] Ὁ τοῦ Θεοῦ γὰρ Υἱὸς Χριστὸς Ἰησοῦς, ὁ ἐν ὑμῖν δι' ἡμῶν κηρυχθεὶς, δι' ἐμοῦ καὶ Σιλουανοῦ καὶ Τιμοθέου, οὐκ ἐγένετο, ναὶ καὶ οὔ·

[06511] ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονεν.

[06512] Ὅταν οὖν κηρύττηται μὲν ὡς Υἱὸς, τοῦ Πατρὸς λέγοντος περὶ αὐτοῦ·

[06513] Οὗτός ἐστιν ὁ Υἱός μου·

[06514] καὶ πάλιν·

[06515] Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε·

[06516] ποίημα δὲ καὶ κτίσμα παρά τινων ὀνομάζεται·

[06517] πῶς οὐκ ἔστι, ναὶ καὶ οὔ;

[06518] Οὐ γὰρ ἂν εἴη κτίσμα τὸ φύσει γεννώμενον·

[06519] οὐδ' ἂν γένοιτο φύσει τέκνον τὸ πεποιημένον.

[06520] Ἐπειδὴ δὲ ἀλήθειά ἐστιν ὁ Χριστὸς, καὶ γέγονεν ἐν αὐτῷ τὸ ναὶ, καθά φησιν ὁ Παῦλος, Υἱὸς ὑπάρχων, καὶ οὕτω κηρυττόμενος, οὐκ ἂν εἴη κτίσμα ἢ ποίημα.

[06521] ΑΛΛΟ.

[06522] Τῷ δὲ Θεῷ χάρις, φησὶ, τῷ πάντως τε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι, δι' ἡμῶν ἐν παντὶ τόπῳ, ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις.

[06523] Οὐκοῦν εἰ διὰ τῶν ἁγίων ἀποστόλων φανερὰν τῷ κόσμῳ καθίστησιν ὁ Θεὸς καὶ Πατὴρ τὴν ὀσμὴν τῆς γνώσεως τοῦ Χριστοῦ, τουτέστι, τὸν περὶ τῆς ἐπιγνώσεως αὐτοῦ λόγον·

[06524] οἱ δὲ τοῦτον λαβόντες οὐκ ἔτι πλανῶνται, οὔτε μὴν ἐν τοῖς ἀθέοις καὶ ἐλπίδα μὴ ἔχουσι καταταχθήσονται, ἀλλ' ἔγνωσαν μὲν τὸν Θεὸν, ᾗ φησιν ὁ Παῦλος, μᾶλλον δὲ ἐγνώσθησαν ὑπὸ Θεοῦ·

[06525] Θεὸς ἄρα κατὰ ἀλήθειαν ὁ Χριστὸς, ὁ τῶν ψευδωνύμων θεῶν ἀποστήσας τὰ ἔθνη, καὶ γνωσθεὶς μὲν αὐτοῖς κατὰ τοῦτο, ἐπιγνοὺς δὲ πάλιν αὐτὰ διὰ τῆς εἰς ἑαυτὸν πίστεως.

[06526] Ὁ δὲ ἀληθῶς ὑπάρχων Θεὸς, πῶς ἂν εἴη κτίσμα ἢ ποίημα;

[06527] ΑΛΛΟ.

[06528] Οὐ γάρ ἐσμεν ὡς οἱ πολλοὶ καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ.

[06529] Οὐκοῦν εἰ τῶν ἁγίων ἀποστόλων ὁ λόγος τὸ περὶ τοῦ Σωτῆρός ἐστι κήρυγμα, Θεὸς ἄρα ἐστὶν ὁ Υἱὸς, οὗ τὸν λόγον οὐ καπηλεύουσιν οἱ οὕτω κηρύττοντες, καὶ ποίημα λέγειν αὐτὸν ἢ κτίσμα παραιτούμενοι.

[06530] Ἄκρατος οὖν ὥσπερ ἐστὶν ὁ περὶ τῆς ἀληθείας λόγος, τὰς ὑδαρεστέρας τῶν αἱρετικῶν ψευδοδοξίας οὐκ ἔχων.

[06531] ΑΛΛΟ, εἰς τὸ, Τῷ δὲ Θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν.

[06532] Ὁ φανερούμενος διά τε τῶν ἀποστολικῶν καὶ εὐαγγελικῶν κηρυγμάτων, τίς ἂν ἕτερος εἴη παρὰ Χρι [75.465] στόν, Αὐτὸς τοιγαροῦν ἐστιν ἡ ὀσμὴ τῆς γνώσεως τοῦ Θεοῦ καὶ Πατρὸς, κατὰ τὸ εἰρημένον παρ' αὐτοῦ·

[06533] Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ.

[06534] Καὶ πάλιν·

[06535] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.

[06536] Ὀσμὴ τοιγαροῦν ὑπάρχων τοῦ Θεοῦ καὶ Πατρὸς, οὐκ ἂν εἴη πρὸς αὐτὸν ἑτεροούσιος·

[06537] ἀλλ' ὥσπερ ἡ ἐξ ἀνθέων εὐωδία φυσικῶς τε καὶ οὐσιωδῶς προεκκύπτουσα, τοῦ γεννήσαντος αὐτὴν εἴδους ἐστὶν ἐκφαντικὴ, οὕτω καὶ ὁ Υἱὸς ὀσμή τις ὥσπερ ὑπάρχων τῆς πατρῴας οὐσίας, ἀφ' ἧς ἐστιν αὐτὸς, τὸν γεννήσαντα δηλοῖ.

[06538] Οὐκοῦν οὐ ποίημα, ἐπεὶ μὴ τοῦτό ἐστιν ὁ Πατήρ.

[06539] ΑΛΛΟ.

[06540] Οὐ γὰρ ἑαυτοὺς, φησὶ, κηρύττομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον·

[06541] ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Χριστοῦ.

[06542] Ὅτι ὁ Θεὸς ὁ εἰπὼν, Ἐκ σκότους φῶςλάμψει, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης αὐτοῦ.

[06543] Ἰδοὺ δόξαν τοῦ Πατρὸς ὀνομάζει τὸν Υἱόν.

[06544] Ἐλλάμψαντος γὰρ ἐν ταῖς καρδίαις ἡμῶν τοῦ Θεοῦ καὶ Πατρὸς, φωτιζόμεθα πρὸς ἐπίγνωσιν τοῦ Χριστοῦ, καθὰ καὶ αὐτός πού φησιν·

[06545] Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ, ὁ πέμψας με, ἑλκύσῃ αὐτόν.

[06546] Ἕλκει δὲ πρὸς ἐπίγνωσιν τοῦ Υἱοῦ τὴν ἑκάστου φωτίζων καρδίαν.

[06547] Δόξα τοιγαροῦν ὑπάρχων τοῦ Πατρὸς, πῶς ἔσται ποίημα, καὶ οὐχὶ μᾶλλον Υἱὸς, καὶ Θεὸς ἐκ Θεοῦ, διὰ τῆς ἐνούσης αὐτῷ μεγαλειότητος φυσικῆς παρασκευάζων δοξάζεσθαι τὸν γεννήσαντα αὐτὸν, ὡς ἐν εἰκόνι τῷ Υἱῷ φαινόμενος, κατὰ τὸ παρ' αὐτοῦ λεγόμενον·

[06548] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα;

[06549] ΑΛΛΟ, εἰς τὸ αὐτό.

[06550] Εἰ δόξα τοῦ Πατρὸς ὑπάρχων ὁ Υἱὸς, ποίημα καὶ κτίσμα ἐστὶ, λεγέσθω καὶ ἕκαστον τῶν πεποιημένων δόξα τοῦ Θεοῦ καὶ Πατρός.

[06551] Εἰ γὰρ ὅλως ἐνδέχεται κτιστὴν καὶ πεποιημένην οὐσίαν ἀναβῆναι πρὸς τοῦτο, τὸ κωλύον οὐδὲν ἐπὶ πᾶσαν τὴν κτίσιν ἄγεσθαι τὸ ἀξίωμα.

[06552] Τὸ γὰρ δυνάμει πεφυκός τι γενέσθαι, γένοιτ' ἂν ἔσθ' ὅτε, καὶ εἰ μή πω γέγονεν.

[06553] Εἰ δὲ ἐπὶ τῶν ἄλλων οὐδὲν τὸ τοιοῦτον εἴρηται, μόνῳ δὲ πρόσεστι τῷ Υἱῷ, οὐκ ἄρα εἷς τῶν πάντων ἐστίν.

[06554] Εἰ δὲ τοῦτο, οὐ ποίημα·

[06555] τὸ γὰρ ἔξω πάντων ὂν, οὐκ ἐν τοῖς πᾶσιν ἔσται, ἀλλ' ἕτερόν τι παρὰ πάντα, ὅπερ ἐστὶ Θεός.

[06556] ΑΛΛΟ.

[06557] Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ, φησὶν, ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ·

[06558] ἵνα δὴ κομίσηται ἕκαστος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον.

[06559] Οὐκοῦν εἰ Χριστῷ παραστησόμεθα, καὶ αὐτός ἐστιν ὁ κρίνων τὴν γῆν, καὶ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, καθά φησιν ὁ Ψαλμῳδός·

[06560] Θεὸς ἄρα ἐστὶ καὶ Υἱός, οὐ ποίημα.

[06561] Ἐπεὶ καὶ ὁ πάνσοφος Σολομὼν ἐν Ἐκκλησιαστῇ τοιοῦτόν τί φησιν·

[06562] Ὅτι σύμπαν τὸ ποίημα ἄξει ὁ Θεὸς εἰς κρίσιν ἐν παντὶ παρεωραμένῳ, ἐὰν ἀγαθὸν, ἐὰν πονηρόν.

[06563] [75.468] ΑΛΛΟ.

[06564] Οὐ πάλιν ἑαυτοὺς συνιστάνομεν ὑμῖν, ἀλλὰ ἀφορμὴν διδόντες καυχήματος ὑπὲρ ἡμῶν, ἵνα ἔχητε πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους, καὶ μὴ ἐν καρδίᾳ.

[06565] Εἴτε γὰρ ἐξέστημεν Θεῷ, εἴτε σωφρονοῦμεν ὑμῖν.

[06566] Ἰδοὺ πάλιν ὁ Παῦλος Θεὸν ὀνομάζει Χριστὸν, ᾧ καὶ ἐκστῆναί φησιν.

[06567] Καὶ ὅπως ἐξέστη, διδάξει λέγων αὐτός·

[06568] Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ τοῦ Χριστοῦ σταυρῷ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ·

[06569] καὶ πάλιν ἐν ἑτέροις·

[06570] Ἑβραῖοί εἰσι, κἀγώ·

[06571] Ἰσραηλῖταί εἰσι, κἀγώ.

[06572] Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος.

[06573] Ἀλλ' ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν, καὶ ἡγοῦμαι σκύβαλον εἶναι, ἵνα Χριστὸν κερδάνω, καὶ εὑρεθῶ ἐν αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐν νόμῳ, ἀλλὰ δικαιοσύνην τὴν διὰ πίστεως Ἰησοῦ Χριστοῦ.

[06574] Ὁρᾷς ὅπως ἁπάντων τῶν κατὰ νόμον ἐξέστη καυχημάτων, ἵνα κερδάνῃ Χριστόν;

[06575] Ὅπερ καὶ αὐτὸς ἡμῖν ὁ Σωτὴρ, ὡς ἐν παραβολῆς εἰσηγεῖται σχήματι, λέγων·

[06576] Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας·

[06577] εὑρὼν δὲ ἕνα πολύτιμον μαργαρίτην, ἀπελθὼν πέπρακεν ὅσα εἶχε, καὶ ἠγόρασεν αὐτόν.

[06578] Οὐκοῦν εἰ ἐξέστη Χριστῷ, Θεῷ δὲ τοῦτο πεποιηκέναι φησὶ, πῶς οὐ Θεὸς κατὰ φύσιν ὁ Υἱός;

[06579] Εἰ δὲ τοῦτο, οὐ ποίημα.

[06580] ΑΛΛΟ.

[06581] Τὰ ἀρχαῖα, φησὶ, παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά.

[06582] Τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ, τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ Χριστοῦ, καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς, ὡς ὅτι Θεὸς ἦν ἐν Χριστῷ, κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν.

[06583] Ζητητέον ἐν τούτοις τῆς πρὸς Θεὸν ἡμῶν καταλλαγῆς τὸν τρόπον.

[06584] Ἀλλ' ἔστι δῆλον ὅτι πιστεύσαντες εἰς Χριστὸν, ὡς Υἱός τε εἴη τοῦ Θεοῦ, καὶ Θεὸν αὐτὸν ἀληθινὸν παραδεξάμενοι, δι' αὐτοῦ προσίεμεν τῷ Πατρὶ, καθὰ καὶ αὐτός φησιν·

[06585] Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ.

[06586] Ἄλλως τε καὶ αὐτὸς ὁ Σωτὴρ τοὺς διὰ τὴν ἁμαρτίαν ἀποστήσαντας ἐκ φιλανθρωπίας καλεῖ πρὸς ἑαυτὸν, καὶ ἑαυτῷ καταλλάσσων ἔλεγε·

[06587] Δεῦτε πάντες πρός με, οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

[06588] Οὐκοῦν εἰ προσιόντες καὶ καταλλασσόμενοι τῷ Χριστῷ, Θεῷ καταλλασσόμεθα, καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν κομιζόμεθα·

[06589] πῶς οὐκ ἔσται Θεὸς ἐκ Θεοῦ, ὁ ἐν Πατρὶ καὶ μετὰ Πατρὸς, δικαιῶν μὲν τὸν προσερχόμενον κόσμον δὲ καταλλάσσων ἑαυτῷ;

[06590] Εἰ δὲ τοῦτο ἀληθὲς, οὐκ ἔσται γενητός.

[06591] ΑΛΛΟ.

[06592] Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν·

[06593] δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ.

[06594] Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα [75.469] δικαιοσύνη Θεοῦ ἐν αὐτῷ.

[06595] Οὐκοῦν ὥσπερ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας γενόμενος, αὐτὸς κεχρημάτικεν ἁμαρτία·

[06596] οὕτως καὶ ἡμεῖς, ἀναμορφωθέντες εἰς αὐτὸν διὰ τῆς πίστεως, δικαιοσύνη Θεοῦ γεγενῆσθαι λεγόμεθα, ὅπερ ἐστὶ κυρίως ὁ Υἱός.

[06597] Ἡμεῖς μὲν γὰρ τῶν αὐτῷ φύσει προσόντων ἀγαθῶν ἠξιώμεθα, μέτοχοι γεγονότες αὐτοῦ διὰ τοῦ Πνεύματος·

[06598] αὐτὸς δὲ πάλιν εἰς ἑαυτὸν ἀναδέχεται τὰ ἀνθρώπινα, πρὸς τὸ θεῖον κάλλος ἐν ἑαυτῷ τὴν φύσιν ἀναζωγραφῶν.

[06599] Ὅτε τοίνυν ἐστὶν ὁ Χριστὸς ἡ δικαιοσύνη τοῦ Πατρὸς, πῶς ἂν εἴη γενητὸς, καὶ οὐχὶ μᾶλλον τῷ γεννήσαντι συναΐδιος, εἴπερ ἀεὶ ἦν δίκαιος ὁ Θεὸς καὶ Πατὴρ, συνούσης αὐτῷ δηλονότι τῆς δικαιοσύνης αὐτοῦ, τουτέστι τοῦ Υἱοῦ;

[06600] Ἐκ τῆς πρὸς Γαλάτας.

[06601] Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.

[06602] Ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν Θεόν;

[06603] Ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν;

[06604] Εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.

[06605] Ὁ πείθων Θεὸν, τουτέστιν, ἐπὶ τοῖς οἰκείοις τρόποις, ὡς ἐπ' ἀγαθοῖς πληροφορεῖν ἐπαγόμενος, οὐκ ἀνθρώποις ἀρέσαι ζητεῖ, ἀλλ' ἵνα μᾶλλον δουλεύσῃ Χριστῷ.

[06606] Θεὸς ἄρα κατὰ φύσιν ὁ Υἱὸς, ᾧ τὴν ἐξ ἔργων ἀγαθῶν δουλείαν προσάγοντες ὡς Θεῷ καὶ Δεσπότῃ πάντες ἀπολογούμεθα·

[06607] τοῦτο γάρ ἐστι τὸ πείθειν αὐτόν.

[06608] Ὁ δὲ φύσει Θεὸς, οὐκ ἂν εἴη γενητός.

[06609] ΑΛΛΟ.

[06610] Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν.

[06611] Ἐλθούσης δὲ τῆς πίστεως, οὐκ ἔτι ὑπὸ παιδαγωγόν ἐσμεν.

[06612] Πάντες γὰρ Υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ.

[06613] Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.

[06614] Εἰ δὲ Χριστὸν ἐνδυσάμενοι διὰ τῆς πίστεως, ἀνεμορφώθημεν εἰς αὐτόν·

[06615] καὶ διὰ τοῦτο χρηματίζομεν υἱοὶ Θεοῦ, κατὰ θέσιν δηλονότι, τὰ δὲ κατὰ θέσιν ἀεὶ πρὸς μίμησιν τοῦ κατὰ φύσιν γίνεται·

[06616] φύσει ἄρα καὶ οὐ θετῶς Υἱὸς ὁ Χριστός.

[06617] Τὸ δὲ φύσει γεννηθὲν ἀπὸ Θεοῦ, πῶς ἂν εἴη κτίσμα ἢ ποίημα, πάντας ἡμᾶς ἐπαναγκάζοντος λόγου τῷ γεννήσαντι τὴν αὐτὴν ἔχειν οὐσίαν ὁμολογεῖν τὸ ἐξ αὐτοῦ γεννώμενον;

[06618] ΑΛΛΟ.

[06619] Λέγω δὲ ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, Κύριος πάντων ὤν, ἀλλὰ ὑπὸ ἐπιτρόπων ἐστὶ καὶ οἰκονόμων, ἄχρι τῆς προθεσμίας τοῦ Πατρός.

[06620] Οὕτως καὶ ἡμεῖς ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι·

[06621] ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

[06622] Εἰ τοῖς τοῦ κόσμου στοιχείοις, ὡς ποιήμασι δουλεύοντες, νήπιοί τε ἦμεν καὶ παράφρονες, ποίημα δὲ καὶ κτίσμα κατ' ἐκείνους ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ·

[06623] ἔτι τοῖς ἀρχαίοις ἐγκλήμασιν ἐνεχόμεθα, νήπιοι δὲ οὐδὲν [75.472] ἧττον καὶ νῦν ἐσμεν δουλεύοντες κτίσματι πάλιν παρὰ τὸν κτίσαντα.

[06624] Εἰ δὲ ἐπεγνωκότες ὡς ἀληθινὸν Θεὸν καὶ Δεσπότην τὸν δι' ἡμᾶς γενόμενον ἐκ γυναικὸς, καὶ γενόμενον ὑπὸ νόμον, ἐξέβημεν τοῦ λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα·

[06625] Θεὸς ἄρα καὶ Υἱὸς ἀληθινὸς ὁ Χριστὸς, οὗ καὶ ἡμεῖς ἀναδεικνύμενοι μέτοχοι, τὴν υἱοθεσίαν ἀπολαμβάνομεν, ἐλεύθεροί τε ἤδη χρηματίζομεν, ὡς αὐτὸν ἐνδυσάμενοι τὸν ἐλεύθερον Υἱὸν, ἵνα τὸ τῆς δουλείας ἡμῶν ἀφανίζηται σχῆμα.

[06626] ΑΛΛΟ.

[06627] Γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὸ Εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον.

[06628] Οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτὸ, οὐδὲ ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ.

[06629] Ἴδωμεν τοίνυν τί περὶ τοῦ Υἱοῦ φησιν ὁ παρ' αὐτοῦ τὸ περὶ αὐτοῦ μεμαθηκὼς μυστήριον·

[06630] Ἰησοῦς Χριστὸς, φησὶ, χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.

[06631] Ἰδοὺ σαφῶς τὸ ἐν ἀτρέπτῳ καὶ ἀμεταποιήτῳ φύσει κεῖσθαι τὸν Υἱὸν ὁμολογεῖ·

[06632] ὅπερ ἴδιον μόνου Θεοῦ καὶ Πατρὸς, ἑτέρῳ δὲ πρόσεστι τῶν γενητῶν οὐδενί.

[06633] Οὐκοῦν εἰ μόνος ἄτρεπτος ὁ Θεὸς καὶ Πατὴρ, ἐν ταυτότητι δὲ φύσεως καὶ ὁ Υἱὸς, ἀεὶ τοῦτο ὢν ὅπερ ἐστὶν ὁ γεννήσας αὐτὸν, πῶς ἂν εἴη τῶν γενητῶν εἷς, ὁ μόνος τῷ φύσαντι κατὰ τὸν ἄφραστον τῆς οὐσίας λόγον ἁμιλλώμενος, καὶ τοῦτο ὢν κατὰ φύσιν, ὅπερ ἐστὶν ὁ Πατὴρ δίχα μόνου τοῦ εἶναι Πατήρ;

[06634] ΑΛΛΟ.

[06635] Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον, ἵνα Θεῷ ζήσω·

[06636] Χριστῷ συνεσταύρωμαι, ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός.

[06637] Εἰ τοῦ Σωτῆρος τὸν νέον παραδεξάμενοι νόμον, ζῶμεν μὲν τῷ Θεῷ, νόμῳ δὲ τῷ διὰ Μωσέως ἀποθνήσκομεν (οὐ γὰρ ἔτι κατ' ἐκεῖνον βιοῦμεν ἢ πολιτευόμεθα)·

[06638] Θεὸς ἄρα Χριστὸς καὶ Θεὸς ἀληθινός.

[06639] Εἰ δὲ τοῦτο, οὐ ποίημα.

[06640] Ὅτι δὲ ζῶμεν αὐτῷ τῷ Χριστῷ, μαρτυρήσει λέγων αὐτὸς τῆς ἀληθείας ὁ κήρυξ·

[06641] Εἰ γὰρ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι.

[06642] Εἰ δὲ ζῶντες τῷ Χριστῷ, Θεῷ ζῆν λεγόμεθα, πῶς οὐκ ἔστι Θεός;

[06643] Πῶς δέ ἐστι κτίσμα ἢ ποίημα;

[06644] ΑΛΛΟ.

[06645] Προϊδοῦσα δὲ ἡ Γραφὴ ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ Θεὸς, προευηγγελίσατο τῷ Ἀβραὰμ, ὅτι Ἐνευλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη.

[06646] Εἰ Θεὸς τὰ ἔθνη λέγεται δικαιοῦν, Χριστὸς δέ ἐστιν ὁ τοῦτο ποιῶν, καὶ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, κατὰ τὴν Ἰωάννου φωνήν·

[06647] Θεὸς ἄρα ἐστὶν ὁ Υἱὸς, καὶ Θεὸς ἀληθινός.

[06648] Πονηροὶ γὰρ ὄντες Ἰουδαῖοι, μόνον ἐκεῖνο λέγουσιν ἀληθὲς, ὡς οὐδεὶς ἁμαρτίας ἀφεῖναι δύναται, εἰ μὴ μόνος ὁ Θεὸς, ὡς τοῦ νόμου Κύριος.

[06649] ΑΛΛΟ.

[06650] Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν, ἐδουλεύσατε [75.473] τοῖς φύσει μὴ οὖσι θεοῖς·

[06651] νῦν δὲ γνόντες Θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς πάλιν ἐπιστρέφετε ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα τοῦ κόσμου, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε;

[06652] Εἰ τοῖς τοῦ κόσμου στοιχείοις, γεννητὴν ἔχουσι τὴν φύσιν, ἀντιπαραβάλλεται Χριστὸς, ὡς μὴ τοῦτο ὢν, ὅπερ ἐκεῖνα·

[06653] οὐκ ἄρα τῶν γενητῶν εἷς καὶ αὐτὸς εὑρίσκεται, ὁ τοσοῦτον διεστηκὼς, ὡς τὰ μὲν μὴ εἶναι φύσει θεοὺς, τὸν δὲ τοῦτο ὑπάρχειν ἀληθινῶς.

[06654] Ταύτην γὰρ ὁ Παῦλος εἰσφέρει τὴν διαφορὰν διὰ τοῦ προτεθέντος κεφαλαίου.

[06655] Ὅτι δὲ τὸν Χριστὸν ὡς Θεὸν ἐπέγνωκε τὰ ἔθνη, πᾶσίν ἐστιν, ὡς οἶμαι, καταφανές.

[06656] Εἰς αὐτὸν γὰρ πιστεύοντα, τῆς πολυθέου πλάνης ἀπαλλάττεται.

[06657] Ὅτι δὲ πάλιν αὐτὸν ἐπέγνωκε τὰ ἔθνη, καὶ ἐπεγνώσθη παρ' αὐτοῦ, ἄκουε λέγοντος·

[06658] Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκουσί με τὰ ἐμά.

[06659] ΑΛΛΟ.

[06660] Ἀδελφοὶ, δέομαι ὑμῶν, οὐδέν με ἠδικήσατε, οἴδατε δὲ ὅτι δι' ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν τὸ πρότερον, καὶ τὸν πειρασμὸν ὑμῶν τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε, οὐδὲ ἐξεπτύσατε, ἀλλ' ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με ὡς Χριστὸν Ἰησοῦν.

[06661] Ὑποδεξάμενος καὶ λίαν θαυμάσας τῶν ἐν Γαλατίᾳ τήν τε εἰς Θεὸν εὐλάβειαν, καὶ τὴν εἰς αὐτὸν ἀγάπησιν, εἰρηκώς τε, ὅτι Ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με, καὶ ἐπὶ πολὺ μεῖζον ἀναβαίνει, προσθεὶς, ὡς Χριστὸν Ἰησοῦν.

[06662] Τίς οὖν ὑπεροχὴ Χριστοῦ πρὸς ἀγγέλους, αὐτὸς διδασκέτω, λέγων·

[06663] Ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει·

[06664] Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.

[06665] Καὶ πάλιν·

[06666] Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων·

[06667] Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε·

[06668] καὶ, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου;

[06669] Γέγραπται δὲ πάλιν περὶ αὐτῶν·

[06670] Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

[06671] Τοσαύτης τοιγαροῦν μεταξὺ κειμένης διαφορᾶς, ὡς τὸν μὲν Υἱὸν προσκυνεῖσθαι, λειτουργεῖν δὲ αὐτῷ τοὺς ἀγγέλους·

[06672] καὶ τὸν μὲν ἐν τάξει βασιλέως καὶ Υἱοῦ καὶ Δεσπότου καθέζεσθαι, τοὺς δὲ ἀποστέλλεσθαι εἰς διακονίαν·

[06673] πῶς οὐκ ἔσται Θεὸς ὁ καὶ ὑπὸ τῶν ἀγγέλων ὡς τοῦτο ὢν κατὰ φύσιν γινωσκόμενος;

[06674] Εἰ γὰρ ποίημά ἐστι, κατὰ τὴν τῶν ἑτεροδοξούντων ἀβουλίαν, ὥρα λέγειν οὐ μόνον ἡμᾶς, ἀλλὰ καὶ αὐτὰς τὰς ἐν οὐρανοῖς πεπλανῆσθαι δυνάμεις, ὡς λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα.

[06675] Εἰ δὲ τοῦτο ἄτοπον (οὐ γὰρ ἄν τις πλανᾶσθαι φήσειε τοὺς ἁγίους ἀγγέλους, ἀληθὴς δὲ μᾶλλον ἐν αὐτοῖς ἡ περὶ τοῦ Θεοῦ γνῶσις, καὶ προσκυνοῦσιν ὡς τοῦτο κατὰ φύσιν ὄντα τὸν Υἱὸν), οὐκ ἄρα κτίσμα ἐστὶν, οὐδὲ ποίημα.

[06676] Τὸ γὰρ ὅλως ποιηθὲν, οὐκ ἂν εἴη φύσει Θεός.

[06677] ΑΛΛΟ.

[06678] Διὸ, ἀδελφοὶ, οὐκ ἐσμὲν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας, τῇ ἐλευθερίᾳ ᾗ Χριστὸς ἡμᾶς ἠλευθέ [75.476] ρωσεν.

[06679] Εἰ Δεσπότου τὸ ἐλευθεροῦν, ἐλευθεροῖ δὲ ἡμᾶς ὁ Χριστὸς, καὶ τὸν ζυγὸν τῆς δουλείας ἀνίησιν εἰς υἱότητα καλῶν·

[06680] οὐκ ἄρα δοῦλος, ἀλλὰ Υἱὸς καὶ Δεσπότης, ὅπερ ἐστὶ κατὰ φύσιν, τοῦτο τοῖς ἀξίοις κατὰ χάριν περιτιθείς.

[06681] Ἐκ τῆς πρὸς Ἐφεσίους.

[06682] Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ, διὰ θελήματος Θεοῦ, τοῖς ἁγίοις πᾶσι τοῖς οὖσιν ἐν Ἐφέσῳ καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ.

[06683] Ὁ διὰ θελήματος τοῦ Θεοῦ καὶ Πατρὸς προκεχειρισμένος εἰς ἀποστολὴν, ὡς αὐτὸς ἐνθάδε διϊσχυρίζεται, ἀπαύγασμα τοῦ Πατρὸς καὶ χαρακτῆρα τῆς ὑποστάσεως αὐτοῦ τὸν Υἱὸν ἀποκαλεῖ.

[06684] Εἶτα πῶς τῆς ἀκτίστου καὶ ἀγενήτου τοῦ Πατρὸς οὐσίας τε καὶ ὑποστάσεως ἔσται χαρακτὴρ ὁ Υἱὸς, εἴπερ ἐξ οὐκ ὄντων ὑπέστη, κατά τινας;

[06685] Ἀνάγκη γὰρ πᾶσα τήν τινος εἰκόνα ἀκριβῆ τὴν ὁμοίωσιν ἔχειν ὡς πρὸς ἐκεῖνον, οὗ καὶ ἔστιν εἰκών.

[06686] Εἰ δὲ χαρακτήρ ἐστιν ὁ Υἱὸς τοῦ ἀγενήτου Πατρὸς, ἔσται καὶ αὐτὸς κατ' ἐκεῖνον ἀγένητος, ἄκτιστός τε καὶ τὸ πᾶν ἤδη Θεὸς ἀληθινός.

[06687] Εἰ δὲ τοῦτο, οὐ κοίημα.

[06688] ΑΛΛΟ.

[06689] Διὸ μνημονεύετε, ὅτι ποτὲ ὑμεῖς τὰ ἔθνη ἐν σαρκὶ, οἱ λεγόμενοι ἀκροβυστία, ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτου, ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ.

[06690] Νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς, οἵ ποτε ὄντες μακρὰν, ἐγενήθητε ἐγγὺς ἐν τῷ αἵματι τοῦ Χριστοῦ.

[06691] Εἰ καθ' ὃν ἐπλανᾶτο τὰ ἔθνη καιρὸν, κεχώριστο τοῦ Χριστοῦ, καὶ ἦν διὰ τοῦτο καὶ ἐλπίδος ἔρημα χρηστῆς, καὶ ἄθεα ἐν τῷ κόσμῳ·

[06692] Χριστὸς ἄρα ἐστὶν ἡ πάντων ἐλπὶς καὶ Θεὸς, ὃν εἴπερ ἐπιγνοίη τὰ ἔθνη, τὸ εἶναι λοιπὸν ἐν ἀθεότητι διαφεύξεται, ὡς μεμαθηκότα τὸν ὄντως Κύριον.

[06693] Πῶς οὖν ἂν εἴη κτίσμα ἢ ποίημα ὁ παρὰ τῶν πλανωμένων ὡς Θεὸς ἐπιγινωσκόμενος, καὶ διασώζων τοὺς εὑρίσκοντας αὐτὸν, εἴσω τε πάσης ἀγαθῆς ἐλπίδος εἰσφέρων, κατὰ τὸ, Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἧς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

[06694] ΑΛΛΟ.

[06695] Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν ὁ ποιήσας τὰ ἀμφότερα ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας.

[06696] Γέγραπταί που περὶ τῶν τοῦ Θεοῦ νόμων, ὡς ἐπ' αὐτοῖς οὐκ ἔστι προσθῆναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν.

[06697] Ἀποφήσαντος τοίνυν τὸ τοιοῦτον παντελῶς τοῦ Θεοῦ, καὶ μηδενὶ λέγοντος ἐξεῖναι προσθῆναί τι τοῖς παρ' αὐτοῦ διατεταγμένοις, ἢ καὶ ἀφελεῖν, τοῦτο μόνος πεποιηκὼς εὑρίσκεται Χριστός.

[06698] Ἀφεῖλε μὲν γὰρ καταργήσας τῶν ἐντολῶν τὸν νόμον·

[06699] προστέθηκε δὲ τὰ περὶ τῆς εἰς αὐτὸν πίστεώς τε καὶ εὐσεβείας δόγματα.

[06700] Καὶ [75.477] πῶς ἡμῖν ἐν τοῖς γενητοῖς ἀριθμηθήσεται, ὁ τὴν τῷ Θεῷ πρέπουσαν ἐξουσίαν περικείμενος, καὶ μόνος ἐργασάμενος, ἃ μόνῳ προσήκει Θεῷ;

[06701] ΑΛΛΟ.

[06702] Ἄρα οὖν οὐκ ἔτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ.

[06703] Εἶτα πῶς οὐκ ἔσται Θεὸς ὁ Υἱὸς, εἴπερ αὐτῷ διὰ τῆς πίστεως συναπτόμενοι, οἰκεῖοι Θεοῦ διὰ τοῦτο χρηματίζουσιν;

[06704] Καὶ αὐτὸς δέ που τῆς κατὰ πνεῦμα συγγενείας ἐπιδεικνύων τὸν τρόπον, λέγει περὶ τῶν ἑαυτοῦ μαθητῶν·

[06705] Ὅστις γὰρ ἂν ποιῇ τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς, οὗτος ἀδελφός μου καὶ ἀδελφή μου καὶ μήτηρ ἐστίν.

[06706] ΑΛΛΟ.

[06707] Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται.

[06708] Τὰ κατὰ θέσιν ἀεὶ γινόμενα τοῖς κατὰ φύσιν ἀπεικάζεται.

[06709] Πάλιν τε αὖ καὶ τὰ κατὰ μίμησιν τήν τινος ἀνατυπούμενα, τῆς τῶν πρωτοτύπων ἀληθείας ἀπολιμπάνεται.

[06710] Εἰ τοίνυν ἐκ τῆς τοῦ Θεοῦ πατρότητος, τὸ τῆς πατριᾶς ὄνομα διαβαίνει καὶ εἰς ἡμᾶς·

[06711] πῶς οὐ λίαν ἀσεβοῦσιν οἱ λέγοντες, δεῖν ἡμᾶς μὲν εἶναι φύσει τῶν ἐξ ἡμῶν πατέρας, τοὺς κατὰ μίμησιν τοῦ ἀληθινοῦ τοῦτο γεγονότας καὶ κεκλημένους·

[06712] τὸν δὲ ἀρχέτυπον καὶ πρῶτον Πατέρα Θεὸν, τῆς ἐν τῷ γεννᾷν ἀληθείας ἀποστερεῖσθαι, καὶ μὴ ἐξ αὐτοῦ μηδὲ οὐσιωδῶς προελθόντα τὸν Υἱὸν ὁμολογεῖν, ἀλλ' ἔκφυλόν τινα τῆς πατρῴας οὐσίας καὶ ἐπείσακτον φαντάζεσθαι;

[06713] Πῶς δ' ἂν ὅλως εἴη καὶ Πατὴρ ὁ μηδὲν γεννήσας, εἴ γε τὸ πατὴρ ὄνομα, τῆς ἐν τῷ δύνασθαι γεννᾷν ἐπιτηδειότητός ἐστι σημαντικὸν, καὶ τὸν γεννήσαντα τῷ γεγεννημένῳ διὰ γεννήσεως ὥσπερ ὠδῖνος εἰς ἑνότητα τῆς οὐσίας συνδεῖ;

[06714] Ἐπεὶ οὖν ἀληθεύει λέγων ὁ Πατὴρ πρὸς τὸν ἴδιον Υἱόν·

[06715] Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε·

[06716] καὶ γεγέννηκεν ὄντως αὐτὸν ἐξ ἑαυτοῦ (τοῦτο γὰρ σημαίνει τὸ, ἐκ γαστρός)·

[06717] οὐκ ἂν εἴη ποίημα, Θεὸς δὲ μᾶλλον ὡς ἐκ Θεοῦ, καὶ Υἱὸς ὡς ἐκ Πατρὸς φυσικῶς.

[06718] ΑΛΛΟ.

[06719] Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς Θεὸς καὶ Πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν.

[06720] Ἑνὸς ὄντος Κυρίου τοῦ Θεοῦ καὶ Πατρὸς, πῶς ἔσται Κύριος ὁ Υἱὸς, εἴ γε ποίημα ἢ κτίσμα ἐστί;

[06721] Πρόδηλον γὰρ ὅτι τὰ πεποιημένα δούλην ἔχει τὴν φύσιν.

[06722] Πῶς δὲ καὶ πίστεως οὔσης μιᾶς ὁ πιστεύων εἰς τὸν Υἱὸν, εἰς τὸν Πατέρα πιστεύει, εἴ γε κατὰ τήν τινων ἀβουλίαν διακέκοπται τῆς πρὸς τὸν Πατέρα κοινωνίας φυσικῆς;

[06723] Ἀλλ' ὄντος Κυρίου τοῦ Θεοῦ καὶ Πατρὸς, Κύριός ἐστι καὶ ὁ Υἱὸς, καὶ ὁ πιστεύων εἰς αὐτὸν, εἰς τὸν Πατέρα πιστεύει.

[06724] Ἐκ Πατρὸς γὰρ δηλονότι καὶ ἐν Πατρὶ φυσικῶς ὑπάρχων Υἱὸς, ἔχων τε αὖ πάλιν ἐν ἑαυτῷ τὸν Πατέρα, συνθεολογεῖται καὶ συνδοξάζεται.

[06725] Καὶ οὕτως εἰς μίαν ἀναβαίνει θεότητα τῶν προσιόντων ἡ πίστις.

[06726] Πῶς [75.480] οὖν ἐν ποιήμασιν, ὁ πάντα ἔχων κοινὰ πρὸς τὸν Πατέρα, ὡς ἀληθὴς αὐτοῦ τῆς οὐσίας καρπὸς, καὶ οὐ καθάπερ ἡμεῖς θετοὶ πρὸς υἱότητα καὶ ἐγκεκεντρισμένα βλαστήματα;

[06727] ΑΛΛΟ.

[06728] Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν.

[06729] Ὅρα δὴ πάλιν ὅπως Θεὸν οἶδέ τε καὶ ὀνομάζει Χριστόν.

[06730] Εἰρηκὼς γὰρ δεῖν ἡμᾶς μιμητὰς γενέσθαι Θεοῦ, εὐθὺς παρατίθησιν αὐτὸν, καὶ ὅπως μιμεῖσθαι προσήκει, διδάσκει λέγων·

[06731] Καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ ἑαυτὸν ἔδωκεν ὑπὲρ ἡμῶν.

[06732] Θεοῦ τοιγαροῦν ὄντος τε φύσει καὶ ὀνομαζομένου Χριστοῦ, καὶ τοῦτο παρὰ τοῦ πεπιστευμένου τὸ Εὐαγγέλιον παρὰ Θεοῦ καὶ Πατρὸς, τίς τῶν ἕτερα λεγόντων ἀνέξεται;

[06733] Ὁ δὲ φύσει Θεὸς, πῶς ἂν εἴη κτίσμα ἢ ποίημα;

[06734] ΑΛΛΟ.

[06735] Τοῦτο γὰρ ἴστε γινώσκοντες ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ.

[06736] Ἰδοὺ πάλιν Χριστὸν ὀνομάσας, εὐθὺς αὐτὸν εἰσφέρει καὶ Θεὸν, ὡς τοῦ Θεοῦ καὶ Πατρὸς ἐν αὐτῷ βασιλεύοντος, αὐτοῦ τε αὖ πάλιν ἐν τῷ Πατρὶ, κατὰ τὸ παρ' αὐτοῦ λεγόμενον ὡς πρὸς τὸν Πατέρα, ὅτι Πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά.

[06737] Ἓν δὲ τῶν πάντων ἡ βασιλεία, κοινὴ μὲν Υἱῷ πρὸς Πατέρα, κοινὴ δὲ Πατρὶ πρὸς Υἱὸν, συμβασιλεύοντος δηλαδὴ τοῦ ἁγίου Πνεύματος·

[06738] οὕτω γὰρ ἡ ἁγία καὶ προσκυνουμένη Τριὰς, εἰς τὴν μίαν τῆς θεότητος ἀναφέρεται φύσιν.

[06739] Πῶς οὖν ποίημα ὁ βασιλεύων ἐν Πατρὶ καὶ μετὰ Πατρὸς Θεὸς Λόγος;

[06740] ΑΛΛΟ.

[06741] Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις.

[06742] Διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.

[06743] Καὶ τίνες ἂν εἶεν οἱ τῆς ἀπειθείας υἱοὶ, εἰ μὴ πάντως οἱ διὰ τοῦ πλημμελεῖν τῶν τοῦ Σωτῆρος ἀποσκιρτήσαντες νόμων;

[06744] Εἰ δὲ τούτοις ἐπάγων τὴν ὀργὴν, αὐτός ἐστιν ὁ Σωτὴρ διὰ τοῦ λέγειν·

[06745] Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον·

[06746] καὶ Θεὸν αὐτὸν ὁ μακάριος Παῦλος οἶδέ τε ὄντα, καὶ εἰσφέρει διὰ τούτων·

[06747] τίς τῶν ποίημα λεγόντων ἀνέξεται;

[06748] ΑΛΛΟ.

[06749] Διὸ λέγει·

[06750] Ἔγειρε, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός.

[06751] Εἰ Κυρίου τὸ δύνασθαι φωτίζειν, ἔργον ἐστὶ φωτός·

[06752] φωτίζει δὲ ὁ Χριστός·

[06753] φῶς ἄρα ἐστὶ, καὶ φῶς ἀληθινόν.

[06754] Ἡ γὰρ σκοτεία αὐτὸν οὐ κατέλαβε.

[06755] Φῶς δὲ καὶ ὁ Πατὴρ ἀληθινὸν, φῶς ἄρα ἐκ τοῦ φωτὸς ὁ Υἱὸς, καὶ Θεὸς ἐκ Θεοῦ.

[06756] Εἰ δὲ τοῦτο, οὐ ποίημα.

[06757] ΑΛΛΟ, εἰς τὸ αὐτό.

[06758] Τὸ ἐκ μετοχῆς ἑτέρου τὸ δύνασθαι φωτίζειν ἐσχη [75.481] κὸς, ἐπίκτητον ἔχει τὴν χάριν, καὶ οὐκ ἂν αὐτὸ κυρίως ὀνομάζοιτο φῶς.

[06759] Ὁ δὲ Υἱὸς οὐχ οὕτως·

[06760] Ἐγὼ γάρ εἰμι, φησὶ, τὸ φῶς.

[06761] Ἀληθινὸν ἄρα φῶς ὥσπερ καὶ ὁ Πατήρ.

[06762] Τὸ δὲ τῷ Θεῷ καὶ Πατρὶ κατὰ φύσιν ἀπαραλλάκτως ἔχον, πῶς ἂν εἴη κτίσμα ἢ ποίημα;

[06763] Ὥρα γὰρ ἤδη καὶ αὐτὸν τὸν Πατέρα τοῦτο καλεῖν,

[06764] ὅπερ ἐστὶν ἀτοπώτατον, καὶ ἄμετρον ἔχον τὴν δυσφημίαν.

[06765] ΑΛΛΟ.

[06766] Οἱ ἄνδρες, γαπᾶτε τὰς γυναῖκας, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι.

[06767] Εἰ μηδὲν τῶν προσόντων τῇ θείᾳ φύσει πλεονεκτημάτων ἐν οὐδενὶ τῶν γενητῶν εὑρίσκεται φυσικῶς τε καὶ κυρίως ὑπάρχον, ἐνεσπαρμένον δὲ μᾶλλον καὶ ἐντεθειμένον παρὰ τοῦ πεποιηκότος αὐτὰ, ὥσπερ οὖν ἀμέλει καὶ ὁ Παῦλος τοιοῦτόν τινα κατὰ πάντων ὅρον τιθεὶς ἀληθέστατον·

[06768] Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;

[06769] λέγει·

[06770] πρόδηλον ὅτι καὶ ἡ ἁγιότης ἐν μόνῳ κεῖται Θεῷ, ἐν δὲ τοῖς ἄλλοις οὐκ ἔτι.

[06771] Ἁγιάζεται γὰρ μᾶλλον παρὰ τοῦ ἁγίου Θεοῦ, καθάπερ ἀπὸ πηγῆς δεχόμενα τὸν ἁγιασμόν.

[06772] Αὐτὰ δὲ ἁγιάζειν οὐ δύναται.

[06773] Οὐκοῦν εἰ μηδενὸς τῶν πεποιημένων ἁγιάζειν ἰσχύοντος, τοῦτο ποιῶν εὑρίσκεται Χριστὸς, ἕτερος ἔσται κατὰ φύσιν ὡς πρὸς αὐτά.

[06774] Ὁ δὲ τὸ εἶναι ποίημα διαφυγὼν, καὶ τὰ τῆς θείας φύσεως ἔχων ἀγαθὰ, πῶς οὐκ ἂν εἴη φύσει Θεός;

[06775] Ἐκ τῆς πρὸς Φιλιππησίους.

[06776] Πάντα ποιεῖτε, φησὶ, χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν, ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἄμωμα.

[06777] Εἰ, καθάπερ αὐτός πού φησιν ὁ μακάριος Παῦλος, Χριστός ἐστιν ὁ λέγων περὶ ἡμῶν·

[06778] Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός·

[06779] αὐτοῦ δηλονότι τέκνα ἐσμὲν διὰ προσοχῆς ἀμώμητα.

[06780] Θεὸς οὖν ἄρα ὁ Χριστός.

[06781] Εἰ δὲ τοῦτο, πῶς ἔσται ποίημα;

[06782] ΑΛΛΟ.

[06783] Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστὸν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι αὐτῷ τὰ πάντα.

[06784] Κάθου ἐκ δεξιῶν μου, φησί που πρὸς τὸν Υἱὸν ὁ Πατὴρ, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

[06785] Ἀλλ' ἰδοὺ καὶ Παῦλος ἐπιμαρτυρεῖ τὸ δύνασθαι τῷ Υἱῷ καὶ ὑποτάττειν ἑαυτῷ τὰ πάντα, καὶ τοῦτο ῥᾳδίως ἐπιτελέσειν, ὅπερ ἐν μόνῃ κεῖται τῇ τοῦ Πατρὸς ἰσχύϊ.

[06786] Ἐπειδὴ δὲ ἁπλοῦς ὁ Θεὸς, οὐχ ἕτερόν τι παρ' αὐτὸν ἡ ἰσχὺς ἡ ἐν αὐτῷ, ἀλλ' αὐτὸς δηλονότι ὁ Υἱὸς, μίαν ἔχων ὡς πρὸς αὐτὸν τὴν οὐσίαν, καὶ τῇ ταυτότητι τῆς φύσεως ὥσπερ ἐνυπάρχων πρὸς τὸν γεννήσαντα, εἰ καὶ Θεὸς ἐκ Θεοῦ, καὶ φῶς ἐξέλαμψεν ἐκ φωτὸς, Υἱὸς καὶ οὐ Πατὴρ νοούμενος.

[06787] Εἰ τοίνυν πᾶσα ἐνέργεια καὶ δύναμις τοῦ [75.484] Πατρὸς δι' ἧς τὰ πάντα ἐργάζεται, πῶς ἂν εἴη φύσεως τῆς γενητῆς;

[06788] Οὐκοῦν οὐ ποίημα ὁ Υἱὸς κατά τινων ἀβουλίαν.

[06789] ΑΛΛΟ, τοῦ αὐτοῦ συλλογιστικῶς.

[06790] Εἰ πᾶν τὸ ὡς ἐν ὑποστάσει πεποιημένον ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη, Χριστὸς δὲ σοφία καὶ δύναμις ὢν τοῦ Θεοῦ καὶ Πατρὸς τῆς τῶν γενητῶν ἐστι φύσεως κατά τινας, ἀνάγκη συνομολογεῖν ἄσοφον μέν ποτε καὶ ἀδύνατον εἶναι τὸν Θεὸν, ὕστερον δέ πως γενέσθαι τοῦτο, πρὸς τὸ εἶναί ποτε κληθέντος τοῦ Υἱοῦ.

[06791] Τοιαύτη γὰρ τῶν γενητῶν ἡ φύσις.

[06792] Ἀλλ' ὁμοῦ δύσφημον τε καὶ ἀμαθὲς, τὸ τοιαύτην ἔχειν περὶ Θεοῦ τὴν δόξαν.

[06793] Δύσφημον μὲν, οὐ γὰρ ἦν ἄσοφός ποτε καὶ ἰσχύος ἔρημος ὁ Πατήρ·

[06794] ἀμαθὲς δὲ πάλιν διὰ τοῦτο.

[06795] Εἰ γὰρ καὶ πεποίηται κατ' ἐκείνους ὁ Υἱὸς, πεποίηται δηλονότι παρὰ Πατρός.

[06796] Ἀλλ' οὐκ ἂν ἰσχύος τε ὁμοῦ καὶ σοφίας ἔρημος ὢν ὁ Πατὴρ, πρὸς τὸ εἶναι παρήγαγεν τὸν τοσοῦτον Υἱὸν, ὡς καὶ εἰκόνα καὶ χαρακτῆρα καλεῖσθαι τῆς ὑποστάσεως αὐτοῦ.

[06797] Πῶς γὰρ ἂν γένοιτο μὴ ἐν ἰσχύει καὶ σοφίᾳ ὁ ὑπὲρ πᾶσαν τὴν κτίσιν Υἱὸς, ὅπου καὶ τὴν τοσοῦτον αὐτοῦ μείονα κτίσιν ἐν σοφίᾳ πεποιῆσθαί φησιν ἡ θεία Γραφὴ, καὶ ἐν δυνάμει Θεοῦ;

[06798] Καὶ εἰ τῷ μικρῷ σοφίαν ἐδέησε τῆς τοῦ ποιοῦντος πρὸς τὸ γενέσθαι καλῶς, πῶς οὐ πολλῷ μᾶλλον τῷ μείζονι;

[06799] Ἀλλὰ πολὺ μᾶλλον ἐν τούτοις ἡ τῶν λογισμῶν ἀτοπία.

[06800] Ἦν δὲ ἀεὶ σοφός τε καὶ δυνατὸς ὁ Πατὴρ, οὐκ ἄρα τῶν γενητῶν ἐστιν ὁ Υἱὸς, ὁ τῷ Πατρὶ συναΐδιος, ὡς σοφία καὶ δύναμις ὑπάρχων αὐτοῦ.

[06801] ΑΛΛΟ.

[06802] Ὁ Κύριος, φησὶν, ἐγγὺς, μηδὲν μεριμνᾶτε.

[06803] Ὅρα δὴ πάλιν, ὅπως ἡμῖν καὶ διὰ τούτου Θεὸς ὑπάρχων ἀληθινὸς ὁ Υἱὸς ἀναδείκνυται.

[06804] Παύλου γὰρ ἡμῖν ἐγγὺς εἶναι φάσκοντος τὸν Χριστὸν ὡς Κύριον, αὐτὸς δι' ἑνός φησι τῶν προφητῶν·

[06805] Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐχὶ Θεὸς πόῤῥωθεν.

[06806] Αὐτοῦ τοιγαροῦν τοῦ Υἱοῦ Θεὸν ἑαυτὸν εἰδότος τε καὶ ἀποκαλοῦντος, ὡς ἠκούσαμεν, πῶς ἄν τις εἴ τῳ ποίημα δοκείη λέγειν αὐτὸν, οὕτως ἔχων ὀφθήσεται, καὶ οὐχ ἁμαρτήσει;

[06807] ΑΛΛΟ.

[06808] Ἀλλ' ἐν παντὶ, τῇ προσευχῇ καὶ τῇ δεήσει, μετ' εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν·

[06809] καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ.

[06810] Διαλεγόμενός πού φησιν ὁ Σωτὴρ πρὸς τοὺς οἰκείους μαθητάς·

[06811] Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.

[06812] Ὅτε τοίνυν ἑαυτοῦ μὲν εἶναί φησιν τὴν εἰρήνην, Παῦλος δὲ αὐτὴν τοῦ Θεοῦ λέγει, Θεὸν ὄντα τὸν Υἱὸν δηλονότι ἐπίσταται, τὸν τῆς εἰρήνης τοῖς ἁγίοις χορηγόν·

[06813] πρὸς ὃν καὶ ὁ μακάριος Ἡσαΐας προφητικῷ κινούμενος πνεύματι, ὡς ἐκ προσώπου τῶν εἰς αὐτὸν πεπιστευκότων φησί·

[06814] Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην [75.485] δὸς ἡμῖν·

[06815] Πάντα γὰρ ἀπέδωκας ἡμῖν.

[06816] Οὐκοῦν εἰ Θεὸν ὁ Παῦλος οἶδέ τε ὄντα καὶ ὁμολογεῖ τὸν Υἱὸν, οἰχέσθω μακρὰν τῶν ἕτερα δοξαζόντων ὁ λῆρος.

[06817] ΑΛΛΟ.

[06818] Τὸ λοιπὸν ἀδελφοὶ, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ, εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε, ἃ καὶ ἐμάθετε καὶ παρελάβετε, καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν.

[06819] Ἰδοὺ πάλιν Θεὸν ἐνθάδε καλεῖ τὸν λέγοντα Χριστόν·

[06820] Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν.

[06821] Ἐφαρμόσεις τοίνυν καὶ τούτοις τὸν ἐν τοῖς ὀπίσω προαποδοθέντα λόγον.

[06822] Ἐκ τῆς πρὸς Κολοσσαεῖς.

[06823] Ἐν παντὶ, φησὶν, ἔργῳ ἀγαθῷ καρποφοροῦντες καὶ αὐξανόμενοι τῇ ἐπιγνώσει τοῦ Θεοῦ.

[06824] Εἰ τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν ἐπιγινώσκοντες διὰ τῶν ἀποστολικῶν τε καὶ εὐαγγελικῶν κηρυγμάτων, οὐχ ἕν τι τῶν ποιημάτων, ἀλλ' αὐτὸν ἤδη τὸν ἐπὶ πάντων Θεὸν ἐπιγινώσκομεν, πῶς οὐκ ἔστι κατὰ ἀλήθειαν Θεὸς ὁ Υἱὸς, συνεισάγων μὲν ἑαυτῷ τὴν περὶ τοῦ Πατρὸς γνῶσιν, ἀντεισφερόμενος δὲ αὖθις διὰ τῆς τοῦ Πατρὸς ἐπωνυμίας ὡς Υἱός;

[06825] Ἀνάγκη γὰρ θάτερον ἐν θατέρῳ·

[06826] ἐπείπερ οὗτος τῶν ὡς πρός τι ἐχόντων ὀνομάτων ὁ τύπος.

[06827] Καὶ αὐτὸς δέ πού φησιν ὁ Σωτὴρ ὡς πρὸς τὸν ἴδιον Πατέρα·

[06828] Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις, γνωστὸν ἐμαυτὸν δηλονότι καταστήσας αὐτοῖς.

[06829] Ἅμα γὰρ ἔγνω τις τί ἐστιν Υἱὸς, ἔγνω καὶ τοῦ γεγεννηκότος τὸν ὅρον, ἤτοι τὸ τί ἐστι Πατήρ.

[06830] Ὅτε τοίνυν Υἱός ἐστι καὶ Θεὸς, πῶς ἂν εἴη πεποιημένος ὑπ' αὐτοῦ, καὶ οὐχὶ μᾶλλον γεγεννημένος, ὡς ἐκ Πατρός;

[06831] Ὅπερ ἐστὶ καὶ ἀληθές.

[06832] ΑΛΛΟ.

[06833] Εὐχαριστοῦντες τῷ Θεῷ καὶ Πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτὶ, ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν.

[06834] Πᾶσαν τῶν γενητῶν τὴν φύσιν τῷ κανόνι τῆς πρὸς Θεὸν δουλείας, ὑποτίθησιν ἡ θεία Γραφὴ λέγουσα, ὅτι Τὰ σύμπαντα δοῦλα σά.

[06835] Μόνῳ δὲ τῷ Θεῷ τὸ βασιλικὸν ἀξίωμα τετήρηκεν ὡς ἐξαίρετον συνημμένως βοῶσα·

[06836] Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου καὶ ὁ Θεός μου, ὡς ἑπομένου πάντως τῷ κατὰ φύσιν βασιλεῖ τοῦ εἶναι καὶ Θεόν.

[06837] Οὐκοῦν εἰ μηδενὸς ἑτέρου τῶν γενητῶν εἰς τὴν βασιλίδα παραλαμβανομένου τιμὴν, κατὰ φύσιν καὶ κατὰ ἀλήθειαν βασιλεύει μετὰ Πατρὸς ὁ Υἱὸς, πῶς ἂν εἴη τῶν γενητῶν ὁ τῆς θείας τε καὶ πατρῴας οὐσίας ἔχων ἐν ἑαυτῷ φυσικῶς τὰ ἴδια καὶ ἐξαίρετα;

[06838] ΑΛΛΟ.

[06839] Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα ἐν τοῖς οὐρανοῖς [75.488] καὶ ἐπὶ τῆς γῆς, εἴτε ὁρατὰ, εἴτε ἀόρατα.

[06840] Εἰ ἐν αὐτῷ τὰ πάντα ἐκτίσθη, οὐκ ἂν τοῖς πᾶσι συναριθμοῖτο δικαίως, πάντων δὲ μᾶλλον αὐτὸς ἔξω κείσεται.

[06841] Ἐν γὰρ τῷ τὰ πάντα εἰπεῖν, οὐδὲν ἀφῆκεν ἐκτὸς τῶν ὅσα πρὸς γένεσιν ἐξ οὐκ ὄντων ἐνεχθέντα φαίνεται.

[06842] Εἰ δὲ πάντα δι' αὐτοῦ, καὶ αὐτὸς τῶν πάντων ἕτερος, πῶς ἂν εἴη κτίσμα, ὁ τὸ ἐν τοῖς πᾶσιν εἶναι διαφυγὼν διὰ τὸ τῆς φύσεως ἐξηλλαγμένον;

[06843] ΑΛΛΟ.

[06844] Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχων ὑπὲρ ὑμῶν καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ πάντων ὅσοι οὐχ ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκὶ, ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντες ἐν ἀγάπῃ, εἰς πᾶν τὸ πλῆθος τῆς πληροφορίας τῆς συνέσεως εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ καὶ Χριστοῦ, ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως ἀπόκρυφοι.

[06845] Εἰ πάσης γνώσεως μέτρον ὑπεραίρει τὸ περὶ Θεοῦ μυστήριον, καὶ πάσης σοφίας τε καὶ συνέσεως τὸ ἀκρότατον ἐν τοῖς περὶ αὐτοῦ λόγοις ὁρᾶται, καὶ ἐν τῷ μυστηρίῳ τῷ περὶ Χριστοῦ πάντες εἰσὶν οἱ θησαυροὶ τῆς σοφίας, καὶ τῆς γνώσεως ἀπόκρυφοι, πῶς οὐκ ἔσται Θεὸς, ὁ πάσης μὲν γλώττης ἀναβαίνων τὸ μέτρον, πάντα δὲ νοῦν καὶ σοφίαν ἐξαλλόμενος, οὗ πρὸς κατάληψιν οὐδὲν ἐξαρκεῖν τῶν πεποιημένων φαίνεται;

[06846] Τὴν γενεὰν γὰρ αὐτοῦ τίς διηγήσεται;

[06847] καθά φησιν ὁ προφήτης.

[06848] ΑΛΛΟ.

[06849] Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος.

[06850] Εἰ τῶν πεποιημένων οὐδὲν τῷ βασιλεῖ τῶν ὅλων ὁμόθρονόν τέ ἐστι καὶ σύνεδρον (Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων·

[06851] Κάθου ἐκ δεξιῶν μου;), πάντες δὲ μᾶλλόν εἰσι λειτουργικὰ πνεύματα, εἶτα μόνος ἔχων ὁ Υἱὸς τὸ ἀξίωμα φαίνεται, καὶ συνεδρεύει καὶ συμβασιλεύει τῷ Πατρί·

[06852] πῶς ἂν εἴη τῶν πεποιημένων εἷς, ὁ τὸ ὑπὲρ πᾶσαν τὴν κτίσιν ἀξίωμα φέρων, ὡς Θεὸς, καὶ τῶν βασιλικῶν θρόνων τῷ γεννήσαντι κοινωνός;

[06853] ΑΛΛΟ.

[06854] Τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς.

[06855] Ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ.

[06856] Ὅταν ὁ Χριστὸς φανερωθῇ ὑμῖν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.

[06857] Εἰ ἐν Θεῷ πάντες καὶ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμὲν, πῶς οὐκ ἔσται Θεὸς ὁ Υἱὸς ἡ πάντων ζωή;

[06858] Εἰ γὰρ μόνῳ τὸ δύνασθαι ζωογονεῖν πρόσεστι κατὰ φύσιν Θεῷ, τῶν πεποιημένων οὐδὲν ζωὴ κυρίως τε καὶ ἀληθῶς κληθήσεται, ζωῆς δὲ μᾶλλον τῆς τοῦ χορηγοῦντος μέτοχον.

[06859] Εἰ δὲ ἐν Χριστῷ τὸ ἐψευσμένον οὐδὲν (ἀλήθεια γὰρ), ζωὴ κατὰ φύσιν ἄρα ἐστίν·

[06860] εἰ δὲ τοῦτο, καὶ Θεός.

[06861] ΑΛΛΟ.

[06862] Μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυσάμενοι τὸν [75.489] παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν.

[06863] Εἰς Χριστὸν ἀναμορφούμεθα διὰ τῆς πίστεως.

[06864] Τοῦτο γὰρ ἡμᾶς ὁ Παῦλος διδάσκει λέγων·

[06865] Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.

[06866] Καὶ πάλιν·

[06867] Ὥσπερ γὰρ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ·

[06868] οὕτω φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.

[06869] Ὅτε τοίνυν τὴν αὐτοῦ λαβόντες ὁμοίωσιν, κατ' εἰκόνα τοῦ κτίσαντος ἀναδεικνύμεθα·

[06870] κτίζει δὲ τὸν ἄνθρωπον ὁ Θεὸς, κατὰ τὸ, Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον·

[06871] Θεὸς ἄρα ὁ Χριστὸς, καὶ κτίστης μᾶλλον, οὐ κτίσμα, ποιητὴς καὶ οὐχὶ ποίημα.

[06872] Ἐκ τῆς πρὸς Θεσσαλονικεῖς α′.

[06873] Ἀφ' ὑμῶν γὰρ, φησὶ, ἐξήχηται ὁ λόγος τοῦ Κυρίου, οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθεν.

[06874] Εἰ οἱ Χριστῷ πιστεύοντες, οὐχ ἑτέρῳ τινὶ τῶν ὄντων, ἀλλ' αὐτῷ πιστεύουσι τῷ Θεῷ, πῶς οὐκ ἔσται Θεὸς ὁ Χριστός;

[06875] Ἐπειδὴ δὲ τοῦτο, οὐκ ἔσται ποίημα.

[06876] ΑΛΛΟ.

[06877] Ὥσπερ τινῶν διαλεγόμενος, Αὐτοὶ, φησὶ, περὶ ἡμῶν ἐπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς, καὶ πῶς ἀπεστρέψατε ἀπὸ τῶν εἰδώλων, δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ.

[06878] Εἰ τὴν ἀρχαίαν διαφυγόντες πλάνην οἱ ἐξ ἐθνῶν διὰ τοῦ πιστεύειν εἰς Χριστὸν, ἐπιστρέφουσι πρὸς Θεὸν, καὶ εἰ Χριστῷ δουλεύοντα διὰ τῆς τῶν εὐαγγελικῶν κηρυγμάτων φυλακῆς δουλεύειν Θεῷ τῷ ἀληθινῷ, πῶς οὐκ ἔστι κατὰ φύσιν Θεὸς ὁ Υἱός;

[06879] Τοῦτο γάρ ἐστι τὸ ἀληθινόν.

[06880] Ὁ δὲ φύσει Θεὸς, πῶς ἔσται καὶ ποίημα;

[06881] ΑΛΛΟ.

[06882] Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοὶ, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονεν·

[06883] ἀλλὰ προπαθόντες καὶ ὑβρισθέντες, καθὼς οἴδατε, ἐν Φιλίπποις, ἐπαῤῥησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν λαλῆσαι πρὸς ὑμᾶς τὸ Εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι.

[06884] Ἰδοὺ πάλιν, ἀναφανδὸν Θεὸν ὀνομάζει Χριστόν·

[06885] αὐτοῦ γὰρ τὸ Εὐαγγέλιον.

[06886] ΑΛΛΟ, τούτῳ ὅμοιον.

[06887] Ἀλλ' ἐγενήθημεν νήπιοι ἐν μέσῳ ὑμῶν·

[06888] ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, οὕτως ἱμειρόμενοι ὑμῶν εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν, οὐ μόνον τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς.

[06889] Καὶ πάλιν εὐθὺς ἐφεξῆς·

[06890] Μνημονεύετε γὰρ, ἀδελφοὶ, τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον·

[06891] νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ Εὐαγγέλιον τοῦ Θεοῦ.

[06892] ΑΛΛΟ.

[06893] Διὰ τοῦτο καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ Θεῷ ἀδιαλείπτως, ὅτι παραλαβόντες λόγον ἀκοῆς παρ' ἡμῶν τοῦ Θεοῦ, ἐδέξασθε οὐ λόγον ἀνθρώπων, ἀλλὰ, καθώς ἐστιν ἀληθῶς, λόγον Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν [75.492] τοῖς πιστεύουσιν.

[06894] Εἰ τοῖς μακαρίοις ἀποστόλοις ὁ λόγος περὶ τῆς εἰς Χριστὸν γέγονε πίστεως, κατὰ τὸ εἰρημένον παρὰ τοῦ Παύλου·

[06895] Οὐ γὰρ ἔκρινά τι εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον, εἶτα λόγον Θεοῦ τὸ περὶ αὐτοῦ καλοῦσι κήρυγμα·

[06896] τίς ἄρα οὕτως θρασὺς ὡς τολμῆσαι ποίημα λέγειν τὸν διὰ γλώττης ἀποστολικῆς Θεὸν ὀνομαζόμενον, καὶ ῥιψοκινδύνως τοῖς διὰ Πνεύματος λαλοῦσιν ἀντιφωνεῖν;

[06897] Ἐκ τῆς πρὸς Θεσσαλονικεῖς β′.

[06898] Πιστὸς δέ ἐστιν ὁ Κύριος ὃς στηρίξει ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ.

[06899] Εἰ πιστός ἐστιν ὁ Σωτὴρ ὅτι πιστοὺς ἀπεργάζεται τοὺς προσιόντας αὐτῷ, στηρίζων διὰ τῆς πίστεως, ἔσται δηλονότι καὶ φύσει Θεὸς, ὅτι θεοὺς ἀποτελεῖ τοὺς ἐλπίζοντας ἐπ' αὐτόν.

[06900] Πιστοῦ μὲν γὰρ τὸ πιστοποιεῖν, Θεοῦ δὲ πάλιν τὸ θεοποιεῖν·

[06901] ὥσπερ ἀμέλει καὶ τοῦ φωτὸς τὸ φωτίζειν ἔργον ἐστίν.

[06902] Ἐκ τῆς πρὸς Ἑβραίους.

[06903] Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησε ἡμῖν ἐν Υἱῷ, ὃν ἔθετο κληρονόμον πάντων, δι' οὗ καὶ ἐποίησε τοὺς αἰῶνας.

[06904] Κρείττονα τῆς διὰ Μωσέως Διαθήκης καὶ τῶν προφητικῶν κηρυγμάτων τὴν εὐαγγελικὴν ἀποδεικνύων παίδευσιν, ἀπὸ τῆς τῶν προσώπων διαφορᾶς ποιεῖται τὴν διάκρισιν.

[06905] Κατὰ μὲν οὖν τὸ ἀρχαῖον διὰ τῶν προφητῶν τοῖς πατράσιν ἀνακεκηρύχθαι τὸν λόγον διισχυρίσατο·

[06906] ἐπ' ἐσχάτων δὲ τῶν καιρῶν δι' Υἱοῦ, τοῦ τοσαύτην ἔχοντος πρὸς ἐκείνους τὴν ὑπεροχὴν, ὡς τοὺς μὲν τὸ οἰκετικὸν οὐχ ὑπερβαίνοντας μέτρον, τὸ, Τάδε λέγει Κύριος, ἀναφωνεῖν, τὸν δὲ τὸ δεσποτικὸν ἀξίωμα φοροῦντα λέγειν ὡς Υἱόν·

[06907] Ἐῤῥέθη τοῖς ἀρχαίοις·

[06908] Οὐ μοιχεύσεις·

[06909] ἐγὼ δὲ λέγω ὑμῖν, καὶ ἑξῆς.

[06910] Πῶς οὖν ἐν κτίσμασιν ὁ κατὰ φύσιν Θεὸς, ἢ πῶς ἐν δούλοις ὁ πάντων Δεσπότης τετάξεται;

[06911] Καὶ εἰ πάντων ἐστὶ κληρονόμος, ἕτερός ἐστι παρὰ πάντα, ὧν καὶ ἔστι κληρονόμος.

[06912] Καὶ εἰ δι' αὐτοῦ πεποίηκε τοὺς αἰῶνας, οὐκ ἂν εἴη τῶν γενητῶν ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, ἐπείπερ οὐδὲν τῶν κτισμάτων προγενεστέραν τοῦ αἰῶνος ἔχει τὴν γένεσιν, ἀλλ' ἐν χρόνῳ πεποίηται.

[06913] Μόνῳ δὲ πρόσεστι τῷ Υἱῷ, τὸ ἀχρόνως εἶναι μετὰ Πατρός.

[06914] ΑΛΛΟ.

[06915] Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας, ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη;

[06916] Ἐνταῦθα σαφῶς ἐκ τῆς τῶν προσώπων διαφορᾶς, ὅσην ἔχει τὴν ὑπεροχὴν τὰ εὐαγγελικὰ κηρύγματα ὡς πρὸς τὰς διὰ τοῦ νόμου σκιὰς, ἀποδεικνύειν πειρᾶται.

[06917] Εἰ γὰρ τοῖς δι' ἀγγέλων, φησὶ, διατεταγμένοις προσῆν οὕτως τὸ ἀξιόπιστον ὡς τοῖς παραβαίνειν ἐπιχειροῦσι τὴν χαλεπω [75.493] τάτην ἐπηρτῆσθαι κόλασιν, πῶς οὐ μᾶλλον τοσοῦτον μειζόνως εἰς τὸ κολάζεσθαι δικαιότερος ὁ τὰ δι' Υἱοῦ παραβαίνων φανεῖται, ὅσον περ ἂν εἴη τῆς εἰς ἀγγέλους τιμῆς ἀξιολογώτερος ὁ Υἱός;

[06918] Εἰ δὲ χρὴ καὶ τὸ ἑκάστου μέτρον συνιδεῖν, οἱ μὲν παρεστῶτες ὑμνοῦσι, λειτουργικά τε εἰσὶ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα·

[06919] ὁ δὲ ὑμνολογεῖται μετὰ Πατρὸς, σύνθρονός τε ὢν καὶ συμβασιλεύων αὐτῷ, καὶ ὑπὸ τῶν ἀγγέλων διακονούμενος, κατὰ τὸ ἐν τοῖς Εὐαγγελίοις·

[06920] Καὶ ἰδοὺ ἄγγελοι προσῆλθον, καὶ διηκόνουν αὐτῷ·

[06921] πῶς οὖν ὁ τοσοῦτον ὑπερέχων, ἐν τοῖς τοσοῦτον ὑποβεβηκόσιν, ὡς ὁ Μονογενὴς εὑρεθήσεται;

[06922] Πῶς δὲ ὁ Πατρὶ συγκαθήμενος, ἐν τοῖς παρεστηκόσι, καὶ ἐν τοῖς διακονοῦσιν ὁ διακονούμενος, ἢ ἐν τοῖς βασιλευομένοις ὁ βασιλικὸν ἀξίωμα περικείμενος;

[06923] ΑΛΛΟ.

[06924] Εἰς Χριστὸν ἀναφέρων ὁ μακάριος Παῦλος τὸ ἐν ὀγδόῳ ψαλμῷ, λέγει·

[06925] Τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν;

[06926] Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου.

[06927] Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ.

[06928] Εἶτα τούτοις συνάπτει·

[06929] Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον.

[06930] Ἆρ' οὖν οὐχὶ βασιλέα καὶ Κύριον, καὶ τὴν θεοπρεπῆ περικεῖσθαι δόξαν ὁμολογήσαιμεν ᾧ τὰ πάντα ὑποτέτακται;

[06931] Πῶς οὖν οὐ Θεός;

[06932] Πῶς δὲ ἐν τοῖς πᾶσιν ὁ ὑπὲρ πάντα, καὶ τοσοῦτον τῶν γενητῶν τὴν φύσιν ὑπερκείμενος, ὡς τὰ μὲν ὑποτετάχθαι, καὶ τῷ τῆς δουλείας ἐνέχεσθαι ζυγῷ, τὸν

δὲ αὖ πάλιν περικεῖσθαι μὲν τῆς κυριότητος τὸ ἐλεύθερον ἀξίωμα, πάντα δὲ ἔχειν ὑπὸ τοὺς πόδας;

[06933] ὡς καὶ αὐτός πού φησι δι' ἑνὸς τῶν ἁγίων προφητῶν·

[06934] Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου.

[06935] ΑΛΛΟ.

[06936] Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ὑμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ Μωσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ.

[06937] Πλείονος γὰρ οὗτος δόξης παρὰ Μωσῆν ἠξίωται, καθόσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν, Πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος·

[06938] ὁ δὲ πάντα κατασκευάσας, Θεός.

[06939] Οὐκ ἐν ἴσῳ μέτρῳ τὸν ποιηθέντα τῷ πεποιηκότι τιμᾶσθαι δεῖν ἐκδιδάσκων, δῆλος ἂν εἴη δήπουθεν οὐκ ἐπιτρέπων ἐν ποιήμασι κατατάττεσθαι τὸν Υἱόν·

[06940] Πλείονα γὰρ, φησὶ, τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.

[06941] Καὶ τίς ὁ τότε τὸ σύμπαν τεχνησάμενος, λεγέτω πάλιν αὐτὸς περὶ τοῦ Υἱοῦ, ὅτι Δι' αὐτοῦ ἐκτίσθη τὰ ὁρατὰ, καὶ τὰ ἀόρατα, εἴτε Θρόνοι, εἴτε Ἀρχαὶ, εἴτε Κυριότητες, τὰ πάντα ἐν αὐτῷ καὶ δι' αὐτοῦ ἐκτίσθη, καὶ αὐτός ἐστι πρὸ πάντων.

[06942] Πῶς οὖν ἐν ποιήμασιν ὁ ποιητής;

[06943] Καὶ εἰ ἐν τοῖς πᾶσι καὶ αὐτὸς ὁ χρόνος ἐστὶν, ὡς ἓν τῶν πάντων, ἔστι δὲ πρὸ πάντων αὐτὸς, δῆλον ὅτι καὶ τοῦ χρόνου πρεσβύτερος ὁ Υἱός.

[06944] Δι' αὐτοῦ γὰρ, φησὶ, [75.496] τοὺς αἰῶνας ἐποίησε.

[06945] Πῶς οὖν ὁ πρὸ αἰώνων ἐν τοῖς ἐν χρόνῳ γενομένοις ἀριθμηθήσεται;

[06946] Ἐπεὶ καὶ πᾶν ὅπερ ἂν εἴη ποιηθὲν ὡς ἐν γενέσει, τοῦτο πάντως ἔσται καὶ ἐν χρόνῳ τοῦ εἶναι ἀρξάμενον, εἴπερ μόνῃ σώζεται τὸ ἀΐδιον, ὡς ἐξαίρετον, τῇ θείᾳ καὶ ἀκηράτῳ φύσει.

[06947] ΑΛΛΟ.

[06948] Καὶ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων, εἰς μαρτύριον τῶν λαληθησομένων.

[06949] Χριστὸς δὲ ὡς Υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς.

[06950] Ἀπὸ τῶν ὀνομάτων καὶ τῶν ἀποτελεσμάτων τῆς ὑπεροχῆς ποιεῖται τὴν σύγκρισιν, καὶ τῆς οὐσιώδους, ἵν' οὕτως εἴπω, ποιότητος τὴν διαφορὰν δεικνύει, ἣν ἔχει Χριστὸς πρὸς Μωσέα, καὶ δι' αὐτοῦ πρὸς πάντα τὰ πεποιημένα.

[06951] Τρέχει γὰρ ὁ λόγος εἰς τουτὶ τὸ συμπέρασμα.

[06952] Εἰ τοίνυν ὁ μὲν ὡς θεράπων, ὁ δὲ ὡς Υἱός·

[06953] καὶ ὁ μὲν ὡς οἰκέτης ἐν τῷ οἴκῳ πιστὸς, ὁ δὲ ὡς κληρονόμος, οὐκ ἐν τῷ οἴκῳ, ἀλλ' ἐπὶ τὸν οἶκον αὐτοῦ·

[06954] πῶς ἔσται λοιπὸν ὁμογενὴς, ὁ τοσοῦτον αὐτοῦ διενεγκών;

[06955] Ὁ δὲ Μωσῇ μήτε ὁμογενὴς ὑπάρχων γενητῆς ὄντι φύσεως, μήτε μὴν ἄλλως ὁμόδουλος, οὐκ ἂν ἑτέρῳ τινὶ κατὰ τὸν τῆς φύσεως λόγον ὁμοφυὴς συντάττοιτο.

[06956] Πρὸς γὰρ τὰ πεποιημένα, καὶ οὐ πρὸς Μωσέα πάντως ἡ σύγκρισις, εἰ καὶ τὸ Μωσέως πρόσωπον ἐπὶ τοῦ παρόντος ἐξετάζεται.

[06957] ΑΛΛΟ, ἐκ τοῦ αὐτοῦ σχήματος.

[06958] Εἰ πᾶν τὸ εἰς γένεσιν ἐναχθὲν, δοῦλόν ἐστι τοῦ πεποιηκότος Θεοῦ, κατὰ τὸ ἐν Ψαλμοῖς μελῳδούμενον, ὅτι Τὰ σύμπαντα δοῦλα σὰ, ἐλεύθεροι δέ εἰσιν οἱ υἱοὶ, κατὰ τὴν ἀψευδῆ τοῦ Σωτῆρος φωνὴν, πῶς ἂν ἐνδέχοιτο τῆς αὐτῆς εἶναι φύσεως τοῖς διὰ τὸ πεποιῆσθαι δουλεύουσι τὸν διὰ τὴν ἐκ Πατρὸς ἄῤῥητον γέννησιν ἐλεύθερον Υἱόν;

[06959] ΑΛΛΟ, ἐκ τοῦ αὐτοῦ, εἰς τὸ, Οὗ οἶκός ἐσμεν ἡμεῖς.

[06960] Εἰ ὁ Θεός ἐστιν ὁ ἐν προφήταις εἰπὼν, ὅτι Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοὶ ἔσονταί μου λαός·

[06961] πῶς νῦν ἡμεῖς οἶκός ἐσμεν τοῦ Υἱοῦ, εἴπερ μὴ ἔστι φύσει Θεός;

[06962] Ἀλλ' εὐχόμεθα, καθά φησιν ὁ Παῦλος, κατοικῆσαι τὸν Χριστὸν εἰς τὸν ἔσω ἄνθρωπον, καὶ οἶκος τοῦ Υἱοῦ ἐσμέν τε καὶ χρηματίζομεν.

[06963] Θεὸς ἄρα ὁ Χριστός.

[06964] Εἰ δὲ τοῦτο, οὐ ποίημα.

[06965] ΑΛΛΟ.

[06966] Βλέπετε, ἀδελφοὶ, μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος.

[06967] Εἰς Χριστὸν ἡ πίστις, καὶ ἐπ' αὐτῇ τοῖς ἁγίοις τὰ γέρα, καὶ ἡ ἀπέραντος χρεωστεῖται ζωή.

[06968] Τοῦτο γὰρ ἐκδιδάσκων ἡμᾶς αὐτός πού φησιν·

[06969] Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον.

[06970] Εἴπερ οὖν ὁ τὴν πίστιν εἰς αὐτὸν ἀρνούμενος, καὶ καρδίαν ἀναλαβὼν πονηρὰν, Θεοῦ ζῶντος ἀποστατεῖ, πῶς οὐ κατὰ φύσιν Θεὸς ὁ Υἱός;

[06971] [75.497] Πῶς δὲ κτίσμα ἢ ποίημα, τοῦτο ὑπάρχων, ὅπερ ἂν εἴη καὶ ὁ Πατὴρ οὗ καὶ ἔστιν Υἱὸς, πάντα φέρων τὰ τοῦ γεννήσαντος ἴδια καὶ ἐξαίρετα;

[06972] Ζῶν γοῦν Θεὸς ὁ Πατὴρ, ζῶν ὁμοίως καὶ ὁ Υἱός.

[06973] ΑΛΛΟ.

[06974] Ζῶν γὰρ ὁ Λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμοῦ τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας.

[06975] Καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ.

[06976] Ταῦτα δὴ πάλιν ἔξεστιν ὁρᾷν τὰ τοῦ Πατρὸς ἴδια φέροντα τὸν Υἱὸν, καὶ τοιούτοις ἐπαγλαϊζόμενον ἀγαθοῖς, οἷσπερ ἂν φαίνοιτο καὶ ὁ γεννήσας αὐτόν.

[06977] Τοῦ Θεοῦ καὶ Πατρὸς τοιγαροῦν φέροντος ἑτοίμως πάντα, καὶ πᾶσιν ἀκωλύτως ἐνατενίζοντος, εἰδότος ἔτι καρδίας καὶ νεφροὺς, καὶ διὰ τοῦτο λέγοντος, ποτὲ μέν·

[06978] Τίς οὗτος ὁ κρύπτων με βουλήν;

[06979] ποτὲ δέ·

[06980] Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐχὶ Θεὸς πόῤῥωθεν.

[06981] Μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι;

[06982] ταῦτα προσεῖναι καὶ τῷ Υἱῷ, δι' ὧν ἔφησεν ὁ Παῦλος ἐπιμαρτυρεῖ·

[06983] εἶτα ζῶντος καὶ τοῦ Πατρὸς διὰ τὸ εἶναι ζωὴν, ζῶντα καὶ τὸν Λόγον ἀποκαλεῖ, διὰ τὸ εἶναι καὶ αὐτὸν κατὰ φύσιν ζωήν.

[06984] Πάντων οὖν ὅσα δίκαια πρόσεστι τῷ Πατρὶ κατὰ φύσιν καὶ ἐν Υἱῷ κειμένων φυσικῶς τε καὶ οὐσιωδῶς, τίς οὐκ ἔσται, ποίημα λέγων αὐτὸν, τοῖς ἀφύκτοις τῆς δυσφημίας ἐγκλήμασιν ἔνοχος;

[06985] Πῶς γὰρ οὐκ εἶεν ἀλλήλοις ὁμοφυῆ τὰ τῆς αὐτῆς ὄντα φύσεώς τε καὶ οὐσιώδους ἐνεργείας;

[06986] ΑΛΛΟ.

[06987] Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὸ βλεπόμενον γεγονέναι.

[06988] Εἰ τῶν ποιημάτων οὐδὲν προαιώνιον ἔχει τὴν ὕπαρξιν, τῷ δὲ θείῳ ῥήματι, τουτέστι, τῷ Θεῷ Λόγῳ καὶ Υἱῷ καὶ αὐτοὺς κατηρτίσθαι τοὺς αἰῶνας πιστεύομεν, ἀνάγκη προϋπάρχειν αὐτὸν καὶ τῶν αἰώνων ὁμολογεῖν.

[06989] Ὢν γὰρ καὶ ὑπάρχων πρότερον αὐτὸς, τοὺς οὐκ ὄντας αἰῶνάς ποτε πρὸς τὸ εἶναι παράγει.

[06990] Πῶς οὖν ἐν ποιήμασιν ὁ ποιητής;

[06991] Πῶς δὲ πάλιν ἐν τοῖς ὑπὸ χρόνον ὁ χρόνων ἐργάτης, καὶ τὴν μόνην πρέπουσαν τῷ Θεῷ καὶ Πατρὶ φέρων ἀϊδιότητα;

[06992] ΑΛΛΟ.

[06993] Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε·

[06994] τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

[06995] Ὅρα πάλιν ὅπως ἐνθάδε Θεὸν ὁ Παῦλος τὸν Υἱὸν ἀποκαλεῖ.

[06996] Εἰ γὰρ αὐτός ἐστιν ὁ σύμπαν ἄγων εἰς κρίσιν τὸ ποίημα, καὶ ἀποδιδοὺς ἑκάστῳ κατὰ ἔργα αὐτοῦ.

[06997] διά τοι τοῦτο καὶ τοὺς εὐποιοῦντας τὸν πλησίον ἀποδεχόμενος, καὶ λέγων·

[06998] Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.

[06999] Ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν·

[07000] ἐδίψησα, καὶ ἐποτίσατέ με·

[07001] πῶς οὐκ ἔσται Θεὸς, οὕτως ἀποκεκλημένος διὰ τῆς ἀψευδοῦς τῶν ἁγίων φωνῆς, καὶ τὰς τῶν εὖ [75.500] ποιούντων θυσίας ἀποδεχόμενος, ἀποδιδούς τε ἑκάστῳ τὴν αὐτῷ πρέπουσαν ἀμοιβὴν, καὶ εἰς τὴν τῶν οὐρανῶν βασιλείαν εἰσπέμπων τὸν τῶν ἁγίων χορόν·

[07002] Ἐκ τῆς πρὸς Τιμόθεον α'.

[07003] Παῦλος ἀπόστολος Ἰησοῦ κατ' ἐπιταγὴν Θεοῦ Σωτῆρος ἡμῶν, καὶ Χριστοῦ Ἰησοῦ τῆς ἐλπίδος ἡμῶν, Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει.

[07004] Ἰδοὺ κατ' ἐπιταγὴν Θεοῦ τοῦ Σωτῆρος ἡμῶν ἀναδεδέχθαι τὴν τῆς ἀποστολῆς λειτουργίαν ὁ Παῦλος διισχυρίσατο.

[07005] Ἀλλ' ἴδωμεν ἐξετάζοντες ἀπὸ τῆς θείας Γραφῆς, εἰ μὴ Χριστός ἐστιν ὁ ἐπιτάξας αὐτῷ.

[07006] Ὅτε τοίνυν πορθήσων, ὡς γέγραπται, τοὺς μαθητὰς ἐκ τῶν Ἱεροσολύμων εἰς Δαμασκὸν ἠπείγετο, κατὰ μέσην ὄντι τὴν ὁδὸν, ἐπιφαίνεται Χριστὸς λέγων·

[07007] Σαοὺλ, Σαοὺλ, τί με διώκεις;

[07008] Παύλου δὲ ἀναπυνθανομένου καὶ λέγοντος·

[07009] Τίς εἶ, Κύριε;

[07010] Ἐγὼ, φησὶν, εἰμὶ Ἰησοῦς, ὃν σὺ διώκεις.

[07011] Ἀλλὰ ἀνάστηθι, καὶ εἴσελθε εἰς τὴν πόλιν, καὶ λαληθήσεταί σοι ὅ τί σε δεῖ ποιεῖν.

[07012] Τί οὖν ἄρα πρὸς αὐτὸν ἐλαλήθη πάλιν, ἐν ταῖς Πράξεσιν τῶν ἀποστόλων εὑρίσκομεν, ὅτι Νηστευόντων δὲ αὐτῶν καὶ λειτουργούντων τῷ Κυρίῳ, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον·

[07013] Ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ τὸν Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς.

[07014] Εἶτα πάλιν γέγραπται περὶ αὐτῶν, ὅτι Οἱ μὲν οὖν πεμφθέντες διὰ τοῦ Πνεύματος τοῦ ἁγίου, ἀπῆλθον εἰς Σελεύκειαν, ἐκεῖθεν δὲ ἀπέπλευσαν εἰς Κύπρον.

[07015] Καὶ γενόμενοι ἐν Σαλαμῖνι, κατήγγειλαν τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων.

[07016] Ὁρᾷς ὅπως κατ' ἐπιταγὴν τοῦ Σωτῆρος ἡμῶν διὰ τοῦ ἁγίου Πνεύματος κηρύξων ἀποστέλλεται;

[07017] Ὅτε τοίνυν καὶ Θεὸν αὐτὸν, καὶ Σωτῆρα, καὶ ἐλπίδα ἡμῶν ἀποκαλεῖ, πῶς οὐ λίαν ἀσεβὲς τὸ ποίημα λέγειν τὸν Υἱόν;

[07018] Εὑρεθησόμεθα γὰρ, ἂν οὕτως ἔχῃ, καὶ ποιήματι λατρεύοντες, καὶ διὰ ποιήματος ἀνασεσωσμένοι, καὶ εἰς ποίημα τὴν ἐλπίδα ἔχοντες, καὶ τὸ πλέον οὐδὲν ἡμῖν παρὰ τοὺς τῇ κτίσει λατρεύοντας.

[07019] ΑΛΛΟ.

[07020] Δικαίῳ νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις.

[07021] Εἶτα τούτοις ἕτερα προσαριθμήσας κακὰ, τελευταῖον ἐνάγει·

[07022] Καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται, κατὰ τὸ Εὐαγγέλιον τῆς δόξης τοῦ μακαρίου Θεοῦ, ὃ ἐπιστεύθην ἐγώ.

[07023] Τίνος οὖν ὁ Παῦλος ἐπιστεύθη τὸ Εὐαγγέλιον;

[07024] Τίνος δὲ κήρυξ ἐστὶ καὶ ἀπόστολος, εἰ μὴ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ;

[07025] ὃν δὴ μακάριον ὀνομάζων Θεὸν, ποιητὸν εἶναι λέγειν οὐκ ἐπιτρέπει τισί.

[07026] Πῶς γὰρ ἔτι Θεὸς τὸ πεποιημένον καὶ πρόσφατον;

[07027] Εἰ γὰρ πᾶν τὸ κτιζόμενον καὶ γενητὴν ἔχον τὴν οὐσίαν, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι καλεῖται, πῶς οὐ πρόσφατον;

[07028] Τὸ δὲ τοιοῦτον, οὐ Θεός·

[07029] Οὐ γὰρ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος, φησὶν ἡ θεία Γραφή.

[07030] Ἐπειδὴ Θεὸς ὁ Υἱὸς, οὐ πρόσφατος ἄρα.

[07031] Εἰ δὲ τοῦτο, οὐ ποίημα.

[07032] Ὅτι δὲ τὸ Εὐαγγέλιον τοῦ Σωτῆρος ἡμῶν ὁ μακάριος Παῦλος ἐπιστεύθη παρ' αὐτοῦ, δηλοῖ πάλιν αὐτὸς ἐν [75.501] τοῖς ἐφεξῆς ἐπιλέγων·

[07033] Χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ, ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν, τὸ πρότερον ὄντα βλάσφημον, καὶ διώκτην καὶ ὑβριστήν.

[07034] Ἀλλὰ ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ.

[07035] ΑΛΛΟ.

[07036] Πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ.

[07037] Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Χριστὸς τὴν ἅπασαν μακροθυμίαν, εἰς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον.

[07038] Εἰ διὰ πίστεως τῆς εἰς Χριστὸν σωζόμεθα, καὶ τῆς αἰωνίου μετίσχομεν ζωῆς, τὸν τοῦ θανάτου ζυγὸν ἀποσειόμενοι, πῶς οὐ Θεὸς κατὰ φύσιν ὁ Υἱὸς, ὁ καὶ ζωῆς παρεκτικὸς, ὡς αὐτὸς κατὰ φύσιν ὑπάρχων ζωὴ, καὶ διασώζων ὡς ὁ Θεὸς, ὁ μόνος τοῦτο ποιεῖν δυνάμενος, καὶ διὰ τοῦτο λέγων·

[07039] Ἐγώ εἰμι ὁ Θεὸς ὁ σώζων σε, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ;

[07040] Καὶ γὰρ ὄντως τε καὶ ἀληθῶς οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς, ὁ πάλαι μὲν σώζειν διὰ τῶν ἁγίων προφητῶν ὑπισχνούμενος, κατὰ δὲ τὸν τῆς ἐπιδημίας καιρὸν ἑαυτὸν ἤδη παρόντα δεικνύων, καὶ διὰ τοῦτο βοῶν·

[07041] Αὐτὸς ὁ λαλῶν πάρειμι.

[07042] Ὡς ὡραῖοι ἐπὶ τῶν ὀρέων, ὡς πόδες εὐαγγελιζομένων ἀκοὴν εἰρήνης! Ἐλθὼν γὰρ εὐηγγελίσατο εἰρήνην ἡμῖν τοῖς μακρὰν, καὶ εἰρήνην τοῖς ἐγγὺς, κατὰ τὴν τοῦ Παύλου φωνήν.

[07043] ΑΛΛΟ.

[07044] Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ Θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας.

[07045] Ἀμήν.

[07046] Εἰ βασιλεὺς τῶν αἰώνων ἐστὶν ὁ Υἱὸς, ὡς ἀεί τε καὶ ἀτελευτήτως κρατῶν, αὐτοὺς δὲ τοὺς αἰῶνας πεποιηκὼς, αὐτὸν ἄρα καὶ Θεὸν ἄφθαρτόν τε καὶ ἀόρατον ἀποκαλεῖ.

[07047] Ὁ δὲ τῆς τοῦ Πατρὸς οὐσίας ἔχων ἐν ἑαυτῷ φυσικῶς τε καὶ οὐσιωδῶς τὰ ἐξαίρετα, πῶς ἂν εἴη πρὸς αὐτὸν ἑτεροούσιος, καὶ οὐχὶ μᾶλλον ὁμοφυής τε καὶ ἐξ αὐτοῦ, οὐδενὸς ἐπιτρέποντος λόγου προσεῖναι τοῖς κτίσμασιν φυσικῶς τὰ τῆς θεότητος ἴδια;

[07048] Ὅτι δὲ βασιλεὺς τῶν αἰώνων ἐστὶν ὁ Υἱὸς, καὶ αὐτὸς ἡμῖν ὁ ἀρχάγγελος Γαβριὴλ ἐπιμαρτυρήσει λέγων περὶ αὐτοῦ πρὸς τὴν ἁγίαν Παρθένον·

[07049] Οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται.

[07050] Καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.

[07051] ΑΛΛΟ.

[07052] Τὰς ὑπὲρ ἁπάντων ποιεῖσθαι προσευχὰς, ὑπέρ τε βασιλέων ὄντων ἐν ὑπεροχῇ ἐπιτάξας, ὁ Παῦλος τῷ οἰκείῳ μαθητῇ χρησίμως ἐπάγει·

[07053] Τοῦτο καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

[07054] Οὐκοῦν εἴπερ ἐστὶν ἁπάντων Σωτὴρ ὁ Θεὸς, σωζόμεθα δὲ τὴν ἀλήθειαν ἐπιγινώσκον [75.504] τες, ἀλήθεια δὲ ὁ Χριστὸς, αὐτὸς ἄρα ἐστὶν ὁ Θεὸς καὶ Σωτήρ.

[07055] Εἰ δὲ τοῦτο, πῶς οὐ φύσει Θεὸς ὁ Υἱός;

[07056] Πῶς δὲ καὶ ὁ φύσει Υἱὸς ἐν ποιήμασι ἐξαριθμοῖτο;

[07057] Ἄτοπον γὰρ ὁμοῦ τε καὶ δύσφημον.

[07058] Οὐκοῦν οὐ ποίημα ὁ Υἱὸς, Θεὸς δὲ μᾶλλον καὶ Σωτὴρ, ἐκ Σωτῆρος καὶ Θεοῦ Πατρός.

[07059] ΑΛΛΟ.

[07060] Εἷς γὰρ Θεὸς, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων.

[07061] Εἰ μεσίτης ἐστὶ Θεοῦ καὶ ἀνθρώπων Ἰησοῦς ὁ Χριστὸς, οὐ φύσει καὶ οὐσιωδῶς Θεῷ τε καὶ ἀνθρώποις συναπτόμενος, διαλλάττων δὲ μόνον, καὶ εἰς φιλίαν εἰσάγων τὰ τῆς πρὸς ἄλληλα κοινωνίας ἀποστατήσαντα, τουτέστιν ἄνθρωπον καὶ Θεὸν, πῶς ἕνα φησὶν ὁ Παῦλος αὐτόν;

[07062] ἐπεὶ καὶ ἕτεροι τῶν ἁγίων πολλοὶ τῆς τοιαύτης ἠξίωνται λειτουργίας, καὶ αὐτὸς δὴ πρῶτος, ἀναβοῶν·

[07063] Δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ Γέγονε μεσίτης καὶ ὁ μακάριος Μωσῆς διακονήσας τοῖς υἱοῖς Ἰσραὴλ τὸν παρὰ Θεοῦ νόμον.

[07064] Μεσίτης ὑπῆρχε καὶ ὁ πάνσοφος Ἱερεμίας λέγων πρὸς Θεὸν ὡς περὶ τῶν ἐκ γένους Ἰσραήλ·

[07065] Μνήσθητι ἑστηκότος μου κατὰ πρόσωπόν σου, τοῦ λαλῆσαι ὑπὲρ αὐτῶν.

[07066] Ἀλλὰ καὶ ἕκαστος τῶν ἁγίων προφητῶν τοῦτο πεποιηκὼς εὑρίσκεται.

[07067] Πῶς οὖν μεσίτης εἷς ὁ Χριστὸς, εἰ μή τι ξένον τὸ ἐπ' αὐτοῦ;

[07068] Ἀλλ' ἔστιν εἷς, ὡς ὁ Παῦλος ἀληθεύων φησί.

[07069] Ξένως ἄρα καὶ οὐχ ὁμοίως τοῖς ἄλλοις, καὶ ὅπως εἰπεῖν ἀναγκαῖον.

[07070] Οὐκοῦν ἐπειδήπερ τὸ δύο τινῶν κατὰ μέσου κείμενον, ἀμφοτέρων δηλαδὴ τοῖς ἰδίοις ἄκροις ἐφάπτεται, συνέχων εἰς ἑνότητα τὰ διῃρημένα, μεσίτης δὲ Θεοῦ καὶ ἀνθρώπων ἐστὶν ὁ Χριστὸς, πρόδηλον ὅτι Θεοῦ μὲν ὡς Θεὸς, ἀνθρώπων δὲ ὡς ἄνθρωπος ἅπτεται φυσικῶς.

[07071] Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, διὰ τῆς πρὸς ἡμᾶς ὁμοιώσεως εἰς ἑνότητα καὶ κοινωνίαν τῆς θείας οὐσίας τὴν ἀνθρώπου φύσιν ἀναδεσμῶν.

[07072] Ἐπεὶ πῶς ἂν ἑτέρως εὑρισκοίμεθα θείας φύσεως κοινωνοί;

[07073] Οὐκοῦν εἴπερ ἐστὶ φύσει Θεὸς, τῷ κατὰ φύσιν Θεῷ καὶ Πατρὶ συμφυής τε καὶ ὁμοούσιος, πῶς ἂν εἴη κτίσμα ἢ ποίημα, πολλὴν ἔχοντος τοῦ λόγου τὴν ἀτοπίαν;

[07074] ΑΛΛΟ.

[07075] Πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος·

[07076] εἰς τοῦτο γὰρ κοπιῶμεν, καὶ ἀγωνιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστι Σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν.

[07077] Ὁ μακάριος Ψαλμῳδὸς διὰ Πνεύματος ἁγίου τὰ ἐσόμενα ὁρῶν, καὶ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας τὴν χάριν ἐκδιδασκόμενος, ἀνεφώνει βοῶν ὡς πρὸς αὐτόν·

[07078] Ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν.

[07079] Ὅτι τοίνυν ἡ πάντων ἐλπίς ἐστιν ὁ Χριστὸς, καὶ ἐπ' αὐτῷ πάντες ἠλπίκαμεν οἱ πιστεύοντες, Θεὸν δὲ ζῶντα ὁ Παῦλος αὐτὸν ἀποκαλεῖ, τοῦτο κατὰ φύσιν ὄντα γινώσκων, πῶς ἔσται τῶν γενητῶν εἷς τις καὶ αὐτὸς, [75.505] καὶ οὐχὶ μᾶλλον Υἱὸς ζῶν ἐκ ζῶντος Πατρὸς, διαβαινούσης εἰς αὐτὸν φυσικῶς τῆς τοῦ γεννήσαντος ἰδιότητος.

[07080] ΑΛΛΟ.

[07081] Παραγγέλλω σοι, ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωογονοῦντος τὰ πάντα, καὶ Χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν, τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον.

[07082] Αὐτὸς ἄρα τὴν ἑαυτοῦ παρουσίαν καιροῖς ἰδίοις δείξει Χριστὸς, ἢ μᾶλλον ὁ τούτου Πατήρ.

[07083] Εἰ μὲν οὖν αὐτὸν εἶναί φαμεν τὸν ἐπιδεικνύντα Χριστὸν, πῶς ὁ τοσούτοις ἀξιώμασι φυσικοῖς εἰς ἀκρότητα δόξης μαρτυρούμενος γενητὸς εἶναι νομισθήσεται;

[07084] Φθάσει γὰρ οὕτω δυνάμει καὶ ἐφ' ἕκαστον τῶν γενητῶν, ἃ μόνον πρέπει τῇ θείᾳ φύσει.

[07085] Καὶ οὐδὲν ἔσται λοιπὸν ἐν αὐτῇ τὸ παράδοξον, εἴπερ ὅλως καὶ τοῖς γενητοῖς προσεῖναι ταῦτα δύναται φυσικῶς, ἅπερ ἂν αὐτῆς ὑπάρχει καὶ μόνης ἴδια.

[07086] Ἀλλ' οὐδὲν κοινὸν, εἰς θεότητος λόγον, τοῖς πεποιημένοις πρὸς τὸν ποιητὴν, πάντα δὲ πρόσεστι τῷ Κυρίῳ τὰ τοῦ Πατρὸς ἴδια, καὶ ἡ τῆς θεότητος φύσις ἐν αὐτῷ διαγράφεται, οὐκ ἄρα τῶν ποιημάτων εἷς ἔσται.

[07087] Εἰ δὲ ὁ Πατὴρ ἐπιδείξει τοῦ Υἱοῦ τὴν παρουσίαν, καὶ αὐτῷ μᾶλλον τῶν θεοπρεπῶν ἀξιωμάτων τὸν κατάλογον περιτίθησι τῆς ἀληθείας ὁ κήρυξ, πῶς μόνου τοῦ Πατρὸς ἀθανασίαν ἔχοντος, ἔχει ταύτην ὁ Υἱός;

[07088] Ἐγὼ γάρ εἰμι, φησὶν, ἡ ζωή.

[07089] Ἀλλ' ἔστι δηλονότι τῆς τοῦ Πατρὸς οὐσίας οὐκ ἀλλότριος ὢν, οὐδὲ εἰς ἔκφυλόν τινα καὶ ξένην ἐκβεβηκὼς ἰδιότητα, καθάπερ τὰ πεποιημένα.

[07090] Μένει δὲ καὶ σώζεται καὶ ἔστιν εἰκὼν τοῦ γεννήσαντος ἀπαράλλακτος, καὶ διὰ τοῦτο διαφεύγων τὸ εἶναι γενητὸς, Θεὸς δὲ μᾶλλον ὡς ἐκ Θεοῦ, καὶ φῶς ἐκ φωτὸς, καὶ ζωὴ πάλιν ἐκ ζωῆς.

[07091] Οὐκ ἄρα ποίημα ἢ κτίσμα ἐστὶ κατὰ τάς τινων ἀθυρογλωσσίας.

[07092] Ἐκ τῆς πρὸς Τιμόθεον β′.

[07093] Μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν, μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ, ἀλλὰ συγκακοπάθησον τῷ Εὐαγγελίῳ κατὰ δύναμιν Θεοῦ τοῦ σώσαντος ἡμᾶς καὶ καλέσαντος κλήσει ἁγίᾳ.

[07094] Ἰδοὺ πάλιν ἀναφανδὸν καὶ Θεὸν καὶ Σωτῆρα τὸν Υἱὸν ὀνομάζει.

[07095] Αὐτὸς γάρ ἐστιν ὁ καλῶν ἡμᾶς, διὰ τοῦ λέγειν·

[07096] Δεῦτε πάντες πρός με, οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

[07097] Πῶς οὖν ἔσται γενητὸς, εἴπερ ὄντως ἐστὶ καὶ Θεὸς καὶ Σωτήρ;

[07098] Οὐ γὰρ ἂν διὰ κτίσματος, ἀλλὰ διὰ μόνου Θεοῦ σεσώσμεθα.

[07099] Ἐκ τῆς πρὸς Τῖτον.

[07100] Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως, καὶ δικαίως, καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, [75.508] προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

[07101] Εἰ πάντων ἐλπίς ἐστιν ὁ Χριστὸς, ἔστι δὲ καὶ Θεὸς μέγας καὶ Σωτὴρ, πῶς οὐ λίαν εἰσὶ δυσσεβεῖς καὶ παράφρονες οἱ ποίημα λέγοντες τὸν Υἱὸν, καὶ ἐν δούλοις κατατάττειν τολμῶντες τὸν ᾧ πάντα πρόσεστιν, ὅσα μόνῃ πρέπει τῇ θείᾳ φύσει, καὶ δι' ὧν ὄντως τοῦτο οὖσα γινώσκεται;

[07102] ΑΛΛΟ.

[07103] Εἰ, κατὰ τὴν τοῦ Προφήτου φωνὴν, εὐλογημένος ὁ ἄνθρωπος ὃς πέποιθεν ἐπὶ τῷ Κυρίῳ, καὶ ἔστι Κύριος ἐλπὶς αὐτοῦ, κρατήσει πάντως καὶ ἐναντίον·

[07104] ἔξω γὰρ ἁπάσης εὐλογίας κείσεταί τις οὐκ ἔχων ἐπὶ Θεὸν τὴν ἐλπίδα.

[07105] Εἴπερ οὖν κτίσμα καὶ ποίημά ἐστιν ὁ Υἱὸς, δοῦλος ἄρα ἐστὶ, καὶ οὐ φύσει Κύριος.

[07106] Πῶς οὖν, κατὰ τὸν ἅγιον Ψαλμῳδὸν, Εὐλογημένοι ἡμεῖς τῷ Κυρίῳ, οἱ τὴν ἐλπίδα ἔχοντες εἰς αὐτόν;

[07107] Πῶς δὲ καὶ αὐτὸς ἀληθεύσει λέγων ὁ Παῦλος·

[07108] Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ;

[07109] Κύριος ἄρα κατὰ φύσιν ἐστὶν ὁ Υἱός.

[07110] Εἰ δὲ τοῦτο, οὐ ποίημα.

[07111] Κατὰ γὰρ τῶν ποιημάτων λέγεται·

[07112] Ὅτι τὰ σύμπαντα δοῦλα σά.

[07113] Ἐκ τῶν Πράξεων.

[07114] Διῆλθον δὲ τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ ἁγίου Πνεύματος λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ.

[07115] Ἐλθόντες δὲ κατὰ τὴν Μυσίαν, πειράζοντες εἰς τὴν Βιθυνίαν πορευθῆναι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ Πνεῦμα Ἰησοῦ.

[07116] Ἰδοὺ πάλιν ἐνθάδε σαφῶς τὸ Πνεῦμα τὸ ἅγιον, Πνεῦμα κέκληκεν Ἰησοῦ.

[07117] Ὅτε τοίνυν τὸ τοῦ Πατρὸς Πνεῦμα, καὶ Υἱοῦ Πνεῦμά ἐστι, πῶς οὐκ ἔσται κατὰ φύσιν Θεὸς ὁ τοῦ κατὰ φύσιν ὄντος Θεοῦ καὶ Πατρὸς ἔχων οὐσιωδῶς τὰ ἴδια καὶ ἐξαίρετα;

[07118] Ἄλλως τε κἀκεῖνο πρὸς τῷδε θεωρητέον.

[07119] Εἰ μὲν γὰρ ἀγγέλου τυχὸν ἢ ἑτέρας τινὸς λογικῆς δυνάμεως εἴρηταί ποτε Πνεῦμα τὸ ἐν Θεῷ φυσικῶς ἅγιον Πνεῦμα, τετάχθω μετὰ τῶν ποιημάτων καὶ ὁ Υἱὸς, οὐδὲν ἔχων ὡς πρὸς ταῦτα τὸ πλέον αὐτοῦ, κἂν Πνεῦμα αὐτοῦ λέγηται τὸ ἅγιον Πνεῦμα.

[07120] Εἰ δὲ ἐπὶ μόνου φέρεται τοῦ κατὰ φύσιν ὄντος Υἱοῦ τὸ τοιοῦτον, πῶς ἂν εἴη τοῖς ἄλλοις ὁμογενὴς, ὁ τοσοῦτον αὐτῶν ὑπερκείμενος, ὡς μόνον ἔχειν αὐτὸν τῆς πατρῴας φύσεως τὸ θεοπρεπὲς ἀξίωμα, καὶ κοινοποιεῖσθαι τὰ τῆς οὐσίας τῷ ἰδίῳ γεννήτορι;

[07121] ΑΛΛΟ.

[07122] Κατὰ δὲ τὸ μεσονύκτιον Παῦλός τε καὶ Σύλας προσευχόμενοι ὕμνουν τὸν Θεόν·

[07123] ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι.

[07124] Ἄφνω δὲ σεισμὸς μέγας ἐγένετο, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου·

[07125] ἀνεῴχθησαν δὲ αἱ θύραι πᾶσαι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη.

[07126] Εἶτα διὰ μέσον θεὶς τὸν ἐπὶ τούτῳ τοῦ δεσμοφύλακος θόρυβον, καὶ τὰς τοῦ Παύλου φωνὰς, πάλιν ἐπιφέρει·

[07127] Ἔντρομος δὲ γενόμενος (ὁ δεσμοφύλαξ δηλονότι), προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σύλᾳ.

[07128] Καὶ προαγαγὼν αὐτοὺς εἰς τὸ ἔξω, ἔφη·

[07129] Κύριοι, τί [75.509] με δεῖ ποιεῖν, ἵνα σωθῶ;

[07130] Οἱ δὲ εἶπον·

[07131] Πίστευσον εἰς τὸν Κύριον Ἰησοῦν, καὶ σωθήσῃ σὺ, καὶ ὁ οἶκός σου.

[07132] Καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ Κυρίου, σὺν πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ.

[07133] Καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς, ἔλουσεν ἀπὸ τῶν πληγῶν, καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα.

[07134] Ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ, παρέθηκε τράπεζαν, καὶ ἠγαλλιάσατο πανοικεὶ πεπιστευκὼς τῷ Θεῷ.

[07135] Ὁ πιστεύσας εἰς τὸν Κύριον Ἰησοῦν, κατὰ τὴν τῶν ἀποστόλων παραίνεσιν, ὡς Θεῷ πιστεύσας ἠγαλλιάσατο πανοικεὶ πεπιστευκώς.

[07136] Ἀλλ' εἴπερ ἦν ποίημα καὶ κτίσμα ὁ Υἱὸς, κατὰ τὸν δυσσεβῆ τῶν αἱρετικῶν λόγον, διατί μὴ πρὸς γνῶσιν ἀληθῆ χειραγωγεῖται παρὰ τῶν ἀποστόλων ὁ δεσμοφύλαξ, ἀκούων·

[07137] Οὐκ εἰς Θεὸν, ὦ οὗτος, ἐπίστευσας, ἀλλ' εἰς ἕν τι τῶν ποιημάτων καὶ γενητῶν;

[07138] Νυνὶ δὲ, τοῦτο μὲν εἰπόντες οὐ φαίνονται, ἦν δὲ μᾶλλον αὐτοῖς καὶ λίαν ἀποδεκτὸς ὡς ἄριστα διατιθέμενος, καὶ ἀληθῆ περὶ τῆς πίστεως τὴν διάληψιν ἔχων.

[07139] Καὶ πῶς οὐκ ἤδη παντί τῳ σαφὲς, ὅτι Θεὸς κατὰ φύσιν ὁ Υἱός;

[07140] Ὁ δὲ τοῦτο ὑπάρχων, πῶς ἂν εἴη κτίσμα καὶ ποίημα;

[07141] Ἐκ τῆς Ἰακώβου Ἐπιστολῆς.

[07142] Ἰάκωβος, Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος, ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ, χαίρειν.

[07143] Θεὸν ἐνθάδε καὶ Κύριον ἀποκαλεῖ τὸν Ἰησοῦν Χριστὸν, τοῦτο κατὰ φύσιν ὄντα γινώσκων τῆς ἀληθείας ὁ κῆρυξ.

[07144] Καὶ πῶς εἰς τοσοῦτον ἀποθρασύνεται τῶν ἑτεροδοξούντων ὁ νοῦς, ὡς τὸν οὕτως ἔχοντα φύσεως Υἱὸν, γενητὸν ἢ ποιητὸν ὑπολαμβάνειν;

[07145] Οὐ γὰρ ἔξω θήσουσι ψόγου τὸν Πατέρα καὶ Θεὸν ὄντα φύσει καὶ Κύριον, ὥσπερ οὖν καὶ ἔστιν ὁ Υἱὸς, εἴπερ ὅλως ἐνδέχεται γενητῆς εἶναι φύσεως τὸν ὄντως Θεόν.

[07146] Ἀλλὰ τοῦτο ἄτοπον, καὶ γυμνὴν ἔχων φαίνεται τὴν εὐσέβειαν.

[07147] Οὐκοῦν οὐ κτίσμα ὁ Υἱὸς, Θεὸς δὲ μᾶλλον οὐσιωδῶς καὶ Κύριος, ὥσπερ ὁ ἐξ οὗπερ ἐτέχθη Πατήρ.

[07148] ΑΛΛΟ.

[07149] Ἀδελφοὶ, μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς δόξης.

[07150] Ἐν τοῖς ἁγίοις προφήταις ὁ Θεός πού φησι·

[07151] Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω.

[07152] Πῶς οὖν ἔσται τῆς δόξης Κύριος ὁ Υἱὸς, εἴπερ ὄντως ἀλλογενής τέ ἐστι, καὶ τῆς τοῦ Πατρὸς οὐσίας ἀλλότριος;

[07153] Οὐδὲν γὰρ φορέσει τὴν μόνῳ πρέπουσαν τῷ Θεῷ δόξαν, εἴπερ ὅλως εἴη πεποιημένον.

[07154] Ἀλλ' ἔστι Κύριος τῆς δόξης ὁ Υἱός·

[07155] οὐ γὰρ ψεύδεται τῆς ἀληθείας τὸ Πνεῦμα τὸ ἐν τοῖς ἁγίοις τὰ τοιαῦτα λαλοῦν.

[07156] Οὐκοῦν οὐ γενητὸς, εἰκὼν δὲ μᾶλλον καὶ χαρακτὴρ τοῦ Πατρὸς, ὅς ἐστι τῆς δόξης Κύριος.

[07157] Ὧ δὲ πάντα πρόσεστι φυσικῶς τὰ τοῦ Πατρὸς ἴδια, ἕποιτο ἂν εἰκότως μετὰ τῶν ἄλλων καὶ τὸ εἶναι τῆς δόξης Κύριον.

[07158] Ἐκ τῆς Πέτρου Ἐπιστολῆς.

[07159] Πρεσβυτέρους τοὺς ἐν ὑμῖν παρακαλῶ, ὁ συμπρεσβύτερος, καὶ μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων, ὁ τῆς μελλούσης ἀποκαλύπτεσθαι δόξης κοινω [75.512] νός·

[07160] ποιμαίνετε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ.

[07161] Σοφῶς πάλιν ἐνθάδε Θεὸν ὁ Πέτρος ἀποκαλεῖ τὸν Υἱὸν, τοῦτο κατὰ φύσιν ὄντα γινώσκων·

[07162] οὐ γὰρ ψεύδεται.

[07163] Ἀκηκοὼς γὰρ αὐτὸς παρὰ τοῦ Σωτῆρος ἡμῶν τοῦ Χριστοῦ·

[07164] Σίμων Ἰωνᾶ, φιλεῖς με;

[07165] Βόσκε τὰ ἀρνία μου·

[07166] καὶ πάλιν, Ποίμαινε τὰ πρόβατά μου, τὴν ὁμοίαν δίδωσιν ἐντολὴν, Θεοῦ ποίμνιον τὰ τοῦ Σωτῆρος ὀνομάζων, ὡς ἄνωθεν ἐκ Πατρὸς, καὶ οὐ διὰ σαρκὸς καὶ αἵματος, τοῦ θείου μυστηρίου τὴν γνῶσιν παραλαβών.

[07167] Εἰ δὲ Θεὸς κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, πῶς ἔσται κτίσμα ἢ ποίημα;

[07168] ΑΛΛΟ.

[07169] Ποιητοῦ καὶ ποιήματος ἄμετρόν τινα καὶ ἀσύγκριτον οὖσαν τὴν διαφορὰν ἐπιδεικνύων ὁ Ψαλμωδὸς, ἀναφθέγγεται·

[07170] Αὐτὸς ἐποίησε ἡμᾶς, καὶ οὐχ ἡμεῖς·

[07171] ἡμεῖς δὲ λαὸς νομῆς αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ.

[07172] Ἐν μὲν οὖν τῷ δύνασθαι ποιεῖν τε καὶ κτίζειν, ἡ θεία καὶ δεσπόζουσα φύσις διαγινώσκεται·

[07173] ἐν δὲ τῷ πεποιῆσθαι καὶ παρῆχθαι πρὸς γένεσιν, ἡ δούλη καὶ γενητή.

[07174] Ἐπειδὴ δὲ πάντων δημιουργός ἐστιν ὁ Υἱὸς, οὔτε εἷς ἔσται τῶν πάντων, οὔτε ἐν τοῖς πεποιημένοις τετάξεται, ὁ διὰ τοῦ δύνασθαι κτίζειν ἑτεροφυὴς ὡς πρὸς τὴν κτίσιν ἀναδεικνύμενος, καὶ τὸ δουλικὸν ἀναβεβηκὼς μέτρον, ὥστε καὶ ἐντὸς ὅρων τῆς δεσποζούσης οὐσίας ὑπάρχειν.

[07175] Ἐκ τῆς Ἰωάννου Ἐπιστολῆς.

[07176] Γράφω ὑμῖν, φησὶ, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς.

[07177] Εἰ τῶν ποιημάτων οὐδὲν ἀπ' ἀρχῆς ἢ ἐν ἀρχῇ, διὰ τὸ πάντα ἐν χρόνῳ κεκλῆσθαι πρὸς γένεσιν, ἦν δὲ ἀπ' ἀρχῆς ὁ Υἱὸς, ὃν καὶ ἐγνώκασι πρὸς οὓς ὁ λόγος, πῶς ἔσται τῶν ποιημάτων ὁ μὴ οὕτως ἔχων καθάπερ ἐκεῖνα;

[07178] ΑΛΛΟ.

[07179] Ὁ ἀρνούμενος τὸν Πατέρα, καὶ τὸν Υἱὸν ἀρνεῖται, καὶ ὁ ἀρνούμενος τὸν Υἱὸν, οὐδὲ τὸν Πατέρα ἔχει.

[07180] Ἀρνήσεταί τις τὸν Υἱὸν οὐχ ἑτέρως, εἰ μὴ διὰ τοῦ ποίημα λέγειν αὐτὸν, καὶ τῆς τοῦ Πατρὸς ἐκπέμπειν ὁμοουσιότητος, ὁμολογήσει δὲ πάλιν ἀποσώζων αὐτῷ γνήσιόν τε καὶ ἀληθὲς τὸ τῆς υἱότητος ἀξίωμα, καὶ τῆς πρὸς Πατέρα ὁμοιώσεως φυσικῆς οὐκ ἀποστερίσκων αὐτόν.

[07181] Οὐκοῦν ὅπερ ἂν ὑπό του περὶ τοῦ Πατρὸς λέγηται, τοῦτο πάντως καὶ περὶ τοῦ Υἱοῦ, δίχα μόνου τοῦ ὅτι Πατήρ ἐστι.

[07182] Καὶ ὅπερ ἂν ἐφ' Υἱοῦ τάττοιτο, τοῦτο κρατήσει καὶ περὶ τοῦ Πατρὸς, δίχα μόνου πάλιν τοῦ ὅτι Υἱός ἐστιν.

[07183] Οἷον ὁ Πατὴρ Θεὸς κατὰ φύσιν, παντοκράτωρ, δημιουργὸς, Κύριος, βασιλεὺς, ἄφθαρτος, ἀθάνατος, ζωὴ, ἀρχὴν τοῦ εἶναι μὴ ἔχων, ἀλλ' οὐδὲ ἐκ μὴ ὄντος εἰς τὸ εἶναι παρενεχθείς·

[07184] ταῦτα καὶ ὁ Υἱὸς ἀπαραλλάκτως.

[07185] Εἰ δὲ δίδως μὲν ταῦτα προσεῖναι τῷ Πατρὶ, καὶ οὕτως ἔχειν αὐτὸν ὁμολογεῖς, ἐκβάλλεις δὲ αὐτὸν τὸν Υἱὸν, ποίημα λέγων, καὶ τὸν δημιουργὸν ἐν τῇ τῶν κτισμάτων τάξει καταφέρων, ἐξωθήσεις αὐτῶν καὶ τὸν Πατέρα, καταδικάζων ἀμαθῶς τοῦ Υἱοῦ, καὶ τοῦ θεοπρεποῦς ἀξιώματος ἀλλότριον εἶναι φάσκων τὸν τοῦ γεννήσαντος [75.513] χαρακτῆρα, εἰς ὃν ἐνορῶντες τὴν τοῦ Πατρὸς φύσιν καταθεώμεθα κατὰ τὸ παρ' αὐτοῦ τοῖς μαθηταῖς εἰρημένον·

[07186] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.

[07187] Οὐκοῦν ἀγενήτου τυγχάνοντος τοῦ Πατρὸς, ἀγένητον εἶναι χρὴ καὶ τὸν Υἱόν·

[07188] ἀγένητον δέ φημι τὸ μὴ πεποιημένον.

[07189] ΑΛΛΟ.

[07190] Καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν Πατέρα, καὶ ἐφανερώθη ὑμῖν.

[07191] Τὸ αἰῶνος ὄνομα, πολλάκις ἐπὶ Θεοῦ τέθειται παρὰ τῇ ἁγίᾳ Γραφῇ, ὡς τὴν ἐν τῷ χρόνῳ γένεσιν ἀναιροῦν ἐπὶ τῆς θείας καὶ ἀκηράτου φύσεως, ᾗ καὶ μόνη τὸ μὴ πεποιῆσθαι πρόσεστιν οὐσιωδῶς.

[07192] Εἰ τοίνυν αἰώνιος ἦν ἡ ζωὴ παρὰ τῷ Θεῷ καὶ Πατρὶ, τουτέστιν ὁ Υἱὸς, πῶς ἂν εἴη γενητὸς, κατὰ τήν τινων ἀβουλίαν;

[07193] Τὸ γὰρ ὅλως γενηθὲν, οὐκ αἰώνιον.

[07194] ΑΛΛΟ.

[07195] Καὶ οἴδαμεν ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ ἔδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκομεν* τὸν ἀληθινὸν Θεὸν, καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ.

[07196] Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ ἡ αἰώνιος.

[07197] Τί πάλιν ἐροῦσιν οἱ φιλεγκλήμονες αἱρετικοὶ καὶ πρὸς ταύτας τοῦ ἁγίου τὰς ἀψευδεῖς τε καὶ ἠκριβωμένας φωνάς;

[07198] Εἰ Θεὸς ἀληθινὸς ὁ Υἱὸς, οὐσιωδῶς ἄρα τοῦτό ἐστι καὶ οὐ χάριτι, καθάπερ καὶ τὰ ποιήματα.

[07199] Ὁ δὲ φύσει Θεὸς, εἰ πεποίηται, κατ' αὐτοὺς, οὐδὲν ὅλως οὐδὲ ἐν τῷ Πατρὶ τὸ ἐξαίρετον, καὶ εἰ λέγοιτο φύσει Θεός.

[07200] Τὸ γὰρ ἅπαξ ποιητὸν ἢ κτιστὸν τοῦ πεποιῆσθαι τὴν αἰτίαν, κἂν ποιηθὲν οὔπω φαίνηται, οὐδαμῶς διαφεύξεται, ποιεῖσθαι πεφυκός·

[07201] ὥρα τοίνυν καὶ εἰς αὐτὸν εὐσεβεῖν* τὸν Πατέρα.

[07202] Ἀλλ' οὐ παραδέχεται τὸν τοῦ πεποιῆσθαι λόγον ἡ θεία καὶ ἀκήρατος φύσις·

[07203] τοῦτο δέ ἐστιν ὁ Υἱός·

[07204] οὐκ ἄρα ποιητὸς, ἀγένητος δὲ μᾶλλον, ὡς φύσει Θεὸς καὶ ἀληθινὸς καὶ ζωὴ αἰώνιος.

[07205] Ἐκ τῆς Ἰούδα Ἐπιστολῆς.

[07206] Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ἅπαξ πάντα, ὅτι Ἰησοῦς λαὸν ἐκ γῆς Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν.

[07207] Εἰ κατὰ τὴν προκειμένην τοῦ ἁγίου φωνὴν διέσωσεν ὁ Ἰησοῦς ἐξ Αἰγύπτου τὸν λαὸν, αὐτὸς ἄρα ἐστὶν ὁ λέγων πρὸς τὸν ἱεροφάντην Μωσέα·

[07208] Ἐγώ εἰμι ὁ ὤν·

[07209] ἀκούων ἤκουσα τοῦ στεναγμοῦ τῶν υἱῶν Ἰσραὴλ, καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτούς.

[07210] Εἴπερ οὖν ὄντως αὐτός ἐστιν ὁ ὢν, πῶς ἂν εἴη καὶ γενητός;

[07211] Οὐκ ἔτι γὰρ ὢν, ἀλλὰ πεποιημένος.

[07212] Ἀλλ' οὐ ψεύδεται Χριστός.

[07213] Ὢν γάρ ἐστι καὶ ὑπάρχων ἀεὶ, οὐκ ἄρα πεποιημένος εὑρίσκεται, οὐδὲ ἀρχὴν τοῦ εἶναι λαχὼν τὴν ἐν χρόνῳ, καθάπερ τὰ ποιήματα.

[07214] Ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου.

[07215] Ἰωσὴφ, υἱὸς Δαβὶδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου·

[07216] τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου.

[07217] Τέξεται δὲ Υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.

[07218] Αὐτὸς γὰρ σώσει [75.516] τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ.

[07219] Εἰ διασώζει τὸν οἰκεῖον λαὸν ὁ Υἱὸς, καὶ ἀφίησιν ἁμαρτίας, ὡς τοῦ νόμου Κύριος καὶ Θεὸς, τίς τοῖς ποιήμασι συντάξει τὸν εἴσω βεβηκότα τῶν τῆς θεότητος ὅρων, καὶ αὐτὸν κατὰ φύσιν ὄντα Θεόν;

[07220] Οἶμαι δὲ ὅτι πᾶς ὅστις οὖν ἐρεῖ καὶ συνθήσεται μόνῳ χρεωστεῖσθαι Θεῷ τὸ κεκτῆσθαι λαὸν, ὡς Δεσπότῃ καὶ βασιλεῖ.

[07221] ΑΛΛΟ.

[07222] Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος·

[07223] Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον, Μεθ' ἡμῶν ὁ Θεός.

[07224] Εἰ μὴ Θεὸς κατὰ φύσιν ὑπῆρχεν ὁ Υἱὸς, οὐκ ἂν ἐκλήθη Μεθ' ἡμῶν ὁ Θεὸς, ὃ δὴ καὶ γέγονεν ὅτε διὰ γυναικὸς ἐγεννήθη τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ἀναλαβών.

[07225] Οὐκ ἀγγέλου δὲ ὅλως, ἀλλ' οὐδὲ ἑτέρου τινὸς εὕρημα τῶν γενητῶν τὸ Ἐμμανουὴλ, ἀλλ' ὁ Πατὴρ οὕτως ὠνόμασε τὸν Υἱὸν, καὶ μαρτυρήσει λέγων ὁ ἅγιος προφήτης περὶ τοῦ θείου γεννήματος·

[07226] Καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ τὸ καινὸν, ὃ Κύριος ὀνομάσει αὐτό.

[07227] Καινὸν γὰρ ὄντως ὄνομα τῷ Υἱῷ τὸ Ἐμμανουὴλ, τουτέστι, Μεθ' ἡμῶν ὁ Θεός.

[07228] Πρὸ μὲν γὰρ τῆς μετὰ σαρκὸς ἐν τῷ κόσμῳ παρουσίας, αὐτὸ δὴ τοῦτο γυμνῶς ἦν τε καὶ ἐκαλεῖτο Θεός·

[07229] μετὰ δὲ τὴν ἐκ Παρθένου γέννησιν, οὐκέτι μόνον Θεὸς, ἀλλὰ μεθ' ἡμῶν, τουτέστιν, ἐνανθρωπήσας Θεός.

[07230] Θεὸν τοιγαροῦν ὀνομάζοντος τοῦ Πατρὸς τὸν ἴδιον Υἱὸν, ἐρυθριάτωσαν οἱ πεποιῆσθαι λέγοντες αὐτὸν δυσσεβῶς τε καὶ ἀμαθῶς.

[07231] Ὁ γὰρ φύσει Θεὸς, οὐκ ἔστι ποίημα.

[07232] ΑΛΛΟ.

[07233] Ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις, ὅτι Οὐ φονεύσεις·

[07234] ὃς δ' ἂν φονεύσει, ἔνοχος ἔσται τῇ κρίσει.

[07235] Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ, ἔνοχος ἔσται τῇ κρίσει.

[07236] Δέχου μοι πάλιν ἐνθάδε τοιόνδε τινὰ λογισμὸν, καὶ περιάθρει σαφῶς εἰ μή σοι φανοῦμαι λέγων ὀρθῶς·

[07237] Ἐπειδὴ μόνῳ τὸ νομοθετεῖν βασιλεῖ πρεπωδέστατον, οὐδενὶ τῶν ὄντων ἐφίησι Θεὸς προσθεῖναί τι τοῖς παρ' αὐτοῦ διὰ Μωσέως τετυπωμένοις.

[07238] Λέγει γάρ·

[07239] Ἐπ' αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν.

[07240] Εἰ δὲ ἀφεῖλε τὸ ἔλαττον ὁ Σωτὴρ, προσέθηκε δὲ τὸ μεῖζον καὶ τελεώτερον, ὡς Θεὸς ἄρα καὶ τοῦ νόμου Κύριος τοῦτο ἐργάζεται, ἢ πάντως, εἰ μὴ τοῦτό ἐστιν, οὐκ ἂν εἴη παρανομίας ἐλεύθερος, παραλύσας τὴν ἐντολήν.

[07241] Ἀλλ' ἔστιν ἀληθὲς τὸ γεγραμμένον, Ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν.

[07242] Ὡς Θεὸς ἄρα τὴν μὲν πρώτην ἀπεσκεύασεν ἐντολὴν, ἀντεισφέρει δὲ τὴν δευτέραν ἐξουσιαστικῶς.

[07243] Τοῦτο γὰρ σημαίνειν ἔοικε τὸ, Ἐγὼ δὲ λέγω ὑμῖν.

[07244] Πῶς οὖν ἔσται γενητὸς ἢ κτιστὸς, ὁ νομοθετῶν ὡς φύσει Θεὸς, διά τε τοῦτο πρόσφατος εἶναι μὴ δυνάμενος;

[07245] ΑΛΛΟ.

[07246] Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐ [75.517] ράνιος.

[07247] Ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις, οὐδὲ ὁ Πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν.

[07248] Τοῦ Θεοῦ καὶ Πατρὸς ἀφιέντος ἁμαρτίας καὶ τὸν ταῖς παρανομίαις ἔνοχον ἀπολύοντος, ἐξουσίαν ἔχει τοῦτο χαρίζεσθαι καὶ ποιεῖν καὶ ὁ Υἱός.

[07249] Καὶ γοῦν ὁ Σωτήρ που πρός τινά φησι·

[07250] Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

[07251] Ὅτε τοίνυν τοσαύτης ἐξουσίας ἐπειλημμένον ὁρῶμεν τὸν Υἱὸν, ἧς ἂν ἔχῃ καὶ ὁ Πατὴρ, πῶς αὐτὸν ἑτεροφυῆ τε καὶ ἔκφυλον λεγόντων ἀνεξόμεθα τῶν ἀνοσίων αἱρετικῶν, ἐν οὐδενὶ τῶν πεποιημένων ἐπιδεῖξαι δυναμένων κειμένην οὕτω τὴν μόνῳ Θεῷ πρέπουσαν ἐξουσίαν;

[07252] ΑΛΛΟ.

[07253] Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν.

[07254] Ὅρος οὗτος ἐξ ἑνὸς κατὰ πάντων τοῦ Σωτῆρος ἡμῶν ἀληθέστατος.

[07255] Ἴδωμεν τοίνυν ἀκριβῶς τῶν εἰρημένων τὴν δύναμιν, καὶ ἐπ' αὐτῆς ἤδη τῆς θείας οὐσίας ἐξεταζέσθω τὸ πρᾶγμα.

[07256] Οὐκοῦν τό τινος κατά τι γένος τῶν ἀγαθῶν ἐλαττούμενον, ὡς πρὸς ἐκεῖνο τὸ νικῶν, οὐ καλόν·

[07257] οὐ γὰρ ὅμοιον οὐδὲ ἴσον ἀπαραλλάκτως αὐτῷ.

[07258] Καλοῦ δὲ ὄντος τοῦ ἀγενήτου λίαν, ἐν ἐλάττονι μοίρᾳ τὸ γενητὸν εὑρίσκεται, καὶ ὡς πρὸς ἐκεῖνο, οὐ καλόν.

[07259] Πῶς ἔσται καρπὸς γενητὸς ἐξ ἀγενήτου φυτοῦ, εἴπερ ὢν ἀγένητος ὁ Πατὴρ πιστεύεται;

[07260] Εἰ γὰρ οὐ δύναται δένδρον καλὸν καρποὺς πονηροὺς ποιεῖν, δένδρον τε καλὸν ὁ Θεὸς καὶ Πατὴρ καὶ διὰ τὸ εἶναι ἀγένητος, πῶς δὴ καὶ πόθεν ὁ ἐξ αὐτοῦ καρπὸς ἔσται γενητὸς, ὡς ἐντεῦθεν ὁρᾶσθαι πονηρὸν, διὰ τὸ ψεύδεσθαι τοῦ γεννήσαντος αὐτὸν τὴν εὐγένειαν;

[07261] Ἀλλὰ μὴν ἀγαθὸν ὁ καρπὸς, ὥσπερ οὖν ἀμέλει καὶ τὸ φυτόν.

[07262] Οὐκ ἄρα διαψεύσεται τοῦ Πατρὸς τὴν εὐγένειαν ὁ Υἱὸς, ἐξ ἀγενήτου γενητὸς ἀναδεικνύμενος.

[07263] Ἔσται δὲ καὶ αὐτὸς ἀγένητος ὥσπερ καὶ ὁ Πατήρ.

[07264] Εἰ δὲ τοῦτο, πῶς ἔσται ποίημα ἢ κτίσμα, κατὰ τὴν τῶν αἱρετικῶν ἀβουλίαν;

[07265] ΑΛΛΟ.

[07266] Καὶ ἰδοὺ προσελθὼν προσεκύνει αὐτῷ λεπρὸς, λέγων·

[07267] Κύριε, ἐὰν θέλῃς δύνασαί με καθαρίσαι.

[07268] Καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, λέγων·

[07269] Θέλω, καθαρίσθητι.

[07270] Καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα.

[07271] Ἐξ αὐθεντίας ἡ χάρις·

[07272] δεσποτικὸν τὸ ἐπίταγμα.

[07273] Πῶς οὖν ἐν δούλοις ὡς γενητὸς ὁ Υἱὸς, ὁ καὶ ἐν τῷ ἐθελῆσαι μόνον πάντα ποιεῖν δυνάμενος, καὶ τὸ θεϊκὸν ἀξίωμα καὶ τοῦ τεκόντος ἴδιον καὶ κατὰ τοῦτο φέρων;

[07274] Γέγραπται γὰρ περὶ τοῦ Θεοῦ καὶ Πατρὸς, ὅτι Πάντα ὅσα ἠθέλησεν ἐποίησεν, ὡς ἐν τῇ θείᾳ θελήσει τῶν ἔργων εὐθὺς ὑφισταμένων, καὶ νεύματι μόνῳ πρὸς τὸ εἶναι καλουμένων.

[07275] Ὁ δὲ τοῦ ἰδίου Πατρὸς τήν τε δύναμιν ἔχων καὶ τὴν ἐξουσίαν, πῶς ἂν εἴη πρὸς αὐτὸν ἑτεροφυὴς διὰ τὸ εἶναι γενητὸς, οὐχ οὕτω φύσεως ἐχούσης ἐκείνου;

[07276] Φιλεῖ γὰρ ἀεὶ τὰ τὴν αὐτὴν ἐνέργειαν ἔχοντα, τῆς αὐτῆς ὑπάρχειν καὶ οὐσίας, καὶ τὸ ἑτεροφυὲς ἐν τούτοις ἀπίθανον.

[07277] Οὐκοῦν ὁμοφυὴς ὁ Υἱὸς τῷ Πατρὶ, καὶ ἐξ ἀγενήτου ἀγένητος, ὡς τὴν αὐτὴν ἔχων ἐξουσίαν καὶ δύναμιν, [75.520] μᾶλλον αὐτὸς ὢν ἡ ζῶσα καὶ οὐσιώδης ἐνέργεια καὶ δύναμις καὶ σοφία τοῦ Πατρός.

[07278] ΑΛΛΟ.

[07279] Τότε ἐγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη.

[07280] Οἱ δὲ ἄνθρωποι ἐθαύμασαν, λέγοντες·

[07281] Ποδαπός ἐστιν οὗτος, ὅτι καὶ ἡ θάλασσα καὶ οἱ ἄνεμοι ὑπακούουσιν αὐτῷ;

[07282] Εἰς ἀπόδειξιν τῆς ἐνούσης αὐτῷ μεγαλειότητος, φησί που Θεὸς δι' ἑνὸς τῶν προφητῶν πρὸς τοὺς ἀναίδην ἐξαμαρτάνοντας·

[07283] Μὴ ἐμὲ οὐ φοβεῖσθε;

[07284] λέγει Κύριος.

[07285] Ἢ ἀπὸ τοῦ προσώπου μου οὐκ εὐλαβηθήσεσθε, τὸν τάξαντα ἄμμον ὅριον τῇ θαλάσσῃ, πρόσταγμα αἰώνιον, καὶ οὐχ ὑπερβήσεται αὐτό;

[07286] Καὶ πάλιν αὐτὸ δὴ τοῦτο σημαίνων ἐν Ἰὼβ περὶ τῆς θαλάσσης φησίν·

[07287] Ἐθέμην δὲ αὐτῇ ὅρια ἐπιθεὶς κλεῖθρα καὶ πύλας·

[07288] εἶπα δὲ αὐτῇ·

[07289] Μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ·

[07290] ἀλλ' ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα.

[07291] Ὁ δέ γε μακάριος Ψαλμῳδὸς τὴν πνευματικὴν ἀνακρουόμενος λύραν εἰς δοξολογίας* φησὶ πρὸς Θεόν·

[07292] Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, καὶ τὸν σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις.

[07293] Ὅτε τοίνυν τὴν θείαν χαρακτηρίζει φύσιν, καὶ τὸ δύνασθαι τῆς θαλάσσης κρατεῖν, καὶ νόμους ἐπιθεῖναι τοῖς ὕδασιν, ἄγειν τε ὑπὸ τὸν τῆς δεσποτείας ζυγὸν τῶν ἐν κόσμῳ στοιχείων τὰ καιριώτατα, τοῦτο δὲ ποιῶν μετὰ πολλῆς τινος τῆς ἐξουσίας ὁ Υἱὸς φαίνεται, κατὰ τίνα τρόπον οὐκ ἔσται φύσει Θεός;

[07294] Πῶς δ' ἂν εἴη γενητὸς ὁ καὶ μάλα ῥᾳδίως ἐξανύειν δυνάμενος ὅσα μόνῳ πρέπει τῷ Θεῷ καὶ Πατρί;

[07295] Εἰ μὲν γὰρ οὐδὲν ὅλως εἶναί φαμεν τὸ δύνασθαι τῆς θαλάσσης κρατεῖν, κλεῖθρά τε αὐτῇ καὶ πύλας ἐπιτιθέναι, τί μάτην ἐπικομπάζει τούτοις, ὡς πολὺ τὸ ἀξιόπιστον ἔχουσιν, ὁ Θεὸς καὶ Πατήρ;

[07296] Εἰ δὲ μόνης τῆς θεοπρεποῦς δυνάμεώς τε καὶ δόξης ἐξήρτηται τὸ δύνασθαι ταῦτα ποιεῖν, οὐδεὶς ἐπιτρέψει λόγος τῇ τῶν γενητῶν οὐσίᾳ χαρίζεσθαι τὰ μόνῃ τῇ θείᾳ φύσει χρεωστούμενα.

[07297] Οὐκοῦν οὐκ ἂν εἴη γενητὸς ὁ Υἱὸς ὁ τῶν τῆς θεότητος ὅρων εἴσω βεβηκὼς διὰ τοῦ ταῦτα δύνασθαι φυσικῶς ἐνεργεῖν, ἅπερ ἐκείνης ἴδιά τε καὶ ἐξαίρετα φαίνεται.

[07298] ΑΛΛΟ.

[07299] Οἱ δὲ δαίμονες παρεκάλουν αὐτὸν, λέγοντες·

[07300] Εἰ ἐκβάλλεις ἡμᾶς, ἀπόστειλον ἡμᾶς εἰς τὴν ἀγέλην τῶν χοίρων.

[07301] Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς·

[07302] Ὑπάγετε.

[07303] Οἱ δὲ ἐξελθόντες ἀπῆλθον εἰς τοὺς χοίρους, καὶ ἰδοὺ ὥρμησεν ἡ ἀγέλη πᾶσα κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν.

[07304] Ἔτι καὶ τοῦτό ἐστι τῆς θείας οὐσίας τὸ ἐξαίρετον, τὸ δύνασθαι πάντα συνέχειν δηλαδὴ, καὶ μέχρι τῶν εὐτελεστάτων τῆς ἐφ' ἑκάστῳ προνοίας λόγους ἐξαπλοῦν.

[07305] Καὶ μαρτυρήσει λέγων αὐτὸς ὁ Σωτήρ·

[07306] Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς;

[07307] Εἰ τοίνυν μέγα καὶ τοῦτο καὶ θεοπρεπὲς ἐν τῷ Πατρὶ τὸ ἀξίωμα, φέρει δὲ τοῦτο καὶ ὁ Υἱὸς, τοῖς πονηροῖς δαιμονίοις οὐδὲ χοίρων ἔχειν ἐπιτρέ [75.521] πων τὴν ἐξουσίαν (ἀξιοῦσι γὰρ λαβεῖν, ὡς οὐκ ἔχοντας δηλαδὴ), ποῖον ἔχει λόγον ἑτεροφυῆ καὶ ποιητὸν ὑπολαμβάνειν τὸν ἐκ Θεοῦ πεφυκότα Θεὸν Λόγον, καὶ πάντα ἔχοντα φυσικῶς τὰ τοῦ γεννήσαντος ἴδια;

[07308] ΑΛΛΟ.

[07309] Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν.

[07310] Ὅρα μοι πάλιν ἐνθάδε θεϊκὴν τοῦ Υἱοῦ τὴν ἐξουσίαν, καὶ οὐ γενητῇ πρέπουσαν φύσει.

[07311] Τὸ μὲν γὰρ δύνασθαι δρᾷν τι τῶν ὅσα δικαίως θαυμάζεται, καὶ τοῖς ἁγίοις προσῆν οὐ φυσικῶς, ἀλλ' ἐκ μετοχῆς τοῦ ἁγίου Πνεύματος καὶ παρὰ Θεοῦ.

[07312] Τὸ δὲ καὶ ἑτέροις διδόναι τὴν ἐπὶ τούτοις χάριν, παντελῶς τῆς ἐκείνων δυνάμεώς τε καὶ ἐξουσίας ἀλλότριον.

[07313] Πῶς γὰρ ἂν δύναιτο γενητὴ δεσπόζειν φύσις τῶν τοῦ Πνεύματος χαρισμάτων;

[07314] Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ἅτε Θεός τε ὑπάρχων φύσει καὶ Υἱός, θεραπεύει μὲν ἐξουσιαστικῶς, οὐκ εὐχῆς ἔργον ἐπιδεικνύων, καθάπερ ἐκεῖνοι, ἀλλ' οἰκείας καὶ οὐσιώδους ἐνεργείας ἀποτελέσματα.

[07315] Χορηγεῖ δὲ ὁμοίως οἷσπερ ἂν βούλοιτο τὴν ἐπὶ τούτῳ χάριν, οὐκ ἀλλοτρίαν ἐπ' αὐτοὺς δύναμιν καλῶν, ἀλλ' οἴκοθεν ἐντιθείς·

[07316] ὥσπερ ἂν εἰ καὶ τὸ πῦρ τοῖς αὐτῷ πλησιάζουσιν, ἐμβάλλοι τῆς ἑαυτοῦ φύσεως τὴν ἐνέργειαν.

[07317] Πῶς οὖν ὁ μετόχους τῆς θείας οὐσίας ἀποτελῶν τοὺς ἐν οἷς ἂν γένοιτο τῇ δυνάμει τοῦ Πνεύματος, γενητός τε εἴη καὶ πεποιημένος, καὶ οὐχὶ μᾶλλον φύσει Θεός;

[07318] ΑΛΛΟ.

[07319] Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν, εἰ μὴ ὁ Πατὴρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός.

[07320] Οὐ δυναμένης τῆς τῶν γενητῶν διανοίας περιδράττεσθαι τρόπον τινὰ τῆς θείας οὐσίας, διὰ τὸ πάντα ὑπερκεῖσθαι νοῦν, καὶ πάσης διανοίας ἐξάλλεσθαι τὸ ὑπερφυὲς αὐτῆς καὶ ἀκήρατον κάλλος, ὑπὸ μόνης ἑαυτῆς ὅπερ ἐστὶ κατὰ φύσιν γινώσκεται.

[07321] Οὐκοῦν ἀφ' ὧν ἐστιν ὁ Πατὴρ, οἶδε τὸν ἴδιον Υἱὸν, καὶ πάλιν ἀφ' ὧν ἐστιν ὁ Υἱὸς, οἶδε τὸν ἑαυτοῦ Πατέρα.

[07322] Καὶ οὕτω γὰρ καὶ ἂν ἀληθεύοι λέγων·

[07323] Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί·

[07324] καὶ, Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.

[07325] Οὐδεμιᾶς τοιγαροῦν ἐξαλλαγῆς μεταξὺ κειμένης, ὅσον εἰς θεότητος φύσιν, πῶς ἂν εἴη γενητὸς ὁ Υἱὸς, οὐκ ὄντος τοῦτο τοῦ Πατρὸς, οὗ καὶ ἐστὶν εἰκὼν καὶ χαρακτὴρ ἀπαράλλακτος;

[07326] ΑΛΛΟ.

[07327] Δεῦτε πρός με, φησὶ, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

[07328] Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς.

[07329] Εἰ πᾶσα τῶν γενητῶν ἡ φύσις ὑπὸ τὸν θεῖόν ἐστι ζυγὸν, καὶ μόνῳ δουλεύει τῷ κτίσαντι, κλίνασα τὸν αὐχένα, κατὰ τὸν λέγοντα πρὸς Θεὸν, Ὅτι τὰ σύμπαντα δοῦλά σου·

[07330] ὑπάγει δὲ ἡμᾶς ὁ Σωτὴρ καὶ ὑποτίθησι τῷ οἰκείῳ ζυγῷ·

[07331] Δεσπότης ἄρα [75.524] ἐστὶ καὶ Κύριος καὶ κτίστης ὡς Θεός.

[07332] Πῶς ἐν ποιήμασιν ὁ τοιοῦτος;

[07333] Πῶς δὲ ὑπὸ ζυγοῦ καὶ δουλείας ὁ πάντα ἡνιοχῶν καὶ διθύνων ὡς Κύριος;

[07334] Εἰ γὰρ μὴ τοῦτό ἐστι, προσκυνοῦντες ἁλωσόμεθα ποίημα, καὶ κτίσματι παρὰ τὸν κτίστην δουλεύοντες.

[07335] Ἔχει δὲ οὐχ οὕτω τὰ καθ' ἡμᾶς·

[07336] ἀληθινὸς γὰρ Θεὸς ὁ Υἱός.

[07337] Οὐκ ἄρα ἐστὶ κτίσμα ἢ ποίημα.

[07338] ΑΛΛΟ.

[07339] Ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ, ὅτι τοῖς Σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ Σάββατον βεβηλοῦσι καὶ ἀναίτιοί εἰσι;

[07340] Λέγω δὲ ὑμῖν ὅτι τοῦ ἱεροῦ μείζων ἐστί.

[07341] Καὶ πλέον ἔχει τὸ σέβας τοῦ ἐκ λίθων διηρτισμένου ναοῦ, Θεὸς ὁ κατοικῶν ἐν αὐτῷ καὶ ἁγιάζων αὐτὸν, οὗ καὶ εἰς δόξαν ἡ τοῦ ἱεροῦ γέγονε κατασκευή.

[07342] Πλείονα πῶς οὖν τοῦ ἱεροῦ τὴν τιμὴν ἔχει Χριστὸς, εἴπερ οὐκ ἔστι Θεὸς ὁ ἐν αὐτῷ τῷ ἱερῷ προσκυνούμενος;

[07343] Ἀλλ' ἔχει τὸ πλέον καὶ ἀληθεύει·

[07344] πῶς γὰρ οὔ;

[07345] Θεὸς ἄρα ἐστὶν ὡς Υἱὸς ἐκ Θεοῦ Πατρὸς πεφηνώς.

[07346] Εἰ δὲ τοῦτο, οὐ ποίημα οὐδὲ κτίσμα ἐστίν.

[07347] Οὐ γὰρ ἐπλανᾶτο λατρεύων αὐτῷ καὶ προσκυνῶν ὁ Ἰσραὴλ ἐν τῷ ἱερῷ, πρὸς ὃν εἴρηταί που·

[07348] Κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις.

[07349] ΑΛΛΟ.

[07350] Ἢ ποιήσατε τὸ δένδρον καλὸν, καὶ τὸν καρπὸν αὐτοῦ καλὸν, ἢ ποιήσατε τὸ δένδρον σαπρὸν, καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν·

[07351] ἀπὸ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται.

[07352] Καρπὸς δὲ τοῦ Πατρός ἐστιν ὁ Υἱός·

[07353] τοιοῦτος ἂν εἴη πάντως αὐτὸς, ὁποῖόν περ ἂν ὑπάρχοι τὸ ἐξ αὐτοῦ γεννηθέν.

[07354] Οὐκοῦν εἰ κτίσμα καὶ ποίημά ἐστιν ὁ Υἱὸς, ἔσται τοῦτο καὶ ὁ Πατήρ.

[07355] Εἰ δὲ ἀγένητος ὁ Πατὴρ, ἀγένητος ἔσται καὶ ὁ Υἱὸς, ἐπεὶ κατά τινα τρόπον ἐκ τοῦ καρποῦ τὸ δένδρον ἐπιγνωσθήσεται.

[07356] ΑΛΛΟ.

[07357] Ἐβασανίζετό ποτε τῶν ἀποστόλων τὸ σκάφος, χειμῶνος ὄντος κατὰ τὴν λίμνην σφοδροῦ, καὶ πνευμάτων ἀφορήτου βίας τῶν ὑδάτων καταῤῥηγνυμένων.

[07358] Τετάρτῃ δὲ φυλακῇ, ὡς ἐπὶ ξηρᾶς βαδίζων ἐπὶ τοῦ κύματος ὁ Σωτὴρ, κατὰ μέσην τὴν λίμνην τοῖς μαθηταῖς ἐπιφαίνεται.

[07359] Οἱ δὲ φάντασμα βλέπειν οἰηθέντες, ὑπὸ τοῦ δέους ἔκραζον.

[07360] Ὡς δὲ παρεθάρσυνεν αὐτοὺς ὁ Σωτὴρ λέγων, Ἐγώ εἰμι, μὴ φοβεῖσθε, μόγις μὲν τὸν φόβον ἐξέπτυσαν, εἰσδέχονται δὲ αὐτὸν εἰς τὸ σκάφος, καὶ παραχρῆμα, φησὶν, ἐκόπασεν ὁ ἄνεμος.

[07361] Οἱ δὲ ἐν τῷ πλοίῳ προσεκύνησαν αὐτῷ λέγοντες·

[07362] Ἀληθῶς Θεοῦ Υἱὸς εἶ.

[07363] Τί οὖν πάλιν ἐροῦσιν οἱ τῇ ἀληθείᾳ μαχόμενοι, καὶ μόνοις τοῖς ἰδίοις ἀκολουθοῦντες θελήμασιν, ὅταν ἴδωσιν ὅλον ὁμοῦ τὸν τῶν ἀποστόλων χορὸν ὡς Θεῷ προσκυνοῦντα τῷ Υἱῷ, καὶ μεθ' ὅρκου λέγοντα, ὅτιπερ ἀληθῶς Υἱὸς εἴη Θεοῦ;

[07364] Δῆλον δὲ ὅτι καὶ Θεός.

[07365] Εἰ γὰρ ἓν τῶν κτισμάτων ἐστὶ κατὰ τὴν αὐτῶν ἀμαθίαν, πῶς ἀληθῶς Υἱός ἐστι τοῦ Θεοῦ;

[07366] Ἀμήχανον γὰρ τὸν μὴ ἔκ τινος κατὰ φύσιν προεληλυθότα καὶ τὸ ἴδιον τῆς τοῦ [75.525] γεννήσαντος οὐσίας ἐπαγόμενον, ἀληθῶς εἶναι υἱόν.

[07367] Πῶς δὲ, εἴπερ ἐσφάλ[λ]οντο τοῦτο λέγοντες οἱ μαθηταὶ, σεσιώπηκε ὁ Σωτὴρ, καίτοι σφαλλομένους οὐ δυσωπούμενος;

[07368] Καὶ γοῦν τῷ Πέτρῳ φησὶ οὐκ ὀρθῶς ἀποκριναμένῳ·

[07369] Ὕπαγε ὀπίσω μου, Σατανᾶ, σκάνδαλόν μοι εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.

[07370] Ἐπειδὴ σεσιώπηκε, ἀληθῶς Υἱός εἶναι Θεοῦ λεγόμενος, δι' ὧν ὡς σφαλέντας οὐκ ἤλεγξεν, δῆλός ἐστιν ὡς ὀρθῶς λέγοντας ἀποδεχόμενος.

[07371] Υἱὸν οὖν αὐτὸν καὶ ἀληθῶς εἶναι φασκόντων τῶν ἁγίων ἀποστόλων, καὶ αὐτοῦ δὲ τούτῳ συνεπινεύοντος τοῦ Χριστοῦ, τίς τῶν ἕτερα θρυλλούντων ἀνέξεται;

[07372] ΑΛΛΟ, ὡς ἐκ τοῦ αὐτοῦ.

[07373] Καὶ πῶς οὐ πάσης ἔξω κείσονται φρενὸς ἀγαθῆς οἱ τολμῶντες ποίημα λέγειν τὸν Υἱὸν τοῦ Θεοῦ;

[07374] Εἰ γὰρ ἀληθῶς Υἱός ἐστι, πῶς ἂν εἴη γενητὸς, ὁ ἐκ τῆς πατρῴας προελθὼν οὐσίας;

[07375] Τοῦτο γὰρ σημαίνει τὸ τῆς υἱότητος ὄνομα, φυσικῶς κατά τινος τεταγμένον.

[07376] Ἕτερον δὲ τὸ σχῆμα τῶν κατὰ θέσιν υἱῶν.

[07377] Ἐπειδὴ οὐκ ἐν τούτῳ Χριστὸς, ἀληθῶς ἄρα Υἱός ἐστιν, ὡς διὰ τοῦτο τοῖς κατὰ θέσιν ἡμῖν ἀντιδιαστέλλεσθαι·

[07378] οὐκ ἂν γὰρ εἴη τὸ κατὰ θέσιν καὶ ὁμοίωσιν, μὴ προϋποκειμένου πρότερον τοῦ ἀληθοῦς, πρὸς ὃ καὶ μορφοῦται τὸ εἰς ὁμοίωσιν αὐτοῦ διά τινος τέχνης καὶ χάριτος καλούμενον.

[07379] ΑΛΛΟ.

[07380] Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου, ἠρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων·

[07381] Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν Υἱὸν τοῦ ἀνθρώπου;

[07382] Οἱ δὲ εἶπον·

[07383] Οἱ μὲν Ἰωάννην τὸν Βαπτιστὴν, ἄλλοι δὲ Ἠλίαν, ἕτεροι δὲ Ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν.

[07384] Λέγει αὐτοῖς·

[07385] Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι;

[07386] Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπε·

[07387] Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ.

[07388] Ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ·

[07389] Μακάριος εἶ, Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς.

[07390] Ἐκ τῶν προκειμένων ἔξεστιν ὁρᾷν, καὶ αὐτῆς δὲ μάλιστα τῆς τοῦ Κυρίου φωνῆς, ὡς ὁ Πατὴρ ἀπεκάλυψε τῷ Πέτρῳ, καὶ οὐκ ἀνθρωποδίδακτος ἦν, Υἱὸν ὁμολογῶν τὸν τοῦ Θεοῦ Λόγον.

[07391] Καίτοι μετὰ σαρκὸς ὁρῶν ἐπὶ γῆς ἀνθρώποις συνδιαιτώμενον, καὶ τό γε παραδοξώτερον, Υἱὸν ὁμολογῶν, οὐκ ἐν τοῖς κατὰ χάριν εἰς τοῦτο τεθειμένοις ὁρίζεται.

[07392] Οὐ γὰρ εἶπεν·

[07393] Εἷς ὑπάρχει τῶν υἱῶν τοῦ Θεοῦ·

[07394] ἀλλ' ἕνα καὶ μονοειδῶς, ὡς δὴ καὶ κυρίως κατὰ φύσιν ἐστὶν Υἱὸς τῆς τοῦ Πατρὸς οὐσίας ἐξαστραφεὶς, αὐτὸν εἶναί φησι τὸν Χριστόν.

[07395] Μακαρίζεται δὲ ὡς ἀληθεύων, καὶ τὰ ὑπὲρ ἀνθρώπου διάνοιαν θεόθεν ἐκδιδαγμένος.

[07396] Πῶς οὖν ποίημα ἢ κτίσμα τολμῶσι λέγειν ὃν οἶδεν Υἱὸν ὁ Πατὴρ, καὶ οὗτος αὐτὸν τοῖς ἀξίοις ἀποκαλύπτει;

[07397] ΑΛΛΟ.

[07398] Μέλλει γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ, καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

[07399] [75.528] Εἰ ἀληθεύει λέγων ὁ Θεὸς καὶ Πατήρ·

[07400] Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω·

[07401] πῶς αὐτὴν δίδωσι τῷ Υἱῷ, εἴπερ ὄντως διὰ τὸ εἶναι γενητὸς, ἑτεροφυής τέ ἐστι καὶ τῆς πρὸς αὐτὸν φυσικῆς κοινωνίας διωρισμένος, Ἀλλὰ μὴν καὶ ἀληθεύειν ἀνάγκη συνομολογεῖν τὸν Πατέρα.

[07402] Καὶ δέδωκε τὴν ἑαυτοῦ δόξαν τῷ Υἱῷ, οὐκ ἔξω τῆς μιᾶς θεότητος ταύτην τιθείς.

[07403] Οὕτω γὰρ ἀληθεύσει·

[07404] φύσεως ἄρα κοινωνὸν, καὶ τῆς αὐτῆς οὐσίας οἶδεν ὄντα τὸν Υἱόν.

[07405] Οὕτω γὰρ εἰς μίαν θεότητα σύμπαν ὁρᾷ διὰ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος ἀποπληρωμένην.

[07406] Πῶς οὖν ποίημα ἢ κτίσμα ὁ Υἱὸς ὁ τῷ Πατρὶ κατ' οὐσίαν ὁ αὐτὸς ὡς Υἱὸς ἐκ Πατρὸς ἀληθινός;

[07407] ΑΛΛΟ.

[07408] Καὶ ἰδοὺ, νεφέλη φωτεινὴ ἐπεσκίασε αὐτούς·

[07409] καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα·

[07410] Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα.

[07411] Εἰ μὴ πολύ τι τὸ μεταξὺ φαίνεται ποιήματος καὶ Υἱοῦ, ταυτὸν δὲ εἶναι δοκεῖ παρά τισιν, πᾶν ὅπερ ἐστὶ ποίημα, τοῦτο πάντως ἔσται καὶ Υἱός.

[07412] Καὶ εἴ τί ἐστιν Υἱὸς, τοῦτο καὶ ποίημα.

[07413] Εἰ δὲ τίκτομεν μὲν ἐξ αὐτῶν τὰ γεννώμενα, ποιοῦμεν δέ τι τῶν ἔξωθεν, ἀλλοτρίαν τῆς ἑαυτῶν φύσεως ὕλην λαμβάνοντες, πῶς οὐ πολὺ τὸ διάφορον Υἱοῦ καὶ ποιήματος;

[07414] Ὅπερ οὖν ἐστιν ἐφ' ἡμῶν ἀληθὲς, σωζέσθω τοῦτο καὶ ἐπὶ Θεοῦ.

[07415] Εἶτα πῶς ἐνδέχεται τὸν ὄντως Υἱὸν ποιητὸν ἢ κτιστὸν ὑπολαμβάνειν, καὶ ταῦτα τοῦ Θεοῦ καὶ Πατρὸς ἄνωθεν ἐπιβοῶντος·

[07416] Οὗτός ἐστιν ὁ Υἱός μου;

[07417] Οὐχ εἷς τῶν υἱῶν, ἀλλ' ὁ κυρίως καὶ κατὰ φύσιν Υἱὸς, οὗ κατὰ μίμησιν οἱ κατὰ θέσιν υἱοὶ, διὰ τὸ δύνασθαι βοᾷν ἐν τῷ Πνεύματι τοῦ Υἱοῦ·

[07418] Ἀββᾶ, ὁ Πατήρ.

[07419] ΑΛΛΟ.

[07420] Διδάσκαλε, τί ἀγαθὸν ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;

[07421] Ὁ δὲ εἶπεν αὐτῷ·

[07422] Τί με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ;

[07423] Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός.

[07424] Τὸ κυρίως ἀγαθὸν, οὐ κατὰ μετοχὴν τὴν ἐξ ἑτέρου τοῦτό ἐστιν, ἀλλ' ἐν τῇ οἰκείᾳ φύσει κειμένην ἔχει τὴν ἀρετὴν, καὶ ὥσπερ ἐξ ἑαυτοῦ πηγάζουσαν·

[07425] μᾶλλον δὲ αὐτὸ δὴ τοῦτο κατὰ φύσιν ὑπάρχει ὅπερ εἶναί φαμεν τὸ ἀγαθόν.

[07426] Ὄντος οὖν ἐν ἰδίᾳ μὲν ὑπάρξει τοῦ Πατρὸς, ὄντος δὲ πάλιν ἐν ἰδίᾳ ὑπάρξει τοῦ Υἱοῦ, τίνι καὶ μόνῳ τὸ ἀγαθὸν περιθήσομεν;

[07427] Ἢ ποῖον ὄντως ἔσται τὸ ἀγαθόν;

[07428] Ἀλλ' ἴσως φήσειεν ἄν τις πρέπειν αὐτὸ τῷ Πατρί.

[07429] Καλῶς ἐχέτω καὶ τῇδε·

[07430] συνθησόμεθα γὰρ, ὡς ἔτι γυμνάζοντες τὸ θεώρημα.

[07431] Εἶτα τίς ἀποτολμήσει λέγειν οὐκ εἶναι φύσει τὸν Υἱὸν ἀγαθὸν, ὅταν ἀκούσῃ λέγοντος·

[07432] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν;

[07433] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα;

[07434] Εἰ γὰρ μὴ ἀγαθὸς κατὰ φύσιν ὁ Υἱὸς, πῶς ἡμῖν ἐν ἑαυτῷ δεικνύει τὸν κατὰ φύσιν ἀγαθὸν ὄντα Πατέρα;

[07435] Ἀλλ' ἔστιν εἰκὼν καὶ κατὰ τοῦτο τοῦ Πατρός.

[07436] Ἀγαθὸς ἄρα καὶ αὐτὸς, ὥσπερ οὖν καὶ ὁ Πατήρ.

[07437] Πῶς οὖν εἷς ἐστιν ἀγαθὸς κατὰ τὴν αὐτοῦ φωνήν;

[07438] Δῆλον ὅτι τῆς ἁγίας Τριάδος διὰ τὴν ταυτότητα τῆς οὐσίας εἰς μίαν θεότητα δι' ἑαυτῆς ἀναπλεκομένης, ὡς εἶναι [75.529] μόνην τὴν θείαν οὐσίαν τὸ κυρίως ἀγαθόν.

[07439] Ὁ δὲ εἰς τοσαύτην ἑνότητα τῷ Πατρὶ περισφιγγόμενος φυσικῶς Θεὸς Λόγος, πῶς ἂν εἴη γενητὸς ἢ πεποιημένος;

[07440] ΑΛΛΟ.

[07441] Ἐρωτώμενος ὑπὸ τῶν ἀρχιερέων ἐπὶ Ποντίου Πιλάτου Χριστὸς, εἰ αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, Σὺ εἶπας, φησὶν, οὐκ ἀρνούμενος.

[07442] Εἶτα προστιθεὶς λέγει·

[07443] Πλὴν λέγω ὑμῖν, ἀπάρτι ὄψεσθε τὸν Υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ.

[07444] Τί οὖν ἡμῖν τὸ ἐντεῦθεν συναγόμενον;

[07445] Ὅτι [ὅταν] ἐπὶ Θεοῦ λέγηται τὸ καθέζεσθαι καὶ θρόνος, τό τε ἀρχικόν τε καὶ δεσποτικὸν, βασιλικόν τε ὁμοῦ καὶ πάντων κρατοῦν ἀξίωμα σημαίνεται.

[07446] Οὐ γὰρ δήπου φήσειεν ἄν τις τῶν σοφῶν κατὰ τὰς ἐν τοῖς πίναξιν ὁρωμένων γραφὰς χρῆναι νοεῖσθαι περὶ Θεοῦ·

[07447] οὐδὲ θρόνον μέν τινα λογιούμεθα κεῖσθαι, τῶν δὲ ἁπάντων Κύριον ἀνακεκλίσθαι πιστεύομεν ἐπ' αὐτῷ, ἀλλ' οὐδὲ ὅλως εἶναι δεξιόν τε καὶ ἀριστερὸν ἐπὶ τῆς θείας καὶ ἀπερινοήτου φύσεως.

[07448] Σωμάτων γὰρ οἰκεῖον καὶ σχῆμα καὶ τόπος, ἵδρυσίς τε καὶ ἔγερσις.

[07449] Ταύτην οὖν ἐχόντων τὴν δύναμιν ἐπὶ Θεοῦ, τῶν τε ὀνομάτων καὶ τῶν λέξεων, ὅσαι δηποτοῦν τὰ τοιαῦτα σημαίνουσι·

[07450] κατὰ τίνα τρόπον ὁ Υἱὸς ἐκ δεξιῶν τῆς δυνάμεως καθεζόμενον ἑαυτὸν ὀφθήσεσθαι λέγει, ἢ ὡς ὁμόθρονον δηλαδὴ καὶ οὐ δεύτερον εἰς τιμὴν, ὥσπερ ἂν εἴ τις οἰηθείη, τοῦ Πατρός;

[07451] Τοῦτο γὰρ τὸ ἐκ δεξιῶν ἔοικε δηλοῦν, ἀπὸ τῆς παρ' ἡμῖν συνηθείας τὸ ὑπὲρ ἡμᾶς ἀνατυποῦν.

[07452] Πῶς οὖν ὁμότιμός τε καὶ ἐν τοῖς αὐτοῖς τῷ Πατρὶ θρόνοις ὁ Υἱὸς ὢν εὑρεθήσεται, εἴπερ οὐκ ἔστι κατὰ φύσιν Υἱὸς τὴν τοῦ Πατρὸς ἰδιότητα φυσικῶς ἔχων ἐν ἑαυτῷ, ποίημα δὲ μᾶλλον, ὡς ἐκεῖνοι ληροῦντες φασίν;

[07453] Ἢ γὰρ ἀνάγκη συνομολογεῖν μὴ ὑπὸ μόνου τοῦ κατὰ ἀλήθειαν ὄντος Θεοῦ βασιλεύεσθαι τὴν κτίσιν, ἐπιστατεῖν δὲ αὐτῇ καὶ ἕτερόν τινα γενητὸν καὶ ἐπείσακτον Θεὸν, καὶ οὐκ ἔτι Θεὸς εἷς ἐφ' ἡμᾶς, κατὰ τὴν Γραφήν·

[07454] ἢ εἴπερ εἷς ἐστιν ὁ Θεὸς, συμβασιλεύει δὲ αὐτῷ Θεὸς ὢν ὁ Υἱὸς, τῆς αὐτῆς ἂν εἴη φύσεως εἰκότως, ἧσπερ ἂν ὢν ὑπάρχει καὶ ὁ Πατήρ.

[07455] Οὕτω γὰρ εἷς ἔσται Θεὸς, τῇ τῆς φύσεως ταυτότητι πρὸς θεότητα μίαν τρεχούσης τῆς ἁγίας Τριάδος, εἰ καὶ ἐν τῇ καθ' ἕκαστον τῶν ὀνομάτων θέσει καὶ ἰδιαζόντως ἐν ὑπάρξει μοναδικῇ νοουμένη, τὸν τριττὸν εὐρύθμως ἀριθμὸν ἐπιδέχοιτο.

[07456] Ὅτε τοίνυν τῆς αὐτῆς οὐσίας ἐστὶν ὁ Υἱὸς τῷ ἀκτίστῳ Πατρὶ, πῶς ἂν αὐτὸς ὡς κτίσμα νοοῖτο, κατὰ τὴν τῶν αἱρετικῶν ἀβουλίαν, καὶ οὐχὶ μᾶλλον ὡς γνήσιον γέννημα, ὅπερ ἐστὶ καὶ ἀληθές;

[07457] Ἐκ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου.

[07458] Ἐν ἀρχῇ ἦν ὁ Λόγος.

[07459] Εἰ ἦν ἐν ἀρχῇ τῇ κατ' ἐπίνοιαν χρονικῇ (οὕτω γὰρ ἡμῖν ἐσχηματίσθω πρὸς τὸ παρὸν οἰκονομικῶς ὁ λόγος), πῶς ἂν ἐγένετο μετ' αὐτήν;

[07460] Τὸ γὰρ ὅλως διὰ τοῦ πεποιῆσθαι πρὸς τὸ εἶναι κεκλημένον, οὐκ ἂν ὑπάρχειν ἐν ἀρχῇ νοοῖτό ποτε, ἀλλ' οὐδ' ἂν ὅλως ἀρχὴ καλοῖτο, χρόνου μὲν αὐτῆς προβαδίζοντος, φαίνεσθαι δέ τι πρὸ αὐτῆς [75.532] ἐπιτρέποντος.

[07461] Ἢ τοίνυν οὐδὲν ὅλως εἶναι πρὸ αὐτῆς λεγέτωσαν, καὶ λελύσθω διὰ τούτου τὸ ζητούμενον·

[07462] ἢ εἴπερ ἀρχήν τινα τῆς ἀρχῆς ἑτέραν εἶναί φασιν, ἴστωσαν μὲν τοῦτο λέγοντες ἀμαθῶς, πλὴν καὶ παρ' ἡμῶν ἀκουέτωσαν, ὡς ἥνπερ ἂν ἀνωτάτω δοῖεν ἀρχὴν, ταύτην εἶναί φαμεν καθ' ἣν ἦν ὁ Λόγος.

[07463] Πῶς δὲ ἡμῖν οὐκ ἀρκέσει τὸ, ἦν, πρὸς ἀνατροπὴν τῶν πεποιῆσθαι λεγόντων αὐτόν;

[07464] Εἰ γὰρ ἦν, οὐκ ἐγένετο·

[07465] εἰ ἐγένετο, οὐκ ἦν.

[07466] Ἐπειδὴ δὲ ἦν, οὐκ ἐγένετο·

[07467] τὸ γὰρ ὂν καὶ ὑπάρχον ἤδη, καὶ τοῦτο ἐν ἀρχῇ, οὐκ ἂν λέγοιτο πεποιῆσθαί ποτε.

[07468] ΑΛΛΟ.

[07469] Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν.

[07470] Φαίνεται λοιπὸν ὁ μακάριος εὐαγγελιστὴς σαφέστερον ἡμῖν ἑρμηνεύων τὸ τῆς ἀρχῆς ὄνομα.

[07471] Οὐδὲν γὰρ ἕτερον, ὡς εἰκὸς, τὴν ἀρχὴν εἶναί φησιν, ἢ αὐτὸν τὸν Πατέρα, ἀφ' οὗπερ ὁ ζῶν ἐξέλαμψε Λόγος, καθάπερ ἐξ ἡλίου τὸ φῶς.

[07472] Ἕτερον μέντοι παρ' αὐτὸν εἶναι νοούμενον, οὐκ ἔξω δὲ ὅμως τῆς τοῦ ἐκπέμποντος οὐσίας κείμενον.

[07473] Οὐκοῦν ἀρχὴ τῷ Υἱῷ ὁ Πατήρ.

[07474] Ἀρχὴν δὲ οὐ τὴν ἐν διαστήμασι χρονικοῖς μετρουμένην φαμὲν, ἀλλὰ μᾶλλον τὴν τοιαύτην, ἐφ' ἧς τό τε ἅμα καὶ τὸ ἐξ αὐτῆς νοεῖται.

[07475] Οἷον ἡ ἐκ πυρὸς θερμότης, ἀρχὴν ἔχει τὸ πῦρ·

[07476] ἀλλ' ἅμα καὶ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ νοεῖται καὶ ἀχωρίστως·

[07477] ἡ ψύξις ἡ ἐξ ὕδατος, ἀρχὴν ἔχει τὸ ὕδωρ·

[07478] ἀλλ' ἅμα καὶ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ πάλιν ἀχωρίστως.

[07479] Ἀμήχανον γάρ τι τῶν εἰρημένων δίχα τῶν προσόντων αὐτῷ φυσικῶν, ἢ εἶναι, ἢ φαίνεσθαι·

[07480] εἴ γε μὴ διά τινος μηχανῆς ἑτέρας ἐκβιασθὲν, τῆς ἐξ ἔθους αὐτῷ καὶ φίλης ἐνεργείας παρασαλεύοιτο·

[07481] ὥσπερ ἀμέλει τὸ ὕδωρ ἐκ πυρὸς εἰς θερμότητα συνωθούμενον.

[07482] Ἡ θεία καὶ ἀκήρατος φύσις πολὺ τῶν παρενεχθέντων ὑποδειγμάτων τὴν δύναμιν ἀναβαίνουσα, πάντως που στήσεται μὲν ἐφ' ἑαυτῇ, ἕξει δὲ ἀεὶ ὡσαύτως, ἐπεὶ καὶ παντὸς ἐλευθέρα πάθους ἐστίν.

[07483] Οὐκοῦν ὡς ἐν ἀρχῇ τῷ Πατρὶ ἦν ὁ Λόγος, ἵνα νοῇς ἅμα τε ὄντα τὸν Πατέρα, καὶ τὸν ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ Λόγον, οὐδενὸς μεσολαβοῦντος χρόνου τὴν ὕπαρξιν αὐτοῦ.

[07484] Τὸ γὰρ, ἦν, οὕτω νοεῖν ἡμᾶς ἀναγκάζει.

[07485] ΑΛΛΟ.

[07486] Καὶ Θεὸς ἦν ὁ Λόγος.

[07487] Ἐνταῦθα σαφῶς ἀναιρεῖται τὸ πρόσφατον εἶναι Θεὸν τὸν Υἱόν.

[07488] Ἦν γὰρ Θεὸς ὢν, φησὶν ὁ ἅγιος εὐαγγελιστής.

[07489] Ὁ δὲ τοῦτο ὢν ἐν ἀρχῇ, πῶς ἂν εἴη πεποιημένος;

[07490] Ἄλλως τε κἀκεῖνο πρὸς τούτοις εἰδέναι καλὸν, τὸ ἐν χάριτος μέρει θεοποιούμενον, καὶ Θεὸς κατὰ φύσιν οὐκ ὂν, ἀνάγκη καθ' ἑαυτὸ καὶ ἰδιαζόντως ὑπάρχειν τι καὶ ὑφεστάναι, εἶθ' οὕτω προσθήκην ὥσπερ τινὰ τὴν τοῦ ἀξιώματος δέχεσθαι περιβολήν·

[07491] ὥσπερ οὖν καὶ ἡμεῖς ἄνθρωποι κατὰ φύσιν ὑπάρχοντες, χάριτι πλουτοῦμεν τὸ καλεῖσθαι θεοί.

[07492] Ἢ τοίνυν λεγέτωσαν τί μὲν πρότερον ἦν ὁ ἐκ Πατρὸς Θεὸς προελθὼν Λόγος, πῶς [75.533] δὲ καὶ ὕστερον ἐκλήθη Θεός·

[07493] ἢ εἴπερ αἰσθάνονται δυσσεβοῦντες ἀμέτρως, τῆς κατὰ φύσιν θεότητος ἀπογυμνοῦντες τὸν Υἱὸν, παυέσθωσαν ἀμαθῶς πεποιῆσθαι λέγοντες τὸν κατὰ φύσιν ὄντα Θεὸν, οὐδενὸς αὐτοῖς τοῦτο φρονεῖν ἐπιτρέποντος λόγου.

[07494] ΑΛΛΟ.

[07495] Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν.

[07496] Οὐκ ἔξωθεν ὄντα τῆς τοῦ Πατρὸς οὐσίας ἐπιδεικνύει τὸν Υἱὸν, ἀλλ' ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ κατὰ φύσιν ὑπάρχοντα.

[07497] Καὶ τοῦτο πάλιν, οὐκ ἐν χρόνῳ φησὶ λαβεῖν τὸ ἀξίωμα, ἀλλ' οὕτως εἶναι ἐν ἀρχῇ.

[07498] Ὁ δὲ τῆς τοῦ γεννήσαντος οὐσίας καρπὸς ἀληθὴς, κατὰ τίνα τρόπον ἑτεροφυὴς εὑρεθήσεται;

[07499] Ὥσπερ γὰρ ἐξ ἀκανθῶν οὐκ ἄν τις τρυγήσαι σταφυλὰς, οὕτως ἀδύνατον ἐξ ἀμπέλου τεχθῆναι τὴν ἄκανθαν.

[07500] Οὐκοῦν ἐπειδήπερ Θεὸς κατὰ φύσιν ἐστὶν ὁ Πατὴρ, οὕτως ἡμῖν ἕξει καὶ ὁ Υἱὸς, ἵνα μὴ φαίνηται τῶν ἑαυτοῦ ποιημάτων ἐλάττων ὁ Θεὸς καὶ Πατήρ·

[07501] εἴ γε τὰ μὲν οὐκ ἔκφυλον τὸν ἐξ ἑαυτῶν ἀποτίκτει καρπὸν, ὁ δὲ τοῦτο φαίνοιτο παθὼν διὰ τὸ γεννᾷν τὸν μὴ φύσει Θεόν.

[07502] Τοῦτο γὰρ τὸ πεποιῆσθαι δίδωσι νοεῖν καθ' οὗπερ ἂν φέροιτο.

[07503] Οὐ γὰρ ἂν εἴη φύσει Θεὸς ὁ πεποιημένος.

[07504] ΑΛΛΟ.

[07505] Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν.

[07506] Εἰ ἐν τῷ πάντα εἰπεῖν, οὐδὲν ὅλως καταλελοιπὼς εὑρίσκεται, ὃ μὴ τῷ τῶν γεγονότων ἀριθμῷ συγγράφεται, ἕτερος ἄρα ἐστὶ παρὰ πάντα λοιπὸν, ὁ πάντα πρὸς τὸ εἶναι κεκληκὼς Θεὸς Λόγος.

[07507] Πῶς οὖν ἕτερος, εἴπερ ἐστὶν ὁμογενής τε αὐτοῖς καὶ συμπεποιημένος;

[07508] Ἐπειδὴ δὲ ἕτερος, οὐκ ἄρα ὁμογενής.

[07509] Οὐκοῦν οὐδὲ ποίημα, ποιητὴς δὲ μᾶλλον καὶ κτίστης, ὡς Θεός.

[07510] ΑΛΛΟ.

[07511] Γέγραπται·

[07512] Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.

[07513] Πῶς οὖν, εἴπερ ἐστὶ ποίημα, κατ' ἐκείνους, ὁ Υἱὸς, προσκυνεῖται παρ' ἡμῶν τε καὶ τῶν ἁγίων ἀγγέλων;

[07514] Καὶ μάρτυς ὁ Παῦλος παρέσται λέγων·

[07515] Ὅταν δὲ εἰσαγάγη τὸν Πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει·

[07516] Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.

[07517] Πῶς δὲ, εἰπέ μοι, κατὰ τῶν λελατρευκότων τῇ κτίσει παρὰ τὸν κτίσαντα, βαρύ τι τὸ ἔγκλημα φέρεται, εἴπερ ὧδε φύσεως ἔχοντα τὸν Υἱὸν καὶ κτίσμα τυγχάνοντα, κατ' αὐτοὺς, θεραπεύουσιν ὡς Θεὸν καὶ αἱ καθαρώταται τῶν οὐρανῶν δυνάμεις;

[07518] αἷς δὴ καὶ μάλιστα τὸ μηδαμοῦ πλανᾶσθαι δοίη τις ἂν προσεῖναι δικαίως, ὅσῳ δὴ καὶ μᾶλλόν εἰσι τῶν παρ' ἡμῖν συνετῶν νουνεχέστεραι.

[07519] Ἀλλ' οὐδεὶς ὁ ἔλεγχος τοῖς λατρεύουσι Χριστῷ, ἐκ δὲ τῶν ἐναντίων πολὺς ὁ μισθός.

[07520] Οὐκ ἄρα ἐστὶ ποίημα, Θεὸς δὲ μᾶλλον, ἀκατηγορήτως τε καὶ ἀνεγκλήτως παρὰ πάσης ὁμοῦ τῆς κτίσεως προσκυνούμενος.

[07521] ΑΛΛΟ, ἐκ τοῦ αὐτοῦ.

[07522] Εἰ ποίημα καὶ κτίσμα, κατ' ἐκείνους, ἐστὶν ὁ Υἱὸς, [75.536] πάντα δὲ δι' αὐτοῦ γεγονότα φαίνεται, ἑαυτὴν ἡ κτίσις δημιουργεῖ, καὶ μάτην ὡς ποιητὴς ἐπικομπάζει, λέγων·

[07523] Ἡ χείρ μου ἐποίησε ταῦτα πάντα.

[07524] Ἀλλ' οὐδὲ[ν] τῶν πεποιημένων φαίνεται δημιουργοῦν, Θεὸν δὲ ἡ κτίσις ἀνακηρύττει τὸν ποιητήν.

[07525] Οὐκ ἄρα κτίσμα ἐστὶν ὁ Υἱὸς, οὐδὲ τῶν ποιημάτων ἓν, κατὰ τὴν τῶν πλανωμένων ἀβουλίαν τε ὁμοῦ καὶ ἀσέβειαν.

[07526] ΑΛΛΟ.

[07527] Ἦν τὸ φῶς τὸ ἀληθινόν.

[07528] Εἰ φωτὸς ὄντος ἀληθινοῦ τοῦ Πατρὸς, φῶς ἀληθινόν ἐστι καὶ ὁ Υἱὸς, ποίαν ἕξει τὴν διαφορὰν, κατά γε τὸν τῆς φύσεως λόγον, ὡς πρὸς αὐτὸν ὁ ἐν ἴσῃ τάξει καὶ κατὰ τοῦτο τιθέμενος αὐτῷ;

[07529] Εἰ δὲ ὑπάρχων ἑτεροφυὴς, κατὰ τὴν τῶν ἀνοσίων αἱρετικῶν ἀβουλίαν, ἀληθινὸν εἶναι δύναται φῶς, τίς ἡ ἐπιτήρησις τοῖς ἁγίοις εὐαγγελισταῖς;

[07530] Τί δὲ ὡς μέγα καὶ ἐξαίρετον τῷ Θεῷ καὶ Πατρὶ τὸ εἶναι φῶς ἀληθινὸν ἀπονέμουσι;

[07531] Φαίνεται γὰρ, καίτοι κατ' ἐκείνους γενητὸς ὢν ὁ Υἱὸς, φῶς ὑπάρχων ἀληθινόν.

[07532] Εἴπερ οὖν ἄβατα τοῖς γενητοῖς ἐστι τὰ θεῖα πλεονεκτήματα, καὶ οὐκ ἄν τι τῶν πεποιημένων οὐσιωδῶς, ἤτοι κυρίως, τοῦτο ὑπάρχει ποτὲ, ὅπερ ἂν εἴη φυσικῶς κατά τι γοῦν ὁ ἐπὶ πάντων Θεός·

[07533] Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;

[07534] εἰρήσθω τῇ κτίσει.

[07535] Εὑρίσκεται δὲ φυσικῶς ἐνυπάρχοντα τῷ Υἱῷ τὰ τοῦ Πατρὸς ἴδια.

[07536] Ὁμοούσιος ἄρα ἐστὶν ὡς πρὸς αὐτὸν, καὶ τοσοῦτον τῆς τῶν γενητῶν ὁμογενείας ἀπῳκισμένος, ὅσον ἄν τις ἴδοι καὶ τὸν γεννήσαντα αὐτόν.

[07537] Διὰ τοῦτο καὶ ἄβατον ἔχει τὸ θεοπρεπὲς ἀξίωμα, καὶ τοῦτο οὐ μερικῶς, ἀλλ' ὁλοκλήρως.

[07538] ΑΛΛΟ.

[07539] Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.

[07540] Εἰ τὸ ἀποστελλόμενον τῷ κόσμῳ φῶς παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ὁ Λόγος ἐστὶν ὁ ἐξ αὐτοῦ προελθὼν, κατὰ τὸ εἰρημένον παρ' αὐτοῦ·

[07541] Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ ἥκω·

[07542] καὶ πάλιν·

[07543] Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα·

[07544] πρὸς αὐτὸν ἄρα φησὶ καὶ ὁ μακάριος Ψαλμῳδὸς, τὴν πνευματικὴν ἀνακρουόμενος λύραν·

[07545] Ὅτι σὺ φωτιεῖς λύχνον μου, Κύριε ὁ Θεὸς, φῶς εἰς τὸ σκότος μου.

[07546] Ὅτε τοίνυν κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνὴν ὁ μακάριος Δαβὶδ ἐν Πνεύματι Κύριον αὐτὸν ὁμολογεῖ καὶ Θεὸν, πῶς ἔσται ποίημα, κατὰ τίνα δὲ τρόπον γενητὸς ὅλως ὁ φύσει Θεός;

[07547] ΑΛΛΟ.

[07548] Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι.

[07549] Περιαθρείτω μοι πάλιν καὶ τοῦτο τοιῶσδε, καὶ ἀκουέτω καὶ νῦν ὁ φιλεγκλήμων αἱρετικός.

[07550] Τόπος ὥσπερ οἰκεῖός ἐστιν ἑκάστῳ τῶν ὄντων, ὁ ἴδιος τῆς φύσεως λόγος, ἢ καὶ τὸ τοῦ προσόντος ἀξιώματος μέτρον.

[07551] Οἷον ἐπὶ μὲν τοῦ λόγου τοῦ κατὰ τὴν φύσιν, ἐγὼ μὲν ἄνθρωπος, ἄγγελος δὲ ἕτερος.

[07552] Τὸ δὲ ὅσον εἰς ἀξίωμα, τὸ μέν τοι δοῦλόν ἐστι, τὸ δὲ οὐ τοῦτο τυχὸν, ἀλλ' ἐλεύθερον.

[07553] Ἀλλ' ὅταν τι τούτων τῷ βελτιοῦν εἰδότι συμπλακὲν, ἕτερόν τι [75.537] φαίνηται γεγονὸς παρ' ὅπερ ἦν ἐξ ἀρχῆς, ἐξηλκύσθη τρόπον τινὰ τοῦ οἰκείου τόπου, καὶ πρὸς τὴν τοῦ βελτιοῦντος μετακεχώρηκε θέσιν.

[07554] Τοῦτο καὶ ἡμεῖς ὑπομείναντες, εἰς υἱότητα τὴν Θεοῦ καὶ Πατρὸς μετέστημεν ἐκ δουλείας, τὸ μὲν οἰκεῖον ἐκβεβηκότες μέτρον, εἰς δὲ τὸ τοῦ χαριζομένου καὶ τοῦτο ἡμῖν μεταπηδήσαντες, εἰ καὶ μὴ τῇ φύσει κατὰ γοῦν τὸ κεκλῆσθαι τέκνα Θεοῦ.

[07555] Ἆρ' οὖν οὐκ ὠφελῆσθαι τὴν ἀνθρώπου φύσιν κατὰ τοῦτο φήσομεν;

[07556] Ἀλλ' ἔστιν ὁμολογούμενον.

[07557] Εἶτα τίς ἔσται τῆς ὠφελείας ὁ τρόπος, εἰ μηδὲν ὅλως τὸ μεταξὺ ποιήματος καὶ Υἱοῦ;

[07558] Ποία δὲ ὅλως ἐν ἡμῖν φαίνεται μετάστασις ἡ ἐπὶ τὸ ἄμεινον, εἰ μηδὲν ἐν υἱότητι τὸ πλέον παρὰ τὸ πεποιῆσθαι κείσεται;

[07559] Ἢ πῶς ἂν αὐτοὶ χρηματίσαιμεν υἱοὶ, ὡς λαβόντες ἐν αὐτοῖς τὸν τοῦ Θεοῦ Λόγον, εἰ μὴ κατὰ φύσιν Υἱὸς ὑπάρχει τοῦ Πατρός;

[07560] Εἰ δὲ Υἱὸς κατὰ φύσιν ἐστὶ, πῶς ἂν εἴη καὶ ποίημα, οὐκ ἐνδεχομένου μὴ πάντως ἐκ τῆς τοῦ γεννήσαντος εἶναι φύσεως, ὅπερ ἂν εἴη γεννηθὲν ὑπό τινος;

[07561] ΑΛΛΟ.

[07562] Ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

[07563] Εἰ μὴ Θεὸς κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, θετὸς ἄρα καὶ διεψευσμένος.

[07564] Ἀλλ' εἴπερ ἀλήθεια καὶ τῆς ἀληθείας ἐργάτης ἐστὶ, πῶς ἂν εἴη καὶ ἐψευσμένος;

[07565] Οὐκοῦν κατὰ φύσιν Θεός.

[07566] Ὁ δὲ τοῦτο ὑπάρχων, πῶς ἂν εἴη γενητός;

[07567] ΑΛΛΟ.

[07568] Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

[07569] Φησί που πρὸς τὸν τῶν ὅλων Δεσπότην ὁ μακάριος προφήτης Ἡσαΐας·

[07570] Τίς Θεὸς ὥσπερ σὺ, ἐξαίρων ἀνομίας καὶ ὑπερβαίνων ἀδικίαν;

[07571] Ὅτε τοίνυν Θεοῦ ταῦτα ποιεῖν λεγομένου, Χριστός ἐστιν ἀφαιρῶν τὴν ἁμαρτίαν τοῦ κόσμου, πῶς οὐκ ἔστι Θεός;

[07572] Εἰ δὲ τοῦτο, οὐ ποίημα.

[07573] ΑΛΛΟ.

[07574] Τῇ ἐπαύριον, φησὶν, ἠθέλησεν ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν, καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ·

[07575] Ἀκολούθει μοι.

[07576] Ἀναδείκνυσιν ἐν τούτοις μαθητὴν τὸν Φίλιππον ὁ Σωτήρ.

[07577] Σκόπει δὴ οὖν εἰ μὴ σοφός τις καὶ ἐπ' αὐτῷ διήρτισται λόγος, συναινεῖν ἀναπείθων, ὅτι δὴ καὶ ὑπάρχοι Θεὸς κατὰ φύσιν ὁ Υἱός.

[07578] Πολλῶν ἀεὶ τῷ Σωτῆρι προσεδρευόντων, καὶ μυριάνδρου τοὺς μαθητὰς περιθέοντος πλήθους, ἐπάρας τοὺς ὀφθαλμοὺς, ἔφησεν αὐτοῖς ὁ Σωτήρ·

[07579] Ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι·

[07580] δεήθητε οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλη ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ·

[07581] θερισμὸν οὐδὲν ἕτερον εἶναι λέγων, ἢ τοὺς διὰ τῆς πίστεως τῆς εἰς ἑαυτὸν ἀσταχύων δίκην ἀναβλαστῶντας εἰς εὐλάβειαν.

[07582] Τούτων δὲ τίς ἂν εἴη Κύριος, εἰ μὴ πάντων Θεός;

[07583] Ὧ δὴ καὶ ὁ Παῦλος διὰ μετανοίας συνάπτεσθαι τοὺς ἔτι κληρονόμους παρακαλεῖ βοῶν·

[07584] Δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ.

[07585] Ὅτι τοίνυν μόνος ἐστὶ τοῦ θερισμοῦ Κύριος ὁ Θεὸς, ἅτε δὴ πάντων ὑπάρχων [75.540] Δεσπότης καὶ ποιητὴς, αὐτῷ δὲ προσήκειν μόνῳ καὶ τὴν τῶν ἐργατῶν ἀνάδειξιν ἔφησεν ὁ Σωτήρ·

[07586] εἶτα τοῦτο ποιήσας αὐτὸς ἐξ οἰκείας αὐθεντίας ὁρᾶται·

[07587] ἀκολουθεῖν γὰρ αὐτῷ κελεύει τὸν Φίλιππον.

[07588] Θεὸς ἄρα ἐστὶν ἀληθινὸς, ἅτε δὴ καὶ τοῦ θερισμοῦ Κύριος δι' αὐτοῦ καταληφθεὶς τοῦ πράγματος.

[07589] ΑΛΛΟ.

[07590] Ἄρατε ταῦτα ἐντεῦθεν, μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρὸς, οἶκον ἐμπορίου.

[07591] Εἰ ποίημά ἐστιν ὁ Υἱὸς, κατὰ χάριν ἔχει δηλονότι καὶ τὸ κεκλῆσθαι Θεὸς, καὶ θετὸν αὐτῷ τὸ τῆς υἱότητος ὄνομα, καθάπερ οὖν καὶ τοῖς ἄλλοις λογικοῖς κτίσμασιν, οἷς οὐχ ἡ φύσις τὸ ἀξίωμα προξενοῦσα φαίνεται, ἀλλ' ἡ τοῦ λέγοντος χάρις·

[07592] Ἐγὼ εἶπα·

[07593] Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες.

[07594] Εἰ τοίνυν οὐκ οὐσιωδῶς Υἱός ἐστιν, ἀδελφὸς ἄρα τῶν κεκλημένων εἰς υἱότητα Θεοῦ.

[07595] Πῶς οὖν, εἴπη τις ἂν εἰκότως, οὐδὲν ἔχων, ὡς πρὸς ἡμᾶς τὸ πλέον εἰς τὸ τῆς υἱότητος ἀξίωμα, τὸν κοινὸν δὴ καὶ πάντων μόνος ἰδιοποιεῖται Πατέρα, λέγων·

[07596] Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου;

[07597] Ἐχρῆν γὰρ δὴ τὸν ὄντα δίκαιόν τε καὶ ἀγαθὸν τοῖς ἐμπορευομένοις εἰπεῖν·

[07598] Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρὸς ὑμῶν, οἶκον ἐμπορίου.

[07599] Ἀλλὰ μὴν τοῦτο εἰπὼν οὐ φαίνεται, ἑαυτῷ δὲ μόνῳ τὸ τοῦ Πατρὸς ὄνομα μετὰ πολλῆς τινος ἐπιγράφει τῆς ἐξουσίας.

[07600] Οἶδεν ἄρα κυρίως ὄντα ἑαυτὸν καὶ κατὰ φύσιν Υἱὸν, οὐ κατὰ μίμησιν ἡμεῖς εἰς τοῦτο παρὰ Θεοῦ κεκλήμεθα.

[07601] Ὁ δὲ οὕτως ἔχων φύσεως Υἱὸς, πῶς ἂν εἴη γενητός;

[07602] ΑΛΛΟ.

[07603] Τί σημεῖον δεικνύεις ἡμῖν ὅτι ταῦτα ποιεῖς;

[07604] Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς·

[07605] Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.

[07606] Ὅτι ναὸν τὸ ἴδιον ἀποκαλεῖ σῶμα Χριστὸς, καὶ αὐτὸς ἡμῖν ὁ εὐαγγελιστὴς καταστήσει φανερὸν εὐθὺς ἐπάγων·

[07607] Ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ.

[07608] Ὅτε οὖν ἠγέρθη ἐκ τῶν νεκρῶν, ἐμνήσθησαν οἱ μαθηταὶ, ὅτι τοῦτο ἦν ὃ ἔλεγεν αὐτοῖς.

[07609] Ναὸς τοιγαροῦν οὐκ ἂν λέγοιτό τι κυρίως καὶ ἀληθῶς μὴ ἐνοικοῦντος ἐν αὐτῷ τοῦ Θεοῦ.

[07610] Ὥσπερ οὖν καὶ ἐφ' ἡμῶν οὐκ ἄν τις ὀνομάσαι τὸ σῶμα ναὸν τῆς ἐνοικούσης ἐν αὐτῷ ψυχῆς·

[07611] ναοὶ δὲ τότε χρηματίζομεν, ὅτε διὰ τῆς εἰς Χριστὸν πίστεως τὸ Πνεῦμα ἡμῖν τὸ ἅγιον ἐνοικίζεται.

[07612] Ναὸς δὲ τὸ σῶμα τοῦ Χριστοῦ δικαίως τε καὶ ἀληθῶς·

[07613] ἐν αὐτῷ γὰρ εὐδόκησεν ἐγκατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, ὡς ὁ Παῦλός φησιν·

[07614] ἀλλ' ἔστι δῆλον ὡς ὁ Θεὸς Λόγος ὁ ἐνοικήσας ἐστί.

[07615] Πῶς ἂν οὖν ὑπάρχοι γενητὸς, ὁ ναὸν ἀποδείξας ὡς φύσει Θεὸς τὸ ἐν ᾧπερ ἦν ἅγιον σῶμα;

[07616] ΑΛΛΟ.

[07617] Ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ Πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει.

[07618] Αὐτὸς δὲ Ἰησοῦς οὐκ ἐπίστευσε αὐτὸν αὐτοῖς διὰ τὸ αὐτὸν γινώσκειν πάντας, καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρ [75.541] τυρήσῃ ἐν τῷ ἀνθρώπῳ·

[07619] αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ.

[07620] Τὴν θείαν ὑπερθαυμάζων φύσιν ὁ Ψαλμῳδὸς, ὡσανεὶ μέγα τι καὶ ἀξιολογώτατον πλεονέκτημα, καὶ αὐτῇ μόνῃ κυρίως προσὸν, προΐσχεται λέγων ὡς πρὸς τὸν τῶν ὅλων Δεσπότην·

[07621] Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς πάντα τὰ ἔργα αὐτῶν.

[07622] Ἔστι δὲ, ὡς οἶμαι, δῆλον ὅτι περὶ ἀνθρώπων τὰ τοιαῦτά φησιν.

[07623] Ὅτε τοίνυν μόνου τοῦ κατὰ τὴν ἀλήθειαν ὄντος Θεοῦ τὸ εἰδέναι ἐστὶ καρδίαν, καὶ πάντα συνιέναι τὰ ἐν ἀνθρώπῳ κρυπτά·

[07624] συνίησι καὶ οἶδεν ὁ Υἱὸς, πῶς οὐκ ἂν εἴη φύσει τε καὶ ἀληθῶς Θεός;

[07625] Εἰ δὲ τοῦτο, πῶς ἂν εἴη γενητός;

[07626] ΑΛΛΟ.

[07627] Τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ πρὸς Ναθαναὴλ εἰπόντος·

[07628] Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε·

[07629] πάλιν αὐτός φησιν, ὁ Ναθαναὴλ, ὡς Θεὸν ἀποθαυμάζων ἐξ ἑνὸς δὴ τούτου καὶ μόνου σημείου·

[07630] Ῥαββὶ, σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ·

[07631] σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ.

[07632] Εἴπερ οὖν, κατὰ τὴν ἐπ' αὐτῷ τοῦ Σωτῆρος ἡμῶν μαρτυρίαν, ἀληθῶς Ἰσραηλίτης ὑπῆρχεν ὁ Ναθαναὴλ, ἐν ᾧ δόλος οὐκ ἦν, πῶς ἂν αὐτὸν ἐνδέχοιτο ψεύδεσθαι περὶ τοῦ Χριστοῦ λέγοντα, ὅτι Σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ καὶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ;

[07633] Εἰ γὰρ οἶδεν ὅλως τὸ ψεύδεσθαι, δόλον ἐπὶ γλώττης φορεῖ.

[07634] Εἰ δὲ ἀληθὴς ἡ τοῦ Σωτῆρος φωνὴ, δόλον οὐκ εἶχε, ψεύδους καὶ ἀπάτης ἐλεύθερος ὤν.

[07635] Οὐκοῦν ἀληθὴς, Υἱὸν ἀποκαλῶν τὸν τοῦ Θεοῦ Λόγον καὶ μετὰ σαρκὸς, καὶ τὸ τῷ κατὰ φύσιν Υἱῷ πρέπον ἀξίωμα συνάψας·

[07636] βασιλέα γὰρ Ἰσραὴλ ὀνομάζει.

[07637] Ὁ δὲ ὑπάρχων Υἱὸς καὶ βασιλεὺς διὰ τοῦτο, πῶς ἂν εἴη δοῦλός τε ὁμοῦ καὶ πεποιημένος;

[07638] ΑΛΛΟ.

[07639] Εὑρίσκεταί που Χριστὸς ἀπαιδεύτως ἐρωτᾷν ἐπιχειροῦσι τοῖς Φαρισαίοις εἰπών·

[07640] Πλανᾶσθε μὴ εἰδότες τὰς Γραφάς·

[07641] ἦν γὰρ δὴ καὶ ὄντως διδασκάλῳ σοφῷ πρεπωδέστατον σπούδασμα, καὶ τοὺς οἵπερ ἦσαν ἐπερωτῶντες ἐπανορθοῦν, καὶ τοῖς οὐκ εἰδόσιν ἡγεῖσθαι τὰ κάλλιστα.

[07642] Οὐκοῦν εἴπερ ὄντως τῆς ἀληθείας ὁ Ναθαναὴλ ἀπεσφάλ[λ]ετο, καὶ Υἱὸν τοῦ Θεοῦ καὶ βασιλέα τοῦ Ἰσραὴλ τὸν Χριστὸν ἀποκαλῶν, τί μὴ παραχρῆμα πρὸς τὴν εὐθεῖαν ἤγετο γνῶσιν, Ἐπλανήθης, ὦ οὗτος, ἀκούων;

[07643] Ἔχει γὰρ οὐχ οὕτως, καθάπερ αὐτὸς ὑπετόπησας.

[07644] Εἰ μὴ γὰρ οὐχ Υἱὸς τοῦ Θεοῦ, ποίημα δὲ μᾶλλον·

[07645] καὶ βασιλεὺς μὲν οὐδαμῶς, δοῦλος δὲ ὡς πεποιημένος.

[07646] Τοῦτο γὰρ ἦν οὕτως ὠφελῆσαι μάλιστα πρὸς τὰ καιριώτατα τὸν εἰς μαθητείαν ἄρτι κεκλημένον, καὶ πρὸς τοῦτο βαδίζοντα.

[07647] Ἄλλως τε καὶ τὴν αὐτῷ πρέπουσαν ἐπιστήμην ὁ διδάσκαλος ἀλοιδόρητον ἂν διεσώσατο, πρῶτον αὐτῷ καὶ σωτήριον ὥσπερ μάθημα παραθεὶς, τῆς οὐκ ἀληθοῦς διαλήψεως τὴν ἀπαλλαγήν.

[07648] Ἐπεὶ δὲ τοῦτο ποιεῖν εἰθισμένος ἐπὶ τῶν ἄλλων, ἐπὶ ταῖς τοῦ Ναθαναὴλ ὁμολογίαις μονονουχὶ καὶ ἐκπλήττεται, δῆλος ἂν εἴη δήπουθεν ὡς σοφῶς τε καὶ εὐπαιδεύτως νενηκότα τιμῶν.

[07649] Εἰ δὲ τὸ εἶναι Υἱὸς Θεοῦ καὶ βασι [75.544] λεὺς τοῦ Ἰσραὴλ καταδέχεται, πῶς ἂν εἴη γενητὸς ἢ πεποιημένος ἢ Λόγος ἐστίν;

[07650] Οὔτε γὰρ εἰς υἱότητα τὸ ποιηθὲν, οὔτε μὴν εἰς βασιλείαν τὴν κατὰ φύσιν κεκλήσεται.

[07651] Δοῦλα γὰρ τοῦ πεποιηκότος τὰ σύμπαντα, καὶ τὸ ποιηθὲν ὅλως, οὐκ ἂν εἴη γεγεννημένον.

[07652] ΑΛΛΟ.

[07653] Οὕτως γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν μονογενῆ αὐτοῦ Υἱὸν ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

[07654] Εἰ τὸ μέγα καὶ ὑπερφυὲς τῆς ἀγάπης τοῦ Θεοῦ καὶ Πατρὸς Κύριος ἔχει περὶ τὸν κόσμον, ἐν τούτῳ διαγινώσκεται, ἐν τῷ εἶναι Υἱὸν τὸν ὑπὲρ αὐτοῦ καὶ δι' αὐτὸν σαρκὶ κινδυνεύσαντα, σμικρὸν ἄρα φαίνεται τὸ πρᾶγμα, καὶ τοῦ μηδενὸς ἄξιον, εἰ μὴ Υἱός ἐστιν, ἀλλὰ ποίημα τὸ δοθὲν ὑπὲρ αὐτοῦ.

[07655] Εἴη δ' ἂν καὶ ἑτέρως τὸ τοῦ Μονογενοῦς ὄνομα πεπλασμένον τε καὶ οὐκ ἀληθές.

[07656] Εἰ γάρ ἐστι τῶν ποιηθέντων ὁ Υἱὸς, πῶς ἂν νοοῖτο μονογενής;

[07657] Ἐπειδὴ δὲ μεγάλη τε καὶ ἐξαίρετος ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, Υἱὸς ἄρα ἐστὶν ὁ ὑπὲρ τῆς τοῦ κόσμου δοθεὶς σωτηρίας.

[07658] Ἐν τούτῳ γὰρ ὄντως ἐστὶ τοῦ πράγματος τὸ ἀξίωμα.

[07659] Ἔστι δὲ καὶ μονογενής·

[07660] οὐκ ἄρα τῶν ποιημάτων εἷς, ἀλλ' ὡς μόνος ἐκ Πατρὸς γεννηθείς.

[07661] Τοῦτο γάρ τε καὶ πρᾶγμα.

[07662] ΑΛΛΟ.

[07663] Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος.

[07664] Τὸ μέγα τοῦ πάντων Δεσπότου πρόσωπον, ἡμῖν εἰσφέρων ὁ προφήτης Ἡσαΐας, φησίν·

[07665] Ἐγώ εἰμι ὁ Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ σώζων δίκαιος καὶ Σωτήρ.

[07666] Εἰ δὲ ταῦτα πάντα ἐστὶν ὁ Υἱὸς καὶ διασώζει τὸν κόσμον, διά τε τοῦτο παρὰ τοῦ Πατρὸς ἀπεστάλθαι λέγεται·

[07667] αὐτὸς ἄρα ἐστὶν ὁ διὰ τοῦ προφήτου λέγων·

[07668] Ἐγώ εἰμι ὁ Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ.

[07669] Εἶτα πῶς ἂν ὁ τοῦτο ὑπάρχων νοοῖτο καὶ γενητός;

[07670] ΑΛΛΟ.

[07671] Ἰωάννης φησὶν ὁ μακάριος Βαπτιστὴς περὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, ὅτι Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι.

[07672] Ἆρ' οὖν εἴποι τις ἂν, ὅτῳ δὴ τὸ νοεῖν ἄριστα περισπούδαστον, τήν τε αὔξησιν ἐνθάδε καὶ τὴν ἐλάττωσιν περὶ τὰς τῶν σωμάτων ἡλικίας σημαίνεσθαι·

[07673] καὶ πῶς οὐκ ἂν φαίνοιτο ληρῶν εἴ γέ τοι τοιοῦτον ἐκλάβοι κατὰ διάνοιαν;

[07674] Αὔξην μὲν γὰρ ἐπιδέχεται τυχὸν τῶν ἀνθρωπίνων σωμάτων ἡ φύσις·

[07675] τὸ δὲ κάτω πίπτον καὶ τὸ ἅπαξ ἐξυφανθὲν παρὰ τῆς φύσεως μέτρον, ἀδύνατον ὑφιζάνειν αὐτομάτως καὶ ἀπλεονέκτως·

[07676] πολλὰ γὰρ τὰ τοῖς ἡμετέροις σώμασιν ἐπισυμβαίνοντα πάθη.

[07677] Οὐκοῦν ἀπίθανον κομιδῇ περὶ σωμάτων εἰρῆσθαι τὸ, Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι.

[07678] Ἀξιόπιστον δέ τι καὶ τῆς Ἰωάννου διανοίας οὐ ξένον ἀκόλουθον ἐννοεῖν.

[07679] Αὔξει τοιγαροῦν Χριστὸς ἀεὶ τὸν Ἰωάννην ἐλάττονα δεικνύς·

[07680] οὐκ ἐν τῷ προφέρειν ὡς ἄνθρω [75.545] πον ἀνθρώπου, ἢ ὡς ποίημα ποιήματος (μικρὰ γὰρ καὶ οὐ λίαν ἀξιόχρεως ἡ διαφορὰ), ἀλλ' ἐν τῷ διὰ τῶν ἔργων αὐτὸν μὲν ὁρᾶσθαι Θεὸν, καὶ πρὸς τὸ ἐντεῦθεν ἀναβαίνειν ὕψος ἀεὶ, τὸν δὲ ὡς ἄνθρωπον ὑποπίπτειν τοσοῦτον ὅσον τῆς θείας οὐσίας τὸ ἀνθρώπινον ἐλαττοῦται γένος.

[07681] Εἶτα πῶς οὐ λίαν ἔσται δυσσεβὴς ὁ τὸν εἰς τοῦτο τρέχοντα τὸ ἀξίωμα τῇ τοῦ πεποιῆσθαι σμικροπρεπείᾳ περιβάλλειν ἀποτολμῶν;

[07682] ΑΛΛΟ.

[07683] Ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστί.

[07684] Τὸ ἄνωθεν ἐν τούτοις οὐδὲν ἕτερον οἶμαι σημαίνειν, ἢ τὸ ἐκ τῆς ἀνωτάτω πασῶν οὐσίας.

[07685] Οὐ γὰρ δήπου σωματικοῖς, ἵν' οὕτως εἴπωμεν, καὶ τοπικοῖς ὑψώμασιν ἐναμβρύνεσθαι τὸν Υἱὸν ἐροῦμέν τε ἡμεῖς, ἢ καὶ τὸν ἅγιον Βαπτιστὴν διισχυρίζεσθαι δώσομεν.

[07686] Ὅπου τοίνυν τὸ ἄνωθεν οὐκ ἐκ τόπου νοεῖται σωματικοῦ, ἀλλ' οὐδὲ τὴν ἀπό τινος εἰς ἑτερόν τι κίνησιν ἔχει πραγματικῶς, τί ἂν ἕτερον εἴη λοιπὸν, ἢ ὅπερ εἴπομεν φθάσαντες, αὐτῆς ἄνωθεν οὐσίας, τῆς ἐν τῷ εἶναι, θεοπρεπῶς τὸ τοῦ ἀξιώματος ὕψος ἐχούσης;

[07687] Πῶς οὖν ὁ ἐντεῦθεν προεληλυθὼς Θεὸς Λόγος τὴν μὲν ἀπογεννήσασαν αὐτὸν διαψεύσεται φύσιν, ἀνατελεῖ δὲ ἡμῖν ἑτερογενής τε καὶ ἔκφυλος, ποίημα μᾶλλον καὶ οὐχ Υἱὸς, δοῦλος καὶ οὐ Δεσπότης;

[07688] Πῶς δ' ἂν καὶ ἐπάνω πάντων νοηθείη λοιπὸν, ὁ διὰ τὸ εἶναι τοῖς πᾶσιν ὁμογενὴς, μετὰ πάντων ὑποκεῖσθαι παρ' ἐκείνων ἀναγκαζόμενος, εἴπερ ὄντως ἐστὶ πεποιημένος;

[07689] Καὶ γὰρ ἀληθεύει λέγων ὁ Ψαλμῳδὸς, ὡς πρὸς Θεὸν καὶ Πατέρα·

[07690] Ὅτι τὰ σύμπαντα δοῦλά σου.

[07691] Τοῦτο γὰρ τὸ πρέπον τῇ κτίσει μέτρον·

[07692] ὁ δὲ Υἱὸς ἐπάνω πάντων ἐστίν.

[07693] Οὐκ ἄρα τῶν ὑποκειμένων δουλικῶς εἷς ὑπάρχει καὶ αὐτὸς, μᾶλλον δὲ τὸ ἐναντίως ἔχον τῷ τοιῷδε σχήματί τε καὶ πράγματι.

[07694] ΑΛΛΟ, ἐκ τοῦ αὐτοῦ.

[07695] Εἰ ἐπάνω πάντων ἐστὶν ὁ Υἱὸς, οὐκ ἐν τοῖς πᾶσι τετάξεται, ἀλλ' ἕτερος ἔσται παρὰ πάντα καὶ ἐπάνω, τουτέστιν, ἐν ὑψηλοτέρᾳ τινὶ καὶ ἀῤῥήτῳ φύσει τὴν ὁμοίωσιν ὑπερκειμένη τὴν πρὸς τὰ γενητά.

[07696] Τοῦτο γὰρ πάλιν ἡμῖν τὸ ἐπάνω σημαίνει, τὴν ὡς ἐν τόπῳ σωματικῶς παραιτούμενον θέσιν ἐπὶ Θεοῦ.

[07697] Εἰ δὲ οὕτως ἔχει φύσεώς τε καὶ λόγων τῶν καθ' ἑαυτὸν ὁ Υἱὸς, πῶς ἂν νοοῖτο καὶ πεποιημένος;

[07698] ΑΛΛΟ.

[07699] Περὶ τοῦ Σωτῆρός φησιν ὁ μακάριος Βαπτιστὴς, ὅτι Ὁ λαμβάνων αὐτοῦ τὴν μαρτυρίαν, ἐσφράγισε ὅτι Θεὸς ἀληθής ἐστιν.

[07700] Εἰ ὁ πιστεύων οἷς ἂν λέγοι καὶ διαβεβαιοῖτο Χριστὸς, ἐσφράγισε ὅτι ὁ Θεὸς ἀληθής ἐστι·

[07701] Χριστὸς ἄρα ἐστὶν ὁ Θεὸς ὁ ὢν ἀληθὴς παρὰ τῶν ἀκροωμένων πιστευόμενος·

[07702] Θεοῦ δὲ οὐκ ὄντος ἐν ἡμῖν προσφάτου, πῶς ἂν εἴη γενητός;

[07703] ΑΛΛΟ.

[07704] Φησί που πάλιν ὁ Σωτήρ·

[07705] Ἐγώ εἰμι ἡ ζωή.

[07706] Καὶ οὕτως ἔχειν περὶ αὐτοῦ πιστευτέον, εἴ γε Θεὸς οὐ ψεύδεται.

[07707] Ἀλλὰ μὴν οὐ ψεύδεται·

[07708] ἀληθὴς γάρ ἐστι.

[07709] Ζωὴ δὲ κατὰ φύσιν ὁ Υἱὸς, οὐκ ἄρα γενητὸς, [75.548] οὐδὲ πεποιημένος, ζωὴ δὲ μᾶλλον ὡς ἐκ ζωῆς, οὐσιωδῶς ἔχουσα τὸ εἶναι διὰ παντός.

[07710] Ὅπερ ἐστὶ τῷ γενέσθαι πολεμιώτατον.

[07711] Τὸ γὰρ ὅλως γεγονὸς ἀνάγκη λέγειν οὐκ εἶναι μὲν διὰ παντὸς, ἧχθαι δὲ χρόνῳ μᾶλλον εἰς γένεσιν.

[07712] ΑΛΛΟ.

[07713] Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι.

[07714] Διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν οἱ Ἰουδαῖοι ἀποκτεῖναι τὸν Ἰησοῦν, ὅτι οὐ μόνον ἔλυε τὸ Σάββατον, ἀλλὰ καὶ Πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ.

[07715] Ἀγανακτοῦσιν οἱ Ἰουδαῖοι κατὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, ὅτι φαινόμενος ἄνθρωπος, μὴ μᾶλλον Πατέρα κοινὸν, ἀλλ' ἴδιον ἀποκαλεῖ τὸν Θεὸν, λέγων·

[07716] Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται.

[07717] Ἀπὸ δὲ τοῦ λέγειν αὐτὸν ἴδιον Πατέρα τὸν Θεὸν, πρὸς φυσικήν τινα καὶ ἀληθῆ θεωρίαν καλούμενοι, καὶ τὴν πρὸς Θεὸν ἁρπάζειν ἰσότητά φασιν αὐτὸν, ἐπείπερ τὸ ἔκ τινος φυσικῶς προελθὸν, ἴσον ἐστὶ κατὰ τὸν τοῦ πῶς εἶναι λόγον τῷ ἐξ οὗπερ ἐστί.

[07718] Ταύτας οὖν ἐχόντων τῶν Ἰουδαίων τὰς ὑπονοίας περὶ Χριστοῦ, τίς δὴ ὁ σφάλ[λ]εσθαι τῆς ὀρθότητος καὶ, τῆς ἀληθείας εἰπὼν τοὺς τῇδε διακειμένους, ὅτι Πατέρα ἴδιον τὸν Θεὸν, ἴσον ἑαυτὸν ἐποίει τῷ γεγεννηκότι;

[07719] Ἀλλ' οὐδὲ αὐτὸς ὁ Σωτὴρ, καίτοι τῆς ἀληθείας προστάτης ὑπάρχων ἀεὶ, καὶ διὰ ταύτης τοὺς προσιόντας αὐτῷ χειραγωγῶν εἰς ἀπλανῆ καὶ καθαρωτάτην διάληψιν, τῆς τῶν Ἰουδαίων ὑπονοίας ἐπιλαμβάνεται.

[07720] Ἐκ δὲ τῶν ἐναντίων φαίνεται καὶ ὅπερ ὑπετόπησαν βεβαιῶν διὰ τοῦ λέγειν ἐφεξῆς·

[07721] Ἃ γὰρ ἐὰν ὁ Πατὴρ ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ.

[07722] Ἴδιον ἄρα Πατέρα τὸν Θεὸν ἐπίσταται, καὶ ἴσος ἐστὶν αὐτῷ, φυσικὴν ἔχων εἰς πάντα τὴν ὁμοίωσιν.

[07723] Ὁ δὲ τοιοῦτος Υἱὸς, πῶς ἂν εἴη καὶ ποίημα;

[07724] ΑΛΛΟ.

[07725] Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ.

[07726] Ποῖ ποτε ἄρα δραμεῖται καὶ νῦν τοῖς Χριστομάχοις ὁ λόγος;

[07727] Ἢ τί καὶ πρὸς ταύτην ἐροῦσι τοῦ Υἱοῦ τὴν φωνήν;

[07728] Πῶς ἀνίστησι τοὺς νεκροὺς ὁ Πατήρ;

[07729] Ἆρα ζωῆς τῆς ἐξ ἑτέρου μετέχων, ἢ αὐτὸς ὑπάρχων ἡ ζωὴ κατὰ φύσιν;

[07730] Ἀλλ', οἶμαι, πάντως αὐτὸν εἶναι δώσουσι τὴν ζωὴν, οὕτω τε δύνασθαι ζωογονεῖν τοὺς ἐν οἷς ἂν γένοιτο μεθεκτός.

[07731] Οὐκοῦν ἐπειδήπερ οὕτω καὶ ὁ Υἱὸς ζωογονεῖ τοὺς νεκροὺς, ζωὴ πάντως ἐκ ζωῆς κατὰ φύσιν ἐστίν.

[07732] Ὁ δὲ οὕτως ἔχων ἀπαραλλάκτως πρὸς τὸν Πατέρα, πῶς ἂν εἴη γενητὸς, εἴπερ οὐ τοῦτό ἐστιν ὁ Πατήρ;

[07733] Ἀλλὰ μὴν οὐ τοῦτο.

[07734] Ἦν γὰρ ἀεὶ καὶ ἔστιν ὡς ζωή.

[07735] Οὐκ ἄρα ποίημα ὁ Υἱὸς, ἀεὶ ζῶν καὶ ὑπάρχων, ὡς ὁ Πατήρ.

[07736] ΑΛΛΟ.

[07737] Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ πᾶσαν τὴν κρίσιν δέδωκε τῷ Υἱῷ, ἵνα πάντες τιμῶσι τὸν Υἱὸν, καθὼς τιμῶσι τὸν Πατέρα.

[07738] Θεὸς κατὰ φύσιν ἐστὶν ὁ Πατὴρ ὁμολογουμένως.

[07739] Ὁ δὲ Υἱὸς κατὰ τὴν [75.549] τῶν ἑτεροδοξούντων μανίαν, κτίσμα τε ὑπάρχων καὶ ποίημα, Θεὸς εἶναι κατὰ φύσιν οὐ δύναται.

[07740] Πῶς οὖν, εἴποι τις ἂν, ἰσοστάθμῳ καὶ ἰσοῤῥόπῳ τιμῇ καὶ τὸν Θεὸν καὶ τὸ ποιηθὲν θεραπεύσομεν, καὶ οὐχ ἁμαρτήσομεν;

[07741] Ἢ πῶς αὐτὸς ἡμᾶς ὁ Πατὴρ δρᾷν ἐπιτάττει, κελεύει δὲ ὥσπερ λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα, καίτοι διὰ Μωσέως εἰπών·

[07742] Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις;

[07743] Ἀλλ' ἔστιν, ὡς φαίνεται, τῶν λίαν ἀτοπωτάτων τῇ κτίσει λατρεύειν ἡμᾶς ἐθέλειν οἴεσθαι τὸν Θεὸν καὶ Πατέρα.

[07744] Ἐπιτάττει δὲ οὕτω τιμᾶσθαι τὸν Υἱὸν ὥσπερ οὖν καὶ ἑαυτόν.

[07745] Οἶδεν ἄρα κατὰ φύσιν ὄντα Θεὸν, καὶ τῆς οὐσίας τῆς ἑαυτοῦ καρπὸν ἀληθῆ τε καὶ γνήσιον.

[07746] Εἶτα πῶς ἂν λέγοιτο γενητὸς ὁ οὕτως ἔχων φύσεως Υἱὸς, εἰ τοῦ πεποιῆσθαι μακρὰν τὸν ἐξ οὗπέρ ἐστιν ὁμολογοῦμεν Πατέρα;

[07747] ΑΛΛΟ.

[07748] Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ.

[07749] Εἰ οὕτως ἔχει τὴν ζωὴν ὁ Υἱὸς ἐν ἑαυτῷ, ὥσπερ ἔχει καὶ ὁ Πατὴρ, οὐσιωδῶς ἄρα, καὶ οὐ μεθεκτῶς.

[07750] Οὐσιώδης γὰρ ἡ ζωὴ ἐν Πατρὶ, μᾶλλον δὲ αὐτοζωὴ κατὰ φύσιν ἐστὶν ὁ Πατήρ.

[07751] Μὴ γὰρ δὴ θορυβείτω τοὺς ἀκροωμένους ὁ Υἱὸς δεδόσθαι λέγων ἑαυτῷ παρὰ Πατρὸς τὴν ζωήν.

[07752] Ὅμοιον γὰρ ὡς ἂν εἰ καὶ ἡ ἐκ τοῦ πυρὸς προϊοῦσα λέγοι θερμότης·

[07753] Ὥσπερ τὸ πῦρ ἔχει τὸ θερμὸν ἐν ἑαυτῷ, οὕτω κἀμοὶ δέδωκεν ἔχειν ἐν ἐμαυτῇ.

[07754] Καὶ οὐ δήπου κατὰ μετοχὴν τοῦ λαμβάνοντος, ἢ κατὰ ἀπομερισμόν τινα καὶ ἀποκοπὴν τὴν ὡς ἐκ τοῦ διδόντος ἐν τοῖς τοιούτοις ἡ λῆξις νοεῖται·

[07755] ἀλλ' ὡς ἐξ ἑνότητος τῆς πρὸς τὸ ἐκπέμπον οὐσιώδους ἀποτελεῖται τοῦ πεμπομένου φορά.

[07756] Ἔχων οὖν ὁ Υἱὸς οὕτω ἐν ἑαυτῷ τὴν ζωὴν ὥσπερ ἔχει καὶ ὁ Πατὴρ, καὶ τοῦτο ὑπάρχων ἀπαραλλάκτως ὅπερ ἐκεῖνός ἐστι, πῶς ἂν εἴη γενητὸς, οὐκ ἔχοντος οὕτως τοῦ γεννήσαντος αὐτόν;

[07757] ΑΛΛΟ.

[07758] Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής, ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθινὴ αὐτοῦ ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ.

[07759] Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκε τῇ ἀληθείᾳ.

[07760] Ἐγὼ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω.

[07761] Μεμαρτύρηκε μὲν τῇ ἀληθείᾳ καὶ ὁ μακάριος Βαπτιστὴς περὶ τοῦ Σωτῆρος εἰπών·

[07762] Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

[07763] Ἐπειδὴ δὲ ἅπαξ φησὶν ὁ Σωτὴρ, οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν βούλεσθαι λαβεῖν, ἄλλον δὲ εἶναι τὸν ἀληθῆ μαρτυροῦντα περὶ αὐτοῦ, τίς ἄρα οὗτός ἐστιν, ὁ καὶ τῆς Ἰωάννου φωνῆς ἀξιολογώτερος;

[07764] Ἢ δηλονότι πάντως πού φησι τὸν Πατέρα, τὸν Ἰωάννη λέγοντα·

[07765] Ἐφ' ὃν ἂν εἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, οὗτος ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ·

[07766] ὅτε καὶ ἄνωθεν ἡ τοῦ Πατρὸς ἠνέχθη φωνὴ λέγοντος·

[07767] Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα.

[07768] Τοῦ Θεοῦ τοιγαροῦν καὶ Πατρὸς Υἱὸν ἀποκαλοῦντος αὐτὸν, καὶ ἀληθῆ ποιουμένου τὴν [75.552] τοιαύτην ἐπ' αὐτῷ μαρτυρίαν, τίς ὁ ποίημα λέγων αὐτὸν, καὶ οὐ διαῤῥήδην τῇ τοῦ πάντων κρατοῦντος ἀπομαχόμενος γνώσει, ἣν ἔχει περὶ τοῦ ἰδίου γεννήματος;

[07769] Ὁ δὲ τοιοῦτος πῶς ἂν ὅλως φαίνοιτο σωφρονῶν;

[07770] ΑΛΛΟ.

[07771] Ἐγὼ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου.

[07772] Τὰ γὰρ ἔργα ἃ δέδωκέ μοι ὁ Πατὴρ, ἵνα τελειώσω αὐτὰ, αὐτὰ τὰ ἔργα ἃ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ὁ Πατήρ με ἀπέσταλκεν.

[07773] Εἰ [φορτ.

[07774] εἰς] τὸ δύνασθαι μαρτυρεῖν περὶ αὐτοῦ, μικρὰν μὲν εἶναι τυχὸν τὴν Ἰωάννου φωνὴν διαβεβαιοῦται Χριστὸς, οὐχ ὡς Ἰωάννου τὸ ἀξιόχρεων ἐν τῷ μαρτυρεῖν οὐκ ἔχοντος ἀληθῶς (ἐπεί πως ἦλθεν εἰς μαρτυρίαν ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, καὶ τοῦτο ἀπεσταλμένος παρὰ τοῦ Θεοῦ), ἀλλ' ὅτι παρὰ τοῖς ἀνοσίοις Ἰουδαίοις ἐν τῷ μηδενὶ λελόγισται καὶ αὐτὸς, καίτοι τοσοῦτος ὑπάρχων εἰς ἀρετήν.

[07775] Ἀξιολογωτάτην δ' οὖν ὅμως τὴν ἀπὸ τῶν ἔργων ἀπόδειξιν ἔσεσθαί φησιν, ὅτιπερ εἴη Θεὸς ἐκ Θεοῦ Πατρὸς προελθών.

[07776] Ἀπὸ γὰρ τῆς ἐν τοῖς ἔργοις μεγαλειότητος ἀξιοῖ γνωρίζεσθαι, καθά φησιν αὐτὸς, ὅτιπερ αὐτοῦ Πατρὸς ἐξῆλθε καὶ ἥκει, ὡς οὐκ ἂν ἰσχύσας ἐργάσασθαί τι τῶν ὅσα μόνῳ πρέπει Θεῷ, εἴπερ ἦν ὄντως ἑτεροφυὴς ὡς πρὸς τὸν γεννήσαντα αὐτόν.

[07777] Ὅταν οὖν φαίνηται τοσαῦτα ἰσχύων ὅσα καὶ ὁ Πατὴρ, πῶς οὐκ ἀναγκαῖον Θεὸν ἐκ Θεοῦ κατὰ φύσιν ὄντα πιστεύειν, καὶ μὴ ποίημα λέγοντας βλασφημεῖν ἀσεβῶς τε καὶ ἀμαθῶς;

[07778] ΑΛΛΟ.

[07779] Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ Πατρός μου καὶ οὐ λαμβάνετέ με.

[07780] Ἐὰν ἄλλος ἔλθη ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε.

[07781] Πῶς ἐλήλυθεν ἐν τῷ ὀνόματι τοῦ Πατρὸς ὁ Υἱός;

[07782] ὡς Θεὸς δηλονότι, ὡς Κύριος, ὡς ζωὴ, ὡς παντοκράτωρ, ὡς φῶς, ὡς ζωογονεῖν τοὺς νεκροὺς δυνάμενος.

[07783] Ταῦτα γάρ ἐστιν ὁ Πατήρ.

[07784] Ἀλλ' εἴπερ ἐστὶν ἀλήθεια κατὰ φύσιν ὁ Υἱὸς, ἔστι δὲ πάντως, οὐδὲν τῶν εἰρημένων ἐν αὐτῷ διεψευσμένον εὑρεθήσεται·

[07785] ὁ δὲ τοῦτο ὢν κατὰ φύσιν, ὅπερ ἂν εἴη καὶ ὁ Πατὴρ δίχα μόνου τοῦ εἶναι Πατὴρ, πῶς ἂν εἴη γενητὸς, οὐκ ἔχοντος οὕτως τοῦ γεννήσαντος αὐτόν·

[07786] ΑΛΛΟ.

[07787] Καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατὴρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσει δι' ἐμέ.

[07788] Ἀπεστάλθαι φησὶ παρὰ τοῦ Πατρὸς ὁ Υἱὸς, κατὰ τὸν τῆς ὑπακοῆς τε καὶ ἐνανθρωπήσεως τρόπον.

[07789] Ἑαυτὸν γὰρ ἐκένωσε μορφὴν δούλου λαβὼν, καὶ γέγονεν ὑπήκοος μέχρι θανάτου·

[07790] ἢ καθάπερ ἐξ ἡλίου τὸ ἐξ αὐτοῦ τικτόμενόν τε καὶ ἐκπεμπόμενον φῶς, ἢ καὶ ἐκ πυρὸς θερμότης, ἀμερίστως τε καὶ ἀδιαστάτως ἐπὶ τὸν μετέχοντα διατρέχουσα, ζῆν δὲ πάλιν διὰ τὸν Πατέρα φησὶν, οὐ ζωῆς μέτοχος, καθάπερ ἡμεῖς, γινόμενος, ἀλλ' ὡς τῆς Πατρὸς ἰδιότητος φυσικῶς διαβαινούσης εἰς αὐτὸν, ἅτε δὴ καὶ Υἱὸν ὄντα, καὶ οὐσιωδῶς ἐξ αὐτοῦ προεληλυθότα.

[07791] Ἰδιότητος δὲ τοῦ Πατρὸς τὸ ζῆν.

[07792] Τοῦτο δὴ οὖν ὑπάρχει καὶ ὁ Υἱὸς διὰ τὸν Πατέρα.

[07793] Ἦν [75.553] γὰρ δὴ καὶ ἀμήχανον μὴ οὐχὶ πάντως ζῆν τὸν ἐκ ζῶντος Πατρὸς, εἴπερ ἐστὶν ἀπαράλλακτος εἰκὼν τοῦ γεννήσαντος αὐτὸν ὁ Υἱός.

[07794] Ὥσπερ οὖν ἐκ ζῶντός ἐστι Πατρὸς, ζῶν ἐστι καὶ αὐτὸς, οὕτω τῆς φυσικῆς ὁμοιότητος ἀνασώζων τὸν χαρακτῆρα πανταχοῦ, ἐπείπερ ἐστὶν ἐξ ἀγενήτου Πατρὸς, ἀγένητος ἔσται καὶ αὐτός.

[07795] Καὶ ἐπείπερ ἐκ Θεοῦ τοῦ κατὰ ἀλήθειαν, ἀληθινὸς ἔσται Θεὸς, καὶ οὐ ποιητὸς ἢ κτιστὸς ἢ πρόσφατος.

[07796] ΑΛΛΟ.

[07797] Ἀπεκρίθη ὁ Ἰησοῦς·

[07798] Οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν Πατέρα μου·

[07799] εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν Πατέρα μου ἂν ᾔδειτε.

[07800] Ὅρα μοι πάλιν ἐντεῦθεν ἀκριβεστάτην ὄντα τοῦ Πατρὸς εἰκόνα τὸν Υἱόν.

[07801] Εἰ γὰρ, εἴ τις αὐτὸν εἰδείη, γινώσκει πάντως καὶ τὸν Πατέρα, πῶς οὐ πρόδηλον ὡς ἀνάγκη πᾶσα τοιοῦτον εἶναι πιστεύειν, ὁποῖός περ ἂν ὑπάρχοι κατὰ φύσιν ἐκεῖνος;

[07802] οὐδεμιᾶς τοιγαροῦν μεσολαβούσης παραλλαγῆς, σωζομένης τε τῆς ὁμοιότητος ἀπαραλλάκτου, πῶς ἂν εἴη γενητὸς ὁ Υἱὸς, οὐκ ἔχοντος οὕτω τοῦ Πατρός;

[07803] ΑΛΛΟ.

[07804] Τὰ πρός τί πως ἔχοντα τῶν ὀνομάτων οὐ μόνα νοεῖται καὶ ἰδιαζόντως καθ' ἑαυτὰ, ὥσπερ οὖν καὶ τὰ λοιπὰ, ἀλλ' εἰσφέρει πάντως καὶ τοῦ ἑτέρου τὴν δήλωσιν, καὶ κατασημαίνει κἀκεῖνο πρὸς ὅπερ ἔχει τὴν σχέσιν.

[07805] Οἷον, ἡμέραν εἰπών τις, οὐδὲ νυκτὸς ἀμνημονεῖ·

[07806] δεξιὸν ὡσαύτως ὡς πρὸς ἀριστερόν·

[07807] οὕτω καὶ υἱὸν ὡς πρὸς πατέρα.

[07808] Οὐκοῦν οὐ ποίημα λέγων τὸν Υἱὸν, οὐκ εὐλόγως αὐτὸν ἀντιδιαστέλλει τῷ Πατρί.

[07809] Ὁ δὲ Υἱὸν ὁμολογῶν, οἶδεν ὅτι καὶ Πατέρα ἔχει.

[07810] Ποιήματος γὰρ ὁ ποιητὴς οὐκ ἂν νοοῖτο πατήρ·

[07811] κτίστης γὰρ μᾶλλον καὶ δημιουργός.

[07812] Ἐπεὶ οὖν εἰδέναι βουλόμεθα τὸν Θεὸν ὄντα Πατέρα, Υἱὸν κατὰ φύσιν ὁμολογῶμεν τὸν ἐξ αὐτοῦ, ἢ πάντη τε καὶ πάντως μετὰ τῶν ἀπαιδεύτων Ἰουδαίων ἀκουσόμεθα παρ' αὐτοῦ·

[07813] Εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν Πατέρα μου ἂν ᾔδειτε.

[07814] ΑΛΛΟ.

[07815] Ἀπεκρίθησαν, φησὶν, οἱ Ἰουδαῖοι·

[07816] Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα, ἕνα πατέρα ἔχομεν τὸν Θεόν.

[07817] Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς·

[07818] Εἰ ὁ Θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ.

[07819] Ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω·

[07820] οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλεν.

[07821] Οἱ τὸν ἐκ Θεοῦ Πατρὸς πεφυκότα Υἱὸν οὐκ ἀγαπήσαντες, πῶς ἂν ἀληθεύσειαν λέγοντες ἠγαπηκέναι τὸν ἐξ οὗπέρ ἐστι;

[07822] Καὶ οἱ τὸν καρπὸν ἀτιμάσαντες, ποίαν καὶ προσοίσουσι τῷ δένδρῳ τιμήν;

[07823] Εἰ δὲ καρπός ἐστι τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱός·

[07824] τοῦτο γὰρ σημαίνει τὸ, Ἐκ τοῦ Πατρὸς ἐξῆλθον καὶ ἥκω, πῶς ἂν εἴη γενητός;

[07825] Πῶς δὲ ὅλως ἡ τῆς θεότητος ἄῤῥητος φύσις ἔκφυλόν τι καὶ ἀλλογενὲς ὡς πρὸς ἑαυτὴν ἀποτέξεται, οὐδὲ τῆς γενητῆς οὐσίας ἀνεχομένης τοῦτο παθεῖν;

[07826] Ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου, καὶ βοῦς ἐκ βοός.

[07827] Οὐκοῦν ἀνάγκη Θεὸν ἐκ Θεοῦ πεφυκέναι τὸν Υἱὸν ὁμολογεῖν, ἵνα μὴ φαί [75.556] νηται τῶν ἑαυτοῦ κτισμάτων ἐλάττων ὁ Πατήρ.

[07828] Ἀπεστάλθαι δὲ παρ' αὐτοῦ φησιν ὁ Υἱὸς, οὐ τόπον ἐκ τόπου μεταμείβων (σωμάτων γὰρ τοῦτό γε), ἀλλ' ὡς ἐκ πυρὸς ἡ αὐτοῦ θερμότης, ἢ καθάπερ ἐκ φωτὸς ὁ ἐξ αὐτοῦ φωτισμός.

[07829] ΑΛΛΟ.

[07830] Ὁ Πατήρ μου, ὃς δέδωκέ μοι, πάντων μείζων ἐστὶ, καὶ οὐδεὶς δύναται ἁρπάσαι ἐκ τῆς χειρὸς τοῦ Πατρός.

[07831] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.

[07832] Εἰ πάντων μείζων ἐστὶν ὁ Πατὴρ, θεοπρεπῆ δηλονότι τὴν ὑπεροχὴν ἔχων ὡς πρὸς τὰ ποιήματα, καὶ ἔξω πάντων καὶ ἐπὶ πάντων ἐστίν.

[07833] Ὁ δὲ οὕτως ἔχων φύσεώς τε καὶ ἀξιώματος, ἕν ἐστι πρὸς τὸν Υἱόν.

[07834] Εἶτα πῶς ἔσται γενητὸς, ὁ τῷ ἀγενήτῳ Πατρὶ κατ' οὐσίαν ὁ αὐτός;

[07835] Ἢ πῶς ἐν τοῖς πᾶσιν ὡς ποίημα λογισθήσεται, ὁ μείζων πάντων μετὰ Πατρὸς, μείζων δὲ ὡσεὶ Θεὸς πρὸς ποιήματα;

[07836] ΑΛΛΟ.

[07837] Πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν ἐκ τοῦ Πατρός μου.

[07838] Διὰ ποῖον ἔργον αὐτῶν ἐμὲ λιθάζετε;

[07839] Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι·

[07840] Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ, ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν Θεόν.

[07841] Τοῦ Σωτῆρος ἡμῶν διαλεγομένου καὶ φάσκοντος·

[07842] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ἀγανακτοῦσιν οἱ Ἰουδαῖοι, μὴ νοοῦντες τίς ὁ ταῦτα λέγων ἐστὶ, μόνην δὲ εἰς τὴν σάρκα βλέποντες, εἶτα καταλεύειν αὐτὸν ἐβούλοντό τε καὶ ἐπεχείρουν, ἤδη βλασφημίας ἐγκλήματι περιβάλλοντες.

[07843] Διὰ γὰρ τοῦ φάναι, φασὶν, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, Θεὸν σεαυτὸν κατὰ φύσιν ποιεῖς, τοῦτο μόνον νοοῦντες ὀρθῶς.

[07844] Κρείττους οὖν ἄρα τῶν ἀνοσίων Ἀρειανῶν Ἰουδαῖοι, τὸν ὅλως εἰπεῖν θαῤῥήσαντα·

[07845] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ὥσπερ ἐξ ἀναγκαίου λόγου λοιπὸν πρὸς τὸ τῆς θεότητος ἀναβαίνειν ἀξίωμα διαβεβαιούμενοι.

[07846] Πῶς γὰρ ἂν ἓν ὑπάρχοι πρὸς τὸν φύσει Θεὸν, ὁ μὴ τοῦτο ὑπάρχων;

[07847] Ἐπειδὴ δὲ οὐ ψεύδεται, κατὰ φύσιν ἄρα καὶ αὐτὸς ὑπάρχων Θεὸς, ἕν ἐστι πρὸς τὸν Πατέρα.

[07848] Ὁ δὲ τοιοῦτος, πῶς ἂν εἴη γενητὸς ἢ πεποιημένος;

[07849] ΑΛΛΟ.

[07850] Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς·

[07851] Οὐκ ἔστι γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν·

[07852] Ἐγὼ εἶπα·

[07853] Θεοί ἐστε;

[07854] Εἰ ἐκείνους εἶπε θεοὺς, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο, καὶ οὐ δύναται λυθῆναι ἡ Γραφὴ, ὃν ὁ Πατὴρ ἡγίασε, καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε, ὅτι Βλασφημεῖς, ὅτι εἶπον, Υἱὸς τοῦ Θεοῦ εἰμι;

[07855] Ὁρᾷς ὅπως ἑαυτὸν ἀντιδιαστέλλει σαφῶς τοῖς κατὰ θέσιν θεοῖς, ὡς αὐτὸς δηλονότι κατὰ φύσιν ὑπάρχων, ὅπερ ἐκείνοις ἐν χάριτος μέρει προστίθεται;

[07856] Πῶς οὖν ἐνδέχεται τὸν οὐσιωδῶς ὄντα Θεὸν μὴ οὐχὶ καὶ πάντως τὸ εἶναι ποίημα διαφεύγειν, εἴπερ ἄνω τοῦ κτίζεσθαι θήσομεν τὴν θείαν τε καὶ ἀπερινόητον φύσιν;

[07857] ΑΛΛΟ.

[07858] Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρὸς, μὴ πιστεύετέ μοι.

[07859] Εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις [75.557] πιστεύετε, ὅτι ἐν ἐμοὶ ὁ Πατὴρ, κἀγὼ ἐν τῷ Πατρί.

[07860] Ὅτι τὰ κατὰ φύσιν τῆς ἀλλήλων ὁμογενείας διεστηκότα, διάφορον ἔχει καὶ τὴν ἐνέργειαν, σαφέστατα δὲ δεικνύει δι' ὧν ἔφησεν ὁ Σωτήρ.

[07861] Εἰ γὰρ εἰς τὴν τῆς σαρκὸς εὐτέλειαν ἀποβλέποντες, οὐ πιστεύετε, φησὶν, εἰς ἐμὲ, ἀλλά γε τῶν ἔργων ἡ μεγαλειότης ἀξιόχρεώς τε καὶ ἀξιολογωτάτη πρὸς τὸ δύνασθαι πείθειν ὑμᾶς ὅτιπέρ εἰμι Θεὸς ἐκ Θεοῦ προεληλυθώς.

[07862] Ὁ γὰρ ἐν ἔργοις ἴσος ὢν τῷ Πατρὶ, πῶς ἂν εἴη δευτερεύων κατὰ τὴν φύσιν αὐτοῦ;

[07863] Καὶ ὁ τὴν αὐτὴν ἐνέργειάν τε καὶ δύναμιν ἐκείνῳ περικείμενος, πῶς ἂν γένοιτο πρὸς αὐτὸν ἑτεροφυής;

[07864] Μᾶλλον δὲ πῶς οὐχὶ κατὰ πάντα προσεοικὼς, καὶ οὕτω πρὸς ἐμφέρειαν οὐσιώδη καλῶς ἀπηκριβωμένος, ἔχων τε ὅλον τοῦ γεννήσαντος ἐν ἑαυτῷ τὸ ἰδίωμα φυσικῶς, ὡς εἶναι μὲν αὐτὸν ἐν Πατρὶ, ἔχειν τε ὁμοίως ἐν ἑαυτῷ τὸν Πατέρα;

[07865] εἶτα τίς ὁ τολμῶν ποίημα λέγειν τοῦ Πατρὸς τὴν εἰκόνα, καὶ οὐχὶ πάντως εἰς αὐτὸν ἀσεβῶν τὸν Πατέρα;

[07866] ΑΛΛΟ.

[07867] Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή.

[07868] Εἰ ποίημα καὶ κτίσμα, κατά τινας, ὑπάρχων ὁ Υἱὸς, ἀνάστασίς ἐστι καὶ ζωὴ, μὴ θαυμαζέσθω ταῦτα ὢν ὁ Πατήρ.

[07869] Τί γὰρ τὸ πλέον ἐν αὐτῷ παρὰ τὰ ποιήματα;

[07870] Εἰ δὲ τῶν ποιημάτων τοσοῦτον, ὅσον ἴσμεν, ἀπῴκισται κατὰ τὸν τῆς φύσεως λόγον καὶ διὰ τὸ εἶναι ζωὴ, πῶς ἂν εἴη ποίημα ὁ Υἱὸς, ζωὴ καὶ αὐτὸς κατὰ φύσιν ὑπάρχων, ὥσπερ οὖν ἀμέλει καὶ ὁ γεννήσας αὐτόν;

[07871] Ζωὴ δὲ ὅλως τῶν ποιημάτων οὐδέν ἐστι, ζωῆς δὲ μᾶλλον τῆς ἀπὸ τοῦ ζῶντος Θεοῦ μέτοχα.

[07872] Ἐπεὶ καὶ ἐν Θεῷ κινούμεθα καὶ ἐσμὲν, ὡς ὁ Παῦλός φησιν.

[07873] ΑΛΛΟ Ὁ πιστεύων εἰς ἐμὲ, οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά με.

[07874] Εἰ τοσαύτην ἔχει τὴν ὁμοίωσιν ὁ Υἱὸς πρὸς τὸν ἑαυτοῦ Πατέρα, ὡς ἀνακεκρᾶσθαι τρόπον τινὰ κατ' οὐσίαν αὐτῷ καὶ τὴν ἐκείνου φύσιν καθάπερ ἐν εἰκόνι δεικνύειν, πῶς οὐ λίαν ἐστὶ δυσσεβὴς ὁ ποίημα λέγειν αὐτὸν ἀποτολμῶν, εἰ μὴ καὶ αὐτῷ τὸ πεποιῆσθαι δίδωσι τῷ Πατρί;

[07875] Εἶναι γὰρ ἀνάγκη τοιοῦτον τὸν Υἱὸν ὁποῖός περ ἂν ὑπάρχοι κατὰ φύσιν ὁ Πατήρ.

[07876] Ἐπειδὴ δὲ οὐ ποίημα ὁ Πατὴρ, οὐκ ἄρα ἔσται ποίημα ὁ Υἱὸς, ἄκτιστος δὲ μᾶλλον, ὥσπερ ὁ γεννήσας αὐτόν.

[07877] Οὕτως γὰρ ἕξει καὶ τὸ εἶναι κατὰ ἀλήθειαν ὁ Υἱὸς, καὶ ἐν αὐτῷ τὸν Πατέρα θεωρήσομεν.

[07878] ΑΛΛΟ.

[07879] Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν.

[07880] Εἰ πάντα ὅσα ἔχει ὁ Πατὴρ, ταὐτά ἐστι καὶ τοῦ Υἱοῦ (πρόδηλον δὲ ὅτι τοῖς φυσικοῖς ἀξιώμασι τοῦ γεννήσαντος ἐναμβρύνεται), πρόσεστι δὲ τῷ Πατρὶ μετὰ τῶν ἄλλων θεοπρεπῶν ἀγαθῶν καὶ τὸ εἶναι ἀγενήτως, ἕξει τοῦτο καὶ ὁ Υἱός.

[07881] Ἔστι γὰρ οὐ πεποιημένος, ἀλλ' ἦν ἐν ἀρχῇ μετὰ Πατρὸς καὶ ἐν Πατρὶ, Θεός τε ὢν Λόγος, ἄῤῥητον δὲ καὶ ἄφραστον ἔχων τὸν τῆς γεννήσεως τρόπον.

[07882] [75.560] ΑΛΛΟ.

[07883] Ἐξῆλθον ἐκ τοῦ Πατρὸς, καὶ ἐλήλυθα εἰς τὸν κόσμον, καὶ πάλιν ἀφίημι τὸν κόσμον, καὶ πορεύομαι πρὸς τὸν Πατέρα.

[07884] Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, Ἴδε νῦν παῤῥησίᾳ λαλεῖς καὶ παροιμίαν οὐδεμίαν λέγεις.

[07885] Νῦν οἴδαμεν ὅτι οἶδας πάντα, καὶ οὐ χρείαν ἔχεις, ἵνα τίς σε ἐρωτᾷ.

[07886] Ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ Θεοῦ ἐξῆλθες.

[07887] Ἀξιολογωτάτη λίαν ἡ τῶν ἁγίων ἀποστόλων σφραγίς τε καὶ μαρτυρία διατεθεῖσθαι φασκόντων πεπιστευκέναι τε ἤδη καὶ μάλα γοργῶς, ὅτι περ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς ἐξέλαμψεν ὁ Υἱός.

[07888] Τοῦτο γὰρ οἶμαι σημαίνειν, καὶ οὐχ ἕτερόν τι, τὸ ἐξελθεῖν ἐκ Πατρός.

[07889] Ζητητέον δὲ ὅμως πόθεν αὐτοῖς τὸ πιστεῦσαι συμβέβηκε, καὶ ἐπὶ τίσιν ἢ ποίαις ἀφορμαῖς ἡ τῆς συνέσεως δέδοται ψῆφος.

[07890] Νῦν, φασὶν, οἴδαμεν ὅτι οἶδας πάντα, καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ.

[07891] Ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ Θεοῦ ἐξῆλθες.

[07892] Ἐν τῷ εἰδέναι τὰ πάντα τὸν Υἱὸν, διετέθησαν οἱ μαθηταὶ ὅτιπερ ὄντως εἴη παρὰ Θεοῦ καὶ Πατρὸς ἐκφανείς.

[07893] Θεότητος γὰρ ὄντως ἴδιον τὸ μηδὲν ἀγνοεῖν, ὅπερ ἦν ἐν Υἱῷ.

[07894] Διὸ δὴ καὶ Θεὸν εἶναι πιστεύουσιν αὐτὸν, ἀναπεφάνθαι τε γεννητῶς ἐκ Πατρὸς, ἔχοντα τὰ ἐκείνου φυσικῶς ἐν ἑαυτῷ.

[07895] Εἶτα πῶς ἔσται γενητὸς ὁ τοῖς τῆς θεότητος ἰδιώμασιν ἐκλάμπων, καὶ οὐ μόνον ἔχων τὸ πάντα εἰδέναι, ἀλλὰ γὰρ καὶ μεγάλη λέγων τῇ φωνῇ, Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι.

[07896] ΑΛΛΟ.

[07897] Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

[07898] Εἰ τοῖς ψευδωνύμοις θεοῖς τῶν ἐθνῶν ἀντιδιαστελλόμενος, μόνος ἐστὶν ἀληθινὸς ὁ Πατὴρ, συνημμένος δηλαδὴ κατὰ τὴν ταυτότητα τῆς φύσεως τῷ Υἱῷ, ὁράτωσαν οἱ ποίημα λέγοντες αὐτὸν, εἰ μὴ πάσης ἀσεβείας ἐπέκεινα βαδιοῦνται, γενητὸν εἶναι φάσκοντες τὸν ᾧ πρόσεστι κατὰ ἀλήθειαν τὸ εἶναι Θεὸν μετὰ τοῦ γεννήσαντος αὐτόν.

[07899] ΑΛΛΟ.

[07900] Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις.

[07901] Ἆρα ποῖον ὄνομα τοῦ Πατρὸς φησὶν ὁ Σωτὴρ, ὃ δὴ καὶ φανερὸν τοῖς ἀνθρώποις καταστῆσαι διϊσχυρίζεται;

[07902] Ἀλλ' ἔστιν εἰπεῖν ὅτι, Θεόν σε παρὰ ἀνθρώποις ἐκήρυξα;

[07903] Τί δὲ ἄρα τῶν προφητῶν οἱ λόγοι;

[07904] Θεὸν ἢ οὐχ οὕτω καλοῦσι τὸν ἁπάντων Δεσπότην τοσούτοις ἄνωθεν τῆς ἐνανθρωπήσεως χρόνοις;

[07905] Τί οὖν τὸ πλέον διὰ Χριστοῦ;

[07906] ἀλλ' ἴσως, Δημιουργὸν, φησὶ, καὶ τοῦ παντὸς κόσμου ποιητήν τε καὶ φιλοτεχνήμονα καταγγέλλων διατετέλεκα.

[07907] Καίτοι πρῶτος ὁ μακάριος Μωσῆς, τὸ περὶ τῆς κοσμοποιΐας συντιθεὶς βιβλίον, ὁμοῦ καὶ Θεὸν καὶ ποιητὴν αὐτὸν εἰσφέρει, λέγων, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.

[07908] Ποῖον οὖν ὄνομα πεφανερῶσθαί φησιν;

[07909] Ἢ δῆλον ὅτι τοῦ Πατρός;

[07910] Ἐπειδὴ γὰρ πεπιστεύκασιν ὡς Υἱὸν, συνωμολόγησαν δηλονότι τὸ εἶναι Πατέρα, καὶ ἔγνωσαν τίς ἐστιν καὶ ὁποῖος ὁ Πατὴρ, ἀπὸ τῆς κατὰ φύσιν ὡραιότητος τοῦ Υἱοῦ πρὸς τὸ τοῦ γεννήσαντος [75.561] κάλλος χειραγωγούμενοι, καὶ ἀπὸ τῆς ἀκριβοῦς εἰκόνος τὸ ἀρχέτυπον βλέποντες.

[07911] Τί οὖν ἄρα ἐστὶν τὸ διὰ τούτων κατασκευαζόμενον;

[07912] Εἰ ποίημά ἐστιν ὁ Υἱὸς, οὐκ ἂν ἐξ αὐτοῦ νοοῖτο Πατὴρ ὢν ὁ Θεός·

[07913] ποίημα γὰρ ὡς πρὸς ποιητὴν, υἱὸς δὲ πρὸς πατέρα νοεῖται·

[07914] τοιαύτη γὰρ ἡ θέσις ἀεὶ τῶν πρός τί πως ἐχόντων ἐστίν.

[07915] Εἰ δὲ χρὴ κατὰ ἀλήθειαν ἐνεργείᾳ καὶ πράγματι Πατέρα νοεῖσθαι Θεὸν, Υἱὸν ὁμολογητέον τὸν ἐξ αὐτοῦ·

[07916] ὁ δὲ αὐτὸς καὶ ἐφ' Υἱοῦ κρατήσει λόγος.

[07917] Γέννημα γὰρ εἶναι καὶ οὐ ποίημα πιστευόμενος, συνεισοίσει πάντως ἑαυτῷ τὴν τοῦ γεννήσαντος γνῶσιν·

[07918] καὶ οὕτως ἀληθεύει λέγων, Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις.

[07919] ΑΛΛΟ.

[07920] Ὁ Σωτήρ που φησὶ πρὸς τὴν Μαριὰμ, μετὰ τὸ ἐκ νεκρῶν ἀναστῆναι·

[07921] Μή μου ἅπτου, οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου·

[07922] πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς, ὅτι ἀναβαίνω πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.

[07923] Θέα δὴ πάλιν μικρὸν ἐπιστήσας τοῖς λεγομένοις τὸν νοῦν, ὅτι πάρεστι κατὰ ἀλήθειαν ὁ Υἱὸς ὁ ἐκ Θεοῦ καὶ Πατρὸς ἀναλάμψας Λόγος, καὶ οὐχὶ κτίσμα, κατὰ τὴν τῶν αἱρετικῶν ἀπόνοιάν τε ὁμοῦ καὶ ἀπαιδευσίαν.

[07924] Διασκευάσθω δὴ πάλιν ὁμοῦ κατὰ τόνδε τὸν τρόπον ἡ τοῦ θεωρήματος δύναμις·

[07925] Εἰς τὸ τῆς ἀνθρωπότητος σχῆμά τε καὶ πρᾶγμα καταβεβηκὼς ὁ Θεὸς Λόγος, ἵνα διασώσῃ τὸν ἄνθρωπον, ἅτε δὴ λοιπὸν τοῦτο γεγονὼς ὅπερ ἡμεῖς κατὰ φύσιν ἐσμὲν, λαμβάνει μὲν εἰς ἑαυτὸν τὰ τῆς ἀνθρωπότητος ἴδια·

[07926] τὰ δὲ οἰκεῖα πάλιν αὐτὸς ἀντιδίδωσιν ἡμῖν, καὶ οὕτως εἰς τὴν αὐτῷ φύσει πρέπουσαν τιμὴν ἀναφέρει τὸν ἄνθρωπον, αὐτῆς ἀρχαίας κατολισθήσαντα δόξης διὰ τὴν ἐν Ἀδὰμ παράβασιν.

[07927] Ἀναμίξας τοίνυν τρόπον τινὰ καὶ ἀνακεράσας ἡμᾶς ἐν ἑαυτῷ, καὶ πάλιν ἡμῖν ἑαυτὸν, κάτεισι μὲν εἰς τὰ ἡμέτερα αὐτὸς, ἀναρπάζει δὲ ἡμᾶς εἰς τὰ ἑαυτοῦ·

[07928] οἷον ἄνθρωποι μὲν κατὰ φύσιν ἡμεῖς, αὐτὸς δὲ εἰς τὸ παρὰ φύσιν διὰ φιλανθρωπίαν καταδραμὼν, γέγονεν ἄνθρωπος.

[07929] Δοῦλοι Θεοῦ κατὰ φύσιν ἡμεῖς ὡς ποιήματα·

[07930] δοῦλος ἐχρημάτισε καὶ αὐτὸς εἰς τὸ παρὰ φύσιν ἐνεχθεὶς, ὅτε γέγονεν ἄνθρωπος.

[07931] Ἀλλὰ καὶ τὸ ἐναντίον, Θεὸς κατ' οὐσίαν αὐτός·

[07932] θεοὶ καὶ ἡμεῖς εἰς τὸ παρὰ φύσιν ἀναβαίνοντες διὰ τὴν χάριν·

[07933] ἄνθρωποι γάρ·

[07934] Υἱὸς κατὰ φύσιν αὐτός·

[07935] υἱοὶ καὶ ἡμεῖς κατὰ θέσιν, ὡς εἰς ἀδελφότητα τὴν πρὸς αὐτὸν κεκλημένοι.

[07936] Οὐκοῦν εἴπερ ἡμεῖς κατὰ θέσιν υἱοὶ καὶ θεοὶ, τοῦτο πάλιν αὐτὸς ἔσται κατὰ ἀλήθειαν ὡς τοῖς κατὰ θέσιν ἀντινοούμενος.

[07937] Ὁ δὲ ἀληθινὸς Υἱός τε ὑπάρχων καὶ Θεὸς, πῶς ἂν εἴη γενητὸς, οὐδαμόθεν παραδεχομένης τὸ κτίζεσθαι τῆς θείας οὐσίας;

[07938] ΑΛΛΟ.

[07939] Ὁ Σωτὴρ πρὸς τοὺς ἑαυτοῦ μαθητὰς φησί που πάλιν·

[07940] Εἰρήνη ὑμῖν·

[07941] καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ ἀποστέλλω ὑμᾶς.

[07942] Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς·

[07943] Λάβετε Πνεῦμα ἅγιον.

[07944] Δημιουργικὸν κατὰ φύσιν τὸ Πνεῦμα εἰδὼς καὶ ὁ Ψαλμῳδός, φησὶ πρὸς τὸν ὅλων Δεσπότην Θεὸν καὶ Πατέρα·

[07945] [75.564] Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

[07946] Ὅτε τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον καὶ δημιουργεῖ καὶ ἀνακαινίζει τὰ πάντα, τοιαύτην ἔχον τὴν φύσιν, πῶς ἂν εἴη γενητὸς, ἢ πῶς ἂν κτίσμα νοοῖτο κατὰ φύσιν ὁ Υἱὸς, ὁ τοῦ κτίζειν ἰσχύοντος Πνεύματος χορηγός;

[07947] ΑΛΛΟ.

[07948] Θωμᾶς ὁ μακάριος μαθητὴς ἀπαγγελλόντων αὐτῷ τῶν συναποστόλων, ὅτι δὴ Τεθεάμεθα τὸν Κύριον ἐκ νεκρῶν ἐγηγερμένον, ὀλίγον ἀπιστήσας φησίν·

[07949] Ἐὰν μὴ βάλω τὰς χεῖράς μου εἰς τοὺς τύπους τῶν ἥλων, οὐ μὴ πιστεύσω.

[07950] Ἐπειδὴ δὲ παρῆν ὁ Σωτὴρ καὶ αὐτὸν ἀποπείσων, καὶ δὴ καὶ τὰς χεῖρας τοῖς τύποις τῶν ἥλων ἐντιθέναι προσέταττεν, ἀνακεκλημένος εἰς πίστιν ὁ μαθητὴς λέγει πρὸς αὐτόν·

[07951] Ὁ Κύριός μου καὶ ὁ Θεός μου.

[07952] Καὶ τοῦτο εἰπών, οὐ μόνον παρὰ τοῖς τὸ τηνικάδε συμβιοτεύουσιν αὐτῷ, ἀλλὰ μέχρι νῦν καὶ παρ' ἡμῖν θαυμάζεται, ὡς ὀρθῶς δηλονότι καὶ ἀληθῶς περὶ τοῦ Σωτῆρος διαλαβών.

[07953] Εἰ τοίνυν καὶ Κύριός ἐστι καὶ Θεός, πῶς ἔσται τῶν ποιηθέντων εἷς;

[07954] πᾶν γὰρ τὸ πεποιημένον, καὶ δοῦλον τῇ φύσει, καὶ οὐ Θεὸς κατὰ φύσιν·

[07955] ὁ δὲ Σωτὴρ φύσει Κύριος καὶ Θεός, οὐκ ἄρα γενητός, ᾧ τὰ τῆς θείας οὐσίας ἐφήρμοσται κάλλη.

[07956] ΑΛΛΟ, ἐκ τοῦ αὐτοῦ.

[07957] Εἰ κτίσμα κατὰ φύσιν ἐστὶν ὁ Υἱός, οὕτω δὲ ἔχοντι κατ' ἐκείνους φησὶν ὁ Θωμᾶς, Ὁ Κύριός μου καὶ ὁ Θεός μου, καὶ τὸ ἐκ τῆς δυσφημίας ἔγκλημα διαπέφευγε, ὡς ἐξὸν καὶ κτίσματι ταῦτα καλεῖσθαι, τί κωλύσει καὶ ἀγγέλοις καὶ ἑκάστῳ τῶν ἁγίων τυχὸν τοῦτο λέγειν ἡμῶν, ὅταν αὐτοὺς ἐπί τισι παραδόξοις θαυμάζωμεν;

[07958] Ἀλλ' οὐκ ἄν τις εἴποι νοῦν ἔχων ἑνὶ τῶν κατειλεγμένων τὴν τοιαύτην φωνήν, ὡς μόνῳ πρέπουσαν Θεῷ, μακράν τε εἶναί φαμεν τοῦ διεσφάλθαι τὸν μαθητήν.

[07959] Οὐκοῦν ἀληθεύει Θεὸν αὐτὸν ἀποκαλῶν καὶ Κύριον·

[07960] ὁ δὲ τοῦτο ὑπάρχων φυσικῶς, καὶ οὕτω κεκλημένος, κατὰ τίνα τρόπον ἔσται γενητός;

[07961] ΑΛΛΟ.

[07962] Πολλὰ μέν, φησί, οὖν καὶ ἄλλα ἐποίησε σημεῖα ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ.

[07963] Ταῦτα δὲ γέγραπται ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς Υἱὸς τοῦ Θεοῦ.

[07964] Λεγέτωσαν ἡμῖν οἱ θεομαχεῖν ἀνοήτως ἀποτολμῶντες Ἀρειανοί, εἰ ποίημα λέγοντες τὸν Χριστόν, καθὸ Λόγος ἐστίν, Υἱὸν αὐτὸν ὁμολογοῦμεν τοῦ Θεοῦ καὶ Πατρός.

[07965] Ἀλλ' οἶμαί γε σφόδρα κατηγορήσειν αὐτοὺς τῆς ἑαυτῶν ἀβουλίας, εἰς τὸν ἐπὶ τούτοις ἀναβλέποντας λογισμόν, καὶ τί μὲν ἔστι τὸ ποιηθέν, τί δὲ τὸ γενηθὲν ὑπό του θεωρήσαντας ἀκριβῶς.

[07966] Τὸ μὲν γὰρ ποιηθὲν οὐκ ἐκ τῆς οὐσίας τοῦ ποιοῦντος λαμβάνεται·

[07967] τὸ δὲ γεννώμενον, τὴν τοῦ [75.565] γεννῶντος φύσιν ἀποσυλᾷ.

[07968] Τοῦτο δὲ φαμὲν ὡς ἐπὶ σωμάτων, ἕτερον ἔχοντος τοῦ πράγματος τύπον ἐπὶ Θεοῦ, ὅμως δ' οὖν ἐκ τῶν καθ' ἡμᾶς ἀληθεστάτην εἰσφέροντος τὴν εἰκόνα.

[07969] Τοσαύτης τοίνυν μεταξὺ κειμένης διαφορᾶς, καὶ οὕτω μακροῦ διορίζοντος λόγου ποίημα καὶ Υἱόν, ὅτου δὴ χάριν ὁ μακάριος εὐαγγελιστὴς τὰς ἐκ τοῦ Πνεύματος ἡμῖν διακονῶν ἀληθείας, πολλὰ καὶ ἀξιοθαύμαστα γενέσθαι σημεῖά φησιν, ἵνα πιστεύσωμεν ὅτι Ἰησοῦς Χριστὸς αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ οὐχὶ μᾶλλον εἷς τῶν ποιηθέντων παρὰ Θεοῦ, εἴπερ ἐστὶ γενητός, ὡς ἐκεῖνοι ληροῦντες φασίν.

[07970] Ἀλλὰ τοῦτο μὲν οὐ φησίν, εἰς δὲ τὴν τῆς υἱότητος ἔννοιαν ἀναφέρει τῶν ἀκροωμένων τὸν νοῦν.

[07971] Οὐκ ἄρα γενητὸν νοεῖσθαι βούλεται τὸν Υἱόν, καθὸ Λόγος

[07972] ΛΟΓΟΣ ΛΓʹ

[07973] Ὅτι Θεὸς κατὰ φύσιν τὸ Πνεῦμα, καὶ ἐκ τῆς οὐσίας τοῦ Πατρός·

[07974] δι' Υἱοῦ δὲ τῇ κτίσει χο ρηγούμενον.

[07975] Πρότασις ὡς ἐκ τῶν δι' ἐναντίας.

[07976] Εἰ διὰ τὸ λέγεσθαι, φασί, παρὰ ταῖς θείαις Γραφαῖς ἐκ Θεοῦ τὸ Πνεῦμα, τῆς οὐσίας αὐτὸ δώσομεν τοῦ Πατρός, καὶ ὁμοούσιον ὁμολογήσομεν τῇ τὰ πάντα ὑπερκειμένῃ φύσει, ἔστω καὶ πάντα τὰ ἄλλα κατὰ τόνδε τὸν τρόπον·

[07977] ἐπειδήπερ τὰ πάντα ἐκ Θεοῦ τῆς ἀληθείας ὁ κήρυξ ὁμολογεῖ.

[07978] Τί δὴ λοιπὸν τὸ ἐντεῦθεν;

[07979] Πλῆθος ἄπειρον ἡμῖν εἰσῆκται θεῶν, εἴπερ τὸ ἐξ οὗ τοῖς πᾶσι προσκείμενον, πάντα δείκνυσιν ὁμοούσια τῷ Πατρί.

[07980] Πρὸς τοῦτο λύσις.

[07981] Τοῖς μὲν συνιέναι τὰς θείας ἐπιθυμοῦσι Γραφὰς, χρεία τις εἰς τὸ πιστεύειν ἑτοιμότητος.

[07982] Ἐὰν γὰρ μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε, φησί που λόγος προφητικός.

[07983] Ἐπειδὴ δὲ ἀμαθῶς καὶ ταῦτα προτείνουσιν οἱ δι' ἐναντίας, ἀνάγκη δὴ λοιπὸν ἐπ' ἐκεῖνα χωρεῖν, δι' ὧν τὸ ἐξ ὧν δυσφημοῦσιν ἀμαθῶς ἀποκρουσθήσεται βλάβος.

[07984] Οὐχ οὕτως, ὦ βέλτιστοι, τὰ πάντα φαμὲν ἐκ Θεοῦ, καθάπερ καὶ τὸ Πνεῦμα.

[07985] Τὸ μὲν γάρ ἐστι φυσικῶς ἐνυπάρχον αὐτῷ, καὶ οὐσιωδῶς ἐμπεπηγὸς, ἵν' οὕτως εἴπωμεν, καὶ ἀμερίστως ἐξ αὐτοῦ προϊόν.

[07986] Τὰ δὲ τῆς ἐνεργείας ἔργα καὶ ποιήματα, δι' Υἱοῦ ἐν Πνεύματι γεγονότα καὶ οὕτως ἐκ Θεοῦ νοούμενα.

[07987] Εἰ δὲ τούτοις ἡμῶν οὐ πείθεσθε τοῖς λόγοις, ἐν ἴσῃ δὲ τάξει τοῖς πεποιημένοις καὶ τὸ Πνεῦμα θήσετε, διὰ τὸ ἐκ Θεοῦ καὶ αὐτὸ λέγεσθαι, καθάπερ ἐκεῖνοι, τί τὸ κωλύον καὶ ἡμᾶς ἀνθυπενεγκόντας εἰπεῖν·

[07988] Εἰ ἐκ Θεοῦ τὰ πάντα ἐστὶν, ὥσπερ καὶ τὸ Πνεῦμα, καὶ τὸ ἐξαίρετον οὐδὲν ἐν αὐτῷ παρὰ τὰ ποιήματα, διατί μὴ καὶ ἕκαστον τῶν γεγονότων, ἐπειδήπερ ἐκ Θεοῦ εἶναι λέγεται, οἶδε τὰ τοῦ Θεοῦ, καὶ ἐρευνᾷ τὰ βάθη τοῦ Θεοῦ;

[07989] Διατί μὴ διὰ πάντων ἀποκαλύπτει Θεὸς, ἀλλὰ διὰ μόνου τοῦ Πνεύματος;

[07990] Ὅτε τοίνυν τὰ μὲν ἄλλα ποιήματα, διὰ τοῦ Πνεύματος τὴν ἀποκάλυψιν ἔχει·

[07991] αὐτὸ δὲ τὸ Πνεῦμα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ, ὡς ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ φυσικῶς ὑπάρχον, ὥσπερ καὶ ἐν τῷ ἀνθρώπῳ τὸ ἀν [75.568] θρώπινον, πρόδηλον δήποθεν ὡς Θεὸς μὲν, τὸ Πνεῦμα τὸ ἐξ οὗ κυρίως ἔχον καὶ φυσικῶς ἐν Θεῷ.

[07992] Τὰ δ' ἄλλα ποιήματα καταχρηστικώτερον, ὡς ἐκ ποιητοῦ καὶ δημιουργοῦ πεφηνότα, τὸ ἐξ οὗ λεγόμενα.

[07993] Μαρτυρίαι τοῦ ῥητοῦ.

[07994] Ὁ Παῦλος·

[07995] Ἡμεῖς δὲ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐλάβομεν, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν.

[07996] Καὶ πάλιν·

[07997] Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ·

[07998] Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ.

[07999] ΑΛΛΟ.

[08000] Ἡμῖν γὰρ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ.

[08001] Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ.

[08002] ΑΛΛΟ.

[08003] Εἰ τὸ πνεῦμα τὸ ἀνθρώπινον οὐκ ἐξ ἀποκαλύψεως ἑτέρου τινὸς οἶδε τὰ ἐν αὐτῷ, ἀλλ' ὡς φυσικῶς καὶ κυρίως ὑπάρχον αὐτοῦ, τὰ τῆς καρδίας βάθη γινώσκει καὶ ἐρευνᾷ, οὕτω δὲ [φ.

[08004] δὴ] ἐν Θεῷ καὶ Πατρὶ τὸ Πνεῦμα τὸ ἅγιον.

[08005] Τῆς φύσεως ἄρα τῆς θείας ἔσται, καθάπερ καὶ τοῦ ἀνθρώπου τὸ ἀνθρώπινον.

[08006] ΑΛΛΟ.

[08007] Ἐπιστέλλει δὲ τισὶν ὁ Παῦλος·

[08008] Ὑμεῖς οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν Πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν.

[08009] Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ.

[08010] Εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν, τὸ δὲ Πνεῦμα ζωὴ διὰ δικαιοσύνην.

[08011] Δέχου μοι πάλιν ἐντεῦθεν ὀρθὰς περὶ τοῦ ἁγίου Πνεύματος τὰς ἐννοίας, ἵνα δὴ καὶ ἐκμάθῃς ἀπὸ τῆς τοῦ Σωτῆρος ὑπάρχον οὐσίας, καὶ τῆς μιᾶς θεότητος οὐκ ἀλλότριον.

[08012] Πνεῦμα γὰρ ἀποκαλέσας αὐτοῦ Θεοῦ, εὐθὺς αὐτὸ καὶ Πνεῦμα λέγει Χριστοῦ.

[08013] Δεικνύων μὲν ὅτι πάντα τὰ τοῦ Πατρὸς ἴδια, διαβαίνει ἐπὶ τὸν ἐξ αὐτοῦ φυσικῶς γεννηθέντα Υἱόν.

[08014] Χριστὸν δὲ πάλιν εὐθὺς τὸ Πνεῦμα καλεῖ, λέγων·

[08015] Εἰ δὲ Χριστὸς ἐν ὑμῖν, οὐκ ἀλλότριον αὐτὸ δεικνύων τῆς τοῦ Λόγου φύσεως.

[08016] Ἀλλ' οὕτως ἡνωμένον, εἰ καὶ ἔστιν ἰδιοσύστατον, ὡς αὐτό τε ὑπάρχειν ἐν Υἱῷ, καὶ Υἱὸν ἐν αὐτῷ διὰ τὴν τῆς οὐσίας ταυτότητα.

[08017] ΑΛΛΟ.

[08018] Ἐκ Θεοῦ τὸ Πνεῦμα τὸ ἅγιον εἶναί φαμεν, καὶ οὕτω πιστεύομεν.

[08019] Ἀλλ' οἱ πρὸς μόνον τὸ δυσφημεῖν ἑτοιμότατοι, καὶ τὰ ἄλλα πάντα ἐκ Θεοῦ γενέσθαι φασὶ, τοῦ Παύλου γράφοντος·

[08020] Εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα.

[08021] Εἶτα νομίζουσιν δύνασθαι ἀνατρέπειν τὸ ἐκ τῆς οὐσίας εἶναί τε τοῦ Πατρὸς τὸ Πνεῦμα, διὰ τὸ φέρεσθαι καὶ κατὰ τῶν ποιημάτων, τὸ, ἐξ οὗ, ὅπερ ἐπὶ τοῦ Πνεύματος κείμενον, ἐκ τῆς οὐσίας αὐτὸ φυσικῶς ὑπάρχον ἀποδεικνύον·

[08022] ἀλλ' ἔστι πρὸς τοῦτο λέγειν, ὅτι καὶ ἐφ' Υἱοῦ κυρίως μὲν κεῖται τὸ υἱὸς ὄνομα, κεῖται δὲ καὶ ἐπ' ἀνθρώπων καταχρηστικῶς.

[08023] Καὶ οὐ δή που τὸ θέσει τισὶ καὶ κατὰ χάριν [75.569] προσκείμενον, ἀνατρέψει τὸν ἔχοντα φυσικῶς·

[08024] οὕτω καὶ τὸ, ἐξ οὗ, τῶν ποιημάτων κατηγορούμενον, οὐ κατοίσει πρὸς τὴν οἰκείαν ταπείνωσίν τε καὶ ὁμοιότητα τὸ τοῦ Πνεύματος ὑψηλόν τε καὶ θεϊκόν·

[08025] ἀλλὰ μενεῖ μὲν αὐτῷ κυρίως τὸ, ἐξ οὗ, διὰ τὸ ἐκ τῆς οὐσίας εἶναι τοῦ Πατρός.

[08026] Χωρήσει δὲ καὶ ἐπ' ἐκεῖνα, διὰ τὸ ἐκ Θεοῦ πρὸς τὸ εἶναι τὰ οὐκ ὄντα δραμεῖν, δι' Υἱοῦ δηλαδή.

[08027] Εἰ δὲ τὸ πλέον οὐδὲν ἐν Πνεύματι καὶ ποιήμασι διὰ τὸ κατηγορεῖσθαι τὸ ἐξ οὗ κατ' ἀμφοῖν, λεγέτωσαν ἡμῖν ὅτου δὴ χάριν, τοῦ μὲν Πατρὸς οἰκοῦντος ἐν ἡμῖν, Χριστὸς ἐν ἡμῖν ἐστιν·

[08028] ἑτέρου δέ τινος τῶν ποιημάτων ἀγγέλου τυχὸν ἢ ἀρχαγγέλου ἢ λαλοῦντος ἢ ἐνεργοῦντος ἐν ἡμῖν, οὐκ ἔτι Χριστὸς καὶ Θεὸς λέγεται κατοικεῖν·

[08029] Ὅπου δὲ ταύτῃ διαφορὰ φαίνεται, πῶς οὐχὶ καὶ πάντα τὴν φύσιν αὐτῆς ὑπάρχειν ἐξηλλαγμένην ὁμολογεῖν ἀναγκαῖον, ὡς τὰ μὲν εἶναι ποιήματα, τὸ δὲ ποιητικὸν, φυσικῶς μὲν ἐνυπάρχον τῷ Ποιητῇ, φοροῦν δὲ πάλιν ἐν ἑαυτῷ τὸν ποιητὴν διὰ τῆς φύσεως ταυτότητα, καὶ τὸ τῆς οὐσιώδους ποιότητος ἀπαράλλακτον;

[08030] ΑΛΛΟ.

[08031] Ἐπιστέλλει τισὶν ὁ Παῦλος, καὶ μάλα δὴ φρονῶν τε καὶ λέγων ὀρθῶς·

[08032] Ὅσοι γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοι Θεοῦ υἱοί εἰσιν.

[08033] Οὐ γὰρ ἐλάβετε Πνεῦμα δουλείας πάλιν εἰς φόβον·

[08034] ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν·

[08035] Ἀββᾶ, ὁ Πατήρ.

[08036] Οὐκοῦν εἰ τὸ Πνεῦμα τὸ ἅγιον υἱοὺς ἀποδεικνύει Θεοῦ τοὺς ἐν οἷς κατοικεῖ, καὶ θείας ἐργάζεται φύσεως κοινωνοὺς, ὡς ἐντεῦθεν ἡμᾶς ἡνωμένους ὄντας τῷ ὑπὲρ πάντα ὄντι Θεῷ, μετὰ παῤῥησίας ἀναβοᾷν·

[08037] Ἀββᾶ, ὁ Πατὴρ, οὐκ ἐν δούλοις οὐδὲ ἐν τοῖς ποιήμασι τετάξεται·

[08038] φορέσει δὲ μᾶλλον φυσικῶς τὸ τῆς θείας οὐσίας ἀξίωμα, ἐξ αὐτῆς τε ὑπάρχον καὶ παρ' αὐτῆς, τοῖς ἁγίοις δι' Υἱοῦ χορηγούμενον, διά τε τοῦτο θεοποιοῦν, καὶ εἰς υἱότητα καλοῦν τοὺς ἐν οἷς ἂν γένοιτο.

[08039] ΑΛΛΟ.

[08040] Γέγραπται πάλιν·

[08041] Αὐτὸ γὰρ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ.

[08042] Ὡς γὰρ ἐκ τῆς οὐσίας ὑπάρχον τῆς τοῦ χορηγοῦντος αὐτὸ τοῖς ἁγίοις, Χριστοῦ δηλαδὴ, καὶ ὡς τοῦ Θεοῦ Λόγου διὰ Πνεύματος ἡμῖν ἐνοικιζομένου καὶ ἐν ἡμῖν γινομένου, πρὸς τὸ τῆς υἱοθεσίας ἀναβαίνομεν ἀξίωμα, αὐτὸν ἔχοντες ἐν αὐτοῖς τὸν Υἱὸν, πρὸς ὃν καὶ ἀναμορφούμεθα τῇ τοῦ Πνεύματος αὐτοῦ μετοχῇ, καὶ εἰς τὸ ἴσον τῆς παῤῥησίας ἀναβαίνοντες σχῆμα, τολμῶμεν λέγειν·

[08043] Ἀββᾶ, ὁ Πατήρ.

[08044] Οὐκοῦν τὸ Πνεῦμα Θεὸς, εἴπερ ἐργάζεται θεοὺς τοὺς δεχομένους αὐτό.

[08045] ΑΛΛΟ.

[08046] Ἐπιστέλλει πάλιν ὁ Παῦλός τισιν·

[08047] Ὥσπερ γὰρ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν τὴν εἰκόνα τοῦ ἐπουρανίου·

[08048] χοϊκὸν εἶναι λέγων τοῦ ἀνθρωπίνου γένους τὸν ἀρχηγέτην Ἀδὰμ, οὗ τὴν εἰκόνα πεφορέκαμεν ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως [75.572] Ἀδὰμ καταβεβηκότες εἰς θάνατον καὶ φθοράν.

[08049] Ἐπουράνιον δὲ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὗ τὴν εἰκόνα λαβόντες, τὸ ἐνοικῆσαν ἐν ἡμῖν ζωοποιόν τε καὶ ἅγιον Πνεῦμα, πρὸς αὐτὸν ἀναμορφούμεθα τὸν ζῶντα τοῦ Θεοῦ Λόγον, πάλιν εἰς ἀφθαρσίαν ἀναβαίνοντες, καὶ εἰς αἰώνιον ἀνακαινιζόμενοι ζωήν.

[08050] Τὸ γὰρ Πνεῦμά ἐστι τὸ ζωοποιοῦν, κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνήν.

[08051] Ὥσπερ οὖν ἐπειδήπερ εἰκών ἐστιν ἀκριβεστάτη τοῦ Πατρὸς ὁ Υἱὸς, ὁ δεξάμενος αὐτὸν καὶ τὸν Πατέρα ἔχει·

[08052] οὕτως ἐπὶ τὸ ἴσον σχῆμα τῆς ἀναλογίας τρεχούσης, ὁ δεξάμενος τοῦ Υἱοῦ τὴν εἰκόνα, τουτέστι τὸ Πνεῦμα, ἔχει πάντως δι' αὐτοῦ τὸν Υἱὸν, καὶ τὸν ἐν αὐτῷ Πατέρα.

[08053] Πῶς οὖν ἐν ποιήμασι τὸ Πνεῦμα τὸ ἅγιον καταριθμηθήσεται, εἴπερ ἐστὶν εἰκὼν ἀπαράλλακτος τοῦ Υἱοῦ τοῦ Θεοῦ;

[08054] Οὐ γὰρ δή που καὶ εἰς τοῦτο παρανοίας βαδιοῦνταί τινες, ὡς τολμῆσαι λέγειν ἐν τοῖς πεποιημένοις τοῦ ποιοῦντος εἰκόνα δύνασθαι διαπρέπειν ἀπαραλλάκτως, καὶ πάντα φέρειν ἐν ἑαυτῇ φυσικῶς ὅσαπερ ἐκείνῳ πρόσεστιν, οὗ καὶ ἔστιν εἰκών.

[08055] Εἰ δὲ εἰκὼν τοῦ Υἱοῦ τὸ Πνεῦμα καλεῖται, Θεὸς ἄρα καὶ οὐχ ἑτέρως ΑΛΛΟ.

[08056] Γέγραπται πάλιν·

[08057] Προφῆται δύο ἢ τρεῖς λαλείτωσαν.

[08058] Εἶτά φησιν·

[08059] Ἐὰν δὲ πάντες προφητεύουσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων.

[08060] Τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται, καὶ οὕτως πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων ὅτι ὄντως ὁ Θεὸς ἐν ἡμῖν ἐστιν.

[08061] Ὅτε τοίνυν οἱ τὸ Πνεῦμα λαμβάνοντες τὸ ἅγιον, Θεὸν ἔχοντες ἐν ἑαυτοῖς προφητεύουσι, καὶ διὰ τοῦτο θαυμάζονται, πῶς ἔσται ποίημα, καὶ οὐχὶ μᾶλλον τῆς ἀνωτάτω πασῶν οὐσίας μετάληψις σχετικὴ, φυσικῶς διαβαίνουσα παρὰ Πατρὸς δι' Υἱοῦ πρὸς τοὺς ἐπιτηδείους εἰς τὸ λαβεῖν, ὥσπερ ἂν γένοιτο καὶ ἐκ πυρὸς θερμότης ἐν σώματι;

[08062] ΑΛΛΟ.

[08063] Γέγραπται πάλιν·

[08064] Ὁ γὰρ λαλῶν γλώσσαις, οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ τῷ Θεῷ.

[08065] Οὐδεὶς γὰρ ἀκούει, Πνεύματι δὲ λαλεῖ μυστήρια.

[08066] Ἰδοὺ τὸν γλώσσαις λαλοῦντα, Θεῷ διαλέγεσθαι σαφῶς ὁ Παῦλός φησιν.

[08067] Εἶτα Θεὸν δεικνύων τὸ Πνεῦμα, συνάψας ἐπάγει·

[08068] Πνεύματι δὲ λαλεῖται μυστήρια.

[08069] Πῶς οὖν οὐκ ἔσονται τοῖς τῆς δυσφημίας ἐγκλήμασιν ἔνοχοι, οἱ τὸ Πνεῦμα τολμῶντες καταριθμεῖν ἐν ποιήμασιν;

[08070] ΑΛΛΟ.

[08071] Ἐπιστέλλει πάλιν Κορινθίοις ὁ Παῦλος·

[08072] Ἡμεῖς γὰρ ναοί ἐσμεν Θεοῦ ζῶντος, καθὼς εἶπεν ὁ Θεός·

[08073] Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσονταί μοι εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς Θεόν.

[08074] Καὶ πάλιν ἐπὶ τούτοις·

[08075] Μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ τὸ ἐνοικοῦν ἐν ἡμῖν.

[08076] Καὶ πάλιν·

[08077] Εἴ τις οὖν τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός.

[08078] Ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς.

[08079] Οὐκοῦν εἰ τὸ Πνεῦμα λαβόντες, καὶ ναὸς [75.573] καὶ οἶκος Θεοῦ χρηματίζομεν, ὡς Θεὸν ἔχοντες ἐν ἑαυτοῖς οἰκοῦντα καὶ ἐμπεριπατοῦντα, καθὼς γέγραπται, πῶς οὐ Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον, κἂν μὴ βούλωνταί τινες τῶν δι' ἐναντίας, οἷς τὸ μὴ πείθεσθαι τῇ θείᾳ Γραφῇ σύνηθές τε καὶ φίλον;

[08080] ΑΛΛΟ.

[08081] Ὁ μακάριος Παῦλος δοῦλον ἑαυτὸν Ἰησοῦ Χριστοῦ καὶ κλητὸν ἀπόστολον ἀποκαλῶν, ἀφωρίσθαι φησὶν εἰς Εὐαγγέλιον Θεοῦ.

[08082] Εἶτα πάλιν ἑτεροτρόπως τὸ αὐτὸ σημαίνων, ἐπιστέλλει πρός τινας ὡς περὶ Θεοῦ·

[08083] Ὃς ἱκάνωσεν ἡμᾶς διακόνους Καινῆς Διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος.

[08084] Εἰ τοίνυν διαθήκην Πνεύματος οἶδεν τὸ Εὐαγγέλιον τοῦ Θεοῦ εἰς ὃ καὶ ἀφωρίσθαι φησὶ, πῶς οὐ Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον;

[08085] ΑΛΛΟ.

[08086] Γέγραπται πάλιν·

[08087] Εἰ δὲ τὸ Πνεῦμα τοῦ ἐγείραντος Χριστὸν Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν.

[08088] Ἀλλ' εἴπερ ἦν ὄντως ποίημα καὶ κτίσμα κατὰ τὴν τῶν ἑτεροδόξων μανίαν τὸ Πνεῦμα τὸ ἅγιον, πῶς ὅλην ἔχει τοῦ Θεοῦ τὴν ἐνέργειαν;

[08089] Οὐ γὰρ δή τις τοσοῦτον, οἶμαι, τοῦ φρονεῖν ὀρθῶς ἐκβήσεται, ὡς τολμῆσαι καὶ μόνον εἰπεῖν τὴν θείαν οὐσίαν δι' ὀργάνων τινῶν ἔξωθεν εἰς τὸ εἶναι παρενεχθέντων διακονεῖσθαι πρὸς ἐνέργειαν τὴν ἐξ αὐτῆς φυσικῶς διαβαίνουσαν πρός τινας τῶν ἐπιτηδείων πρὸς τὸ λαβεῖν.

[08090] Ἐπειδὴ δὲ ζωὴ μὲν ἔστι κατὰ φύσιν ὁ Υἱὸς, ζωοποιεῖ δὲ τὸ Πνεῦμα τὸ παρ' αὐτοῦ χωρηγούμενον, ἀνάγκη λοιπὸν ἐκ τῆς οὐσίας ὑπάρχειν ὁμολογεῖν αὐτὸ τῆς τοῦ Υἱοῦ καὶ Θεοῦ, καὶ πᾶσαν αὐτοῦ τήν τε δύναμιν καὶ τὴν ἐνέργειαν ἔχον, ὥσπερ ἂν εἰ καὶ ὕδατος ἀτμὶς ἀναβαίνοι, καὶ δι' ὧν ἐνεργεῖ τοὺς παρ' οἷς ἂν γένοιτο ψύχουσα, τοῦ ἐκπέμποντος αὐτὴν τὴν φύσιν σημαίνουσα.

[08091] ΛΟΓΟΣ ΛΔ'.

[08092] Παράθεσις ῥητῶν ἐφεξῆς, ἐν οἷς ἔστι τὸν ἐπι τηροῦντα θεωρεῖν, ὅτι Θεὸς τὸ Πνεῦμα, καὶ τὴν αὐτοῦ ἐνέργειαν ἔχον τῷ Υἱῷ πανταχοῦ, καὶ οὐκ ἀπεξενωμένον τῆς οὐσίας αὐτοῦ·

[08093] ὁμοῦ δὲ διδάσκουσιν ὅτι Θεοῦ λεγομένου κατοικεῖν ἐν ἡμῖν, τὸ Πνεῦμά ἐστι τὸ ἐνοικοῦν.

[08094] Πρὸς Τιμόθεον ὁ Παῦλος·

[08095] Τὴν καλὴν παραθήκην φύλαξον, διὰ Πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν.

[08096] Πρὸς Ῥωμαίους·

[08097] Οὐ τολμῶ μὲν λαλεῖν τι, ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ, εἰς ὑπακοὴν ἐθνῶν λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύματος Θεοῦ.

[08098] Καὶ πάλιν·

[08099] Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοὶ, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος, συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς.

[08100] Πρὸς Κορινθίους·

[08101] Ἢ οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε [75.576] ἀπὸ τοῦ Θεοῦ;

[08102] Καὶ πάλιν·

[08103] Ὁ κολλώμενος τῷ Κυρίῳ, ἓν Πνεῦμά ἐστιν.

[08104] Ἰδοὺ σαφῶς ἐνθάδε Πνεῦμα λέγει Κύριον·

[08105] σαφέστερον δὲ τοῦτο ποιῶν, ἐπιστέλλει πάλιν περὶ τῶν Ἰουδαίων·

[08106] Ἄχρι γὰρ τῆς σήμερον ἡμέρας τὸ αὐτὸ κάλυμμα ἐπὶ τῆς Παλαιᾶς Διαθήκης μένει μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται.

[08107] Ἀλλ' ἕως σήμερον ἡνίκα ἀναγινώσκηται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται.

[08108] Ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα.

[08109] Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν.

[08110] Οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία.

[08111] Καὶ πάλιν·

[08112] Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος.

[08113] Ὅτε τοίνυν εἷς ἐστι Κύριος Ἰησοῦς Χριστὸς, κατὰ τὴν τοῦ Παύλου φωνὴν, Κύριον δὲ τὸ Πνεῦμα καλεῖ, οὐδεμίαν ἄρα φύσεως οἶδε διαφορὰν τοῦ Υἱοῦ καὶ Πνεύματος, ἀλλ' ὡς ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ φυσικῶς ὑπάρχον τῷ τῆς κυριότητος ὀνόματι καλεῖ.

[08114] ΑΛΛΟ.

[08115] Γράφει πάλιν·

[08116] Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ὃς συμβιβάσει αὐτόν;

[08117] Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν·

[08118] τὸ Πνεῦμα λέγων τὸ ἐνοικοῦν ἐν ἡμῖν.

[08119] Ὅτε τοίνυν νοῦς ἀπεκλήθη Χριστοῦ·

[08120] πῶς ἂν εἴη τῶν πεποιημένων, οὐκ ἐνδεχομένου τὴν θείαν καὶ ἀκήρατον φύσιν ἔχειν τι τῶν ἔξωθεν οὐσιωδῶς ἐν αὐτῇ;

[08121] ΑΛΛΟ.

[08122] Εὑρίσκεταί που γεγραμμένον, μᾶλλον δέ φησιν ὁ μακάριος εὐαγγελιστὴς Ἰωάννης·

[08123] Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν ἡμῖν ἐστιν ὁ Θεὸς, ἐκ τοῦ Πνεύματος οὗ ἔδωκεν ἡμῖν.

[08124] Εἰ τοίνυν ἐνοικισθέντος ἡμῖν διὰ μετοχῆς τοῦ Πνεύματος, Θεός ἐστιν ὁ ἐνοικῶν, καὶ ἡμεῖς μὲν ἐν αὐτῷ γινόμεθα, αὐτὸς δὲ πάλιν ἐν ἡμῖν, διὰ τὸ Πνεῦμα φορεῖν, πῶς οὐκ ἔσται τὸ Πνεῦμα Θεὸς, ὅλην ἔχων οὐσιωδῶς ἐν ἑαυτῷ τὴν ἰδιότητα τοῦ Πατρὸς καὶ Θεοῦ, οὗ καὶ Πνεῦμά ἐστι δι' Υἱοῦ τῇ κτίσει χορηγούμενον;

[08125] ΑΛΛΟ.

[08126] Φησί που Χριστὸς Ἰουδαίοις προσδιαλεγόμενος·

[08127] Εἰ δὲ ἐν δακτύλῳ Θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ;

[08128] Καὶ δάκτυλόν φησιν ἐνθάδε τὸ Πνεῦμα τὸ ἅγιον, τρόπον τινὰ τῆς θείας οὐσίας ἐκπεφυκὸς καὶ φυσικῶς αὐτῆς ἐκκρεμάμενον, ὥσπερ καὶ ὁ δάκτυλος ἐκ τῆς ἀνθρωπείας χειρός.

[08129] Βραχίονα μὲν γὰρ καὶ δεξιὰν Θεοῦ τὸν Υἱὸν ἀποκαλοῦσιν αἱ θεῖαι Γραφαὶ, κατὰ τό·

[08130] Ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.

[08131] Καὶ πάλιν·

[08132] Κύριε, ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδεισαν·

[08133] γνόντες δὲ αἰσχυνθήσονται.

[08134] Ὥσπερ οὖν ὁ βραχίων φυσικῶς ἐνήρμοσται τῷ ὅλῳ σώματι, πάντα ἐνεργῶν ὅσαπερ ἂν δόξῃ τῇ διανοίᾳ, καταχρίει δὲ συνήθως, τῷ δακτύλῳ πρὸς τοῦτο κεχρημένος·

[08135] οὕτω τὸν μὲν τοῦ Θεοῦ Λόγον ἐξ αὐτοῦ καὶ [75.577] ἐν αὐτῷ φυσικῶς ἡρμοσμένον, ἵν' οὕτως εἴπω, καὶ ἐμπεφυκότα λογιζώμεθα, ἐν δὲ τῷ Υἱῷ φυσικῶς τε καὶ οὐσιωδῶς διῆκον παρὰ Πατρὸς τὸ Πνεῦμα, δι' οὗ τὰ πάντα χρίων ἁγιάζει.

[08136] Οὐκοῦν οὐκ ἀλλότριον οὐδὲ ἀπεξενωμένον τὸ Πνεῦμα τὸ ἅγιον τῆς θείας φύσεως φαίνεται, ἀλλ' ἐξ αὐτῆς καὶ ἐν αὐτῇ φυσικῶς.

[08137] Ὥσπερ οὖν καὶ ὁ τοῦ σώματος δάκτυλος ἐν τῇ χειρὶ, ὁμοφυὴς ὢν αὐτῇ, καὶ ἡ χεὶρ αὖ πάλιν ἐν τῷ σώματι οὐχ ἑτεροούσιος ὡς πρὸς αὐτὸ τυγχάνουσα.

[08138] Τούτων δὲ ἡμῖν ἐχόντων τῇδε, Θεὸς ἄρα τὸ Πνεῦμά ἐστι, καὶ οὐχ ἑτέρως.

[08139] ΑΛΛΟ.

[08140] Λέγει που Ψάλλων ὁ μακάριος Δαβὶδ, καὶ τοὺς λόγους ἀνατείνων πρὸς τὸν Θεόν·

[08141] Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου;

[08142] καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;

[08143] Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ·

[08144] ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει.

[08145] Ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου.

[08146] Ὅτε τοίνυν τὸ Πνεῦμα καὶ πρόσωπον ἀποκαλεῖ τοῦ Πατρὸς ὡς ἐξεικονίζον διὰ τῆς θεοπρεποῦς ἐνεργείας τὴν ἐξ ἧς ἐστιν οὐσίαν·

[08147] ἀποκαλεῖ δὲ καὶ χεῖρα διὰ τὴν ἐνυπάρχουσαν αὐτῷ παντουργὸν δύναμιν, πῶς οὐκ ἂν εἴη Θεὸς κατ' οὐσίαν τῷ Πατρὶ συνημμένον, ἐξ αὐτοῦ τε ὂν καὶ ἐν αὐτῷ, ὥσπερ οὖν καὶ ἡ χεὶρ τοῦ ἀνθρωπείου σώματος οὐ κεχώρισται, δέδεται δὲ μᾶλλον ἐν αὐτῷ καὶ ἐῤῥιζώθη φυσικῶς.

[08148] ΑΛΛΟ.

[08149] Ὅτι Θεὸς τὸ Πνεῦμα, καὶ ἐντεῦθεν εἰσόμεθα·

[08150] Ὁ τῶν ἀποστόλων πρόκριτος, ᾧ τὸ θεῖον μυστήριον σὰρξ καὶ αἷμα, καθά φησιν ὁ Σωτὴρ, οὐκ ἀπεκάλυψεν, ἀλλ' ὁ Πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς λέγει που πρὸς Ἀνανίαν, προσάγοντα μὲν τὴν τοῦ χωρίου τιμὴν, ἀπονοσφισάμενον δέ τι μέρος ἀπ' αὐτῆς·

[08151] Ἀνανία, διὰ τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου;

[08152] Εἶτα συνάπτει πρὸς τούτοις τό·

[08153] Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ.

[08154] Οὐκοῦν εἰ ὁ τῷ Πνεύματι τῷ ἁγίῳ ψευδόμενος, τῷ Θεῷ ψεύδεται, Θεὸς ἄρα τὸ Πνεῦμα καὶ ἐν Θεῷ φυσικῶς.

[08155] ΑΛΛΟ.

[08156] Γαλάταις ἐπιστέλλων ὁ Παῦλός φησι·

[08157] Τεκνία, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.

[08158] Εἰ δὲ μορφοῦται Χριστὸς ἐν ἡμῖν διὰ τῆς Πνεύματος ἐνεργείας, διὰ πάσης ἀρετῆς ἀναπλάττων ἡμᾶς εἰς οἰκείαν ἐμφέρειαν, καὶ πνευματικοὺς ἐπεργαζόμενος, Θεὸς ἄρα τὸ Πνεῦμα Χριστοῦ τὸ ὡς αὐτὸς ἐν ἡμῖν μορφούμενον.

[08159] ΑΛΛΟ.

[08160] Τὰ ἐκ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας εὐαγγελιζόμενος ἀγαθὰ, φησί που Θεὸς περὶ τῶν ἑαυτοῦ ποιμνίων, ὅτι Ἀναστήσω αὐτοῖς ποιμένας κατὰ τὴν καρδίαν μου, καὶ ποιμανοῦσιν αὐτὰ ποιμαίνοντες μετ' ἐπιστήμης.

[08161] Παῦλος δὲ τῆς ἀληθείας ὁ κήρυξ τοῖς [75.580] Ἐφεσίων πρεσβυτέροις προσομιλῶν·

[08162] Προσέχετε, φησὶν, ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους.

[08163] Ὅτε τοίνυν ἅπερ ὑπέσχετο δρᾷν ὁ Θεὸς μετ' ἐξουσίας τὸ Πνεῦμα πληροῖ, καὶ ποιμένας ἐγείρει κατὰ τὴν ἐν προφήταις ἐπαγγελίαν, οὐκ ἀλλότριον ἄρα τῆς θείας οὐσίας ἐστὶν, ἀλλ' ὡς ἐνέργεια φυσική τε καὶ οὐσιώδης καὶ ἐνυπόστατος, ἐξ αὐτῆς προϊοῦσα καὶ ἐν αὐτῇ μένουσα πάντα ἐργάζεται τὰ τοῦ Θεοῦ.

[08164] ΑΛΛΟ.

[08165] Λέγει που Χριστὸς πρὸς τὸν ἑαυτοῦ Πατέρα περὶ ἡμῶν·

[08166] Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου.

[08167] Αὐτός τε πάλιν φησὶν ὁ Θεὸς διὰ τοῦ προφήτου Ἰεζεκιήλ·

[08168] Καὶ ἔσομαι αὐτοῖς Θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός.

[08169] Καὶ γνώσονται τὰ ἔθνη ὅτι ἐγὼ Κύριος, ὁ ἁγιάζων αὐτούς.

[08170] Εἰ τοίνυν Θεοῦ λέγοντος ἁγιάζειν τοὺς αὐτῷ προσεδρεύοντας, τὸ Πνεῦμά ἐστι τὸ τὴν ὑπόσχεσιν ἀποπληροῦν καὶ ἁγιάζον, Θεὸς ἄρα τὸ Πνεῦμα, καὶ οὐκ ἀλλότριον τῆς ἀνωτάτω πασῶν οὐσίας.

[08171] ΑΛΛΟ.

[08172] Ἐνανθρωπῆσαι τὸν τοῦ Θεοῦ Λόγον, πᾶσα μὲν ἡ θεία διϊσχυρίζεται Γραφὴ, καὶ αὐτοὶ δὲ πάντως ὁμολογήσουσιν οἱ δι' ἐναντίας.

[08173] Ἐπειδὴ δὲ γέγραπται περὶ αὐτοῦ, ὅτι ποτὲ μὲν ἤγετο τῷ Πνεύματι εἰς τὴν ἔρημον, ποτὲ δὲ καὶ ἤγετο ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ Πνεύματος εἰς τὴν Γαλιλαίαν, λεγέτωσαν ἡμῖν οἱ τῆς θείας οὐσίας τὸ Πνεῦμα διορίζοντες καὶ τολμῶντες αὐτὸ τοῖς κτίσμασιν ἐγκαταριθμεῖν, τίνα τρόπον ὁ Υἱὸς ἡ σοφία καὶ δύναμις τοῦ Πατρὸς, τῇ δυνάμει τοῦ Πνεύματος εἰς τὴν Γαλιλαίαν ἀνήγετο, καὶ τὸν διάβολον ἐν τῇ ἐρήμῳ διὰ τοῦ Πνεύματος ἐνίκα καὶ κατηγωνίζετο.

[08174] Ἄρα καὶ ἰσχύος αὐτὸν ἐνδεᾶ τολμήσουσι λέγειν, μᾶλλον δὲ εἰς τοσαύτην δώσουσιν ἀσθένειαν ἐλθεῖν, ὡς ἐν χρείᾳ καθεστηκέναι τῆς ἀπὸ τοῦ Πνεύματος βοηθείας τοῦ πεποιημένου καὶ ἐκτισμένου, κατὰ τὸν τῶν ἑτεροδόξων λόγον;

[08175] Καὶ πῶς ἔτι τῶν δυνάμεων Κύριος ὁ διὰ κτίσματος βοηθούμενος;

[08176] Ἀλλὰ τοῦτο καὶ μόνον ἐννοεῖν ἀτοπώτατον.

[08177] Θεὸς ἄρα τὸ Πνεῦμά ἐστι τὸ ἐν Υἱῷ παρὰ Πατρὸς φυσικῶς ὑπάρχον, καὶ ὅλην αὐτοῦ τὴν ἐνέργειαν ἔχον.

[08178] Ἐνεργὸς δὲ ὁ Λόγος εἰς τὴν ἐπ' ἐκείνῳ νίκην διὰ Πνεύματος ἦν, ὡς ταύτῃ κεχρημένος ἰσχύϊ, ἔχων τὸ οὐσιωδῶς ἐν ἑαυτῷ, τῷ διαβόλῳ μὲν κατὰ τὴν ἔρημον ἀντιστατοῦν, ἐν δὲ τῇ Γαλιλαίᾳ τὰς διὰ τῶν σημείων δυνάμεις ἐπιτελοῦν.

[08179] Τὰ γὰρ πάντα παρὰ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι.

[08180] ΑΛΛΟ.

[08181] Φησί που Θεός·

[08182] Ἦ οὐχὶ καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος;

[08183] Καὶ πληροῖ δηλονότι, πανταχόθεν διὰ Πνεύματος παρών.

[08184] Ὅπερ εἰδὼς ὁ Ψαλμῳδὸς ἔλεγε·

[08185] Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου;

[08186] Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ.

[08187] Ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει.

[08188] Εἰ τοίνυν διὰ τοῦ Πνεύματος πληροῖ μὲν τὰ πάντα Θεὸς, πάρεστι δὲ πανταχοῦ, Θεὸς ἄρα τὸ Πνεῦμα, τὸ τὰ πάντα πληροῦν ὡς Θεός.

[08189] [75.581] ΑΛΛΟ.

[08190] Ἀθηναίοις ὁ Παῦλος τὰ πρὸς εὐσέβειαν διαλεγόμενος, καὶ τὸν ἀληθῆ καταγγέλλων Θεὸν, ἔφασκεν, ὡς Ἐν αὐτῷ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν.

[08191] Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν τοιαύτην ἐνέργειαν τὴν ἐν ἡμῖν γινομένην παρὰ Θεοῦ, τῷ ἁγίῳ Πνεύματι περιτίθησι λέγων·

[08192] Τὸ Πνεῦμά ἐστι τὸ ζωοποιοῦν.

[08193] Θεὸς οὖν ἄρα τὸ Πνεῦμα τὸ ἐν ᾧ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμὲν, κατὰ τὴν τοῦ Παύλου φωνὴν, καὶ τὴν τοῦ Σωτῆρος ἡμῶν μαρτυρίαν.

[08194] ΑΛΛΟ.

[08195] Λέγει που Χριστὸς περὶ τῶν ἀξίων, εἰς τὸ καὶ θεότητος μετασχεῖν·

[08196] Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα.

[08197] Ἀλλ' ἔστι δῆλον ὅτι τοῖς ἁγίοις ἐνοικεῖ διὰ Πνεύματος.

[08198] Ὅτε τοίνυν τὴν τοῦ Πατρὸς παρουσίαν, ὁμοίως δὲ καὶ τὴν τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἀναπληροῖ, πῶς οὐκ ἔσται δῆλον, ὡς οὐ διώρισται τῆς οὐσίας τῆς θείας, ἀλλ' ἐξ αὐτῆς φυσικῶς ἐκπεμπόμενον, ὅλην ἔχει τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὴν ἐνέργειαν;

[08199] Καὶ ὅτι τὸ Πνεῦμά ἐστι τὸ τοῖς ἁγίοις παρὰ Πατρὸς δι' Υἱοῦ πεμπόμενον, αὐτὸς μαρτυρήσει λέγων ὁ Σωτήρ·

[08200] Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος ὃν ἐγὼ πέμψω παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ Καὶ πάλιν·

[08201] Ὁ δὲ Παράκλητος τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος διδάξει ὑμᾶς, καὶ ὑπομνήσει ὑμᾶς πάντα ὅσα εἶπον ὑμῖν.

[08202] ΑΛΛΟ.

[08203] Κορινθίοις ὁ Ἀπόστολος ἐπιστέλλων, περὶ ἑαυτοῦ φησιν ἐν ἀρχῇ τῆς ἐπιστολῆς·

[08204] Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ.

[08205] Ἰδοὺ σαφῶς ἐνθάδε τὸ τῆς ἀποστολῆς ὄνομα καὶ πρᾶγμα παρὰ Χριστοῦ καὶ Ἰησοῦ διισχυρίζεται λαμβάνειν.

[08206] Ἐν δὲ ταῖς Πράξεσι τῶν ἀποστόλων γέγραπταί τι τοιοῦτον·

[08207] Λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ, καὶ νηστευόντων, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον·

[08208] Ἀφορίσατε δή μοι τὸν Βαρνάβαν, καὶ τὸν Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτοὺς, Εἰ τοίνυν κεκληκότος αὐτὸν εἰς ἀποστολὴν τοῦ Πνεύματος, παρὰ Χριστοῦ Ἰησοῦ κεκλῆσθαί φησι, δείκνυται σαφῶς οὐκ ἀλλότριον τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον.

[08209] Ἀλλ' ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ, καὶ ὥσπερ ἐνέργειά τις φυσικὴ πάντα δυναμένη πληροῦν ὅσα καὶ βούλεται.

[08210] ΑΛΛΟ, ὅτι τέλειον τὸ Πνεῦμα τὸ ἅγιον καὶ οὐδὲν ἀτελὲς ἐν αὐτῷ·

[08211] κἂν γὰρ φέρηταί τινα περὶ αὐ τοῦ παρὰ ταῖς θείαις Γραφαῖς, ὑπεμφαίνοντά τι τοιοῦτον, τῆς οἰκονομίας ἕνεκα τῆς δι' ἡμᾶς εἰρῆσθαι δώσομεν.

[08212] Πρότασις ὡς ἐκ τῶν δι' ἐναντίας.

[08213] Καὶ πῶς οὐκ ἄτοπον καὶ σφόδρα, φασὶ, δυσμαθὲς, τὸ ἐκ τῆς οὐσίας τῆς τοῦ Θεοῦ λέγειν τὸ Πνεῦμα, τὸ οὕτως ἀτελὲς, καὶ οὐδὲν ἔχον ἐξ αὐτοῦ·

[08214] ἀλλ' ἐκ μετοχῆς ἐκείνου ὑπάρχον ὅπερ ἐστί;

[08215] Σαφέστατα γοῦν ἐν τοῖς Εὐαγγελίοις, τοῦτο περὶ αὐτοῦ φησιν ὁ [75.584] Σωτήρ·

[08216] Οὐ γὰρ λαλήσει λέγων ἀφ' ἑαυτοῦ οὐδὲν, ἀλλ' ὅσα ἀκούσει, λαλήσει.

[08217] Εἴπερ οὖν ἦν ἐξ ἑαυτοῦ, τὸ τέλειον ἔχειν δυνάμενον, ἐλάλησεν ἂν καὶ ἐφ' ἑαυτοῦ, μηδὲν τῆς παρ' ἑτέρου δεηθὲν ὑπομνήσεως.

[08218] Πρὸς τοῦτο λύσις.

[08219] Θαυμάσειεν ἄν τις, καὶ μάλα εἰκότως, ἐννοήσας τὴν τῶν δι' ἐναντίας ἀπόνοιάν τε καὶ ἀβουλίαν·

[08220] δι' ὧν γὰρ ἐχρῆν ἐκπαιδεύεσθαι μᾶλλον τὸ περὶ τοῦ ἁγίου Πνεύματος μυστήριον, καὶ νοεῖν ὅτι δὴ καρπός τις ὥσπερ ἐστὶ τῆς θείας οὐσίας, ἐν αὐτῇ τε ὂν καὶ ἐξ αὐτῆς ἀμερίστως τε καὶ ἀχωρίστως προσερχόμενον, καὶ ἡνωμένον κατὰ τὴν ταυτότητα τῆς φύσεως.

[08221] Διὰ τούτων αὐτῶν σκανδαλίζονται, σειραῖς τῶν οἰκείων ἁμαρτημάτων σφιγγόμενοι, κατὰ τὸ γεγραμμένον, καὶ τὴν εὐθεῖαν τῶν μαθημάτων ὁδὸν διὰ τοῦτο βαδίζειν οὐκ ἰσχύοντες.

[08222] Οὐ γὰρ ἀτελὲς τὸ Πνεῦμα δεικνύων ταῦτα περὶ αὐτοῦ φησιν ὁ Σωτὴρ, ἀλλ' ἵνα μᾶλλον πληροφορήσῃ τοὺς ἀκροωμένους, ὡς τῆς οὐσίας ὑπάρχον αὐτοῦ, οὐχ ἕτερόν τι λαλήσει παρ' ὅπερ αὐτὸς βούλεται.

[08223] Καὶ γὰρ νοῦς ὑπάρχων αὐτοῦ, κατὰ τὸν μακάριον Παῦλον·

[08224] Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν, λέγοντα περὶ τοῦ Πνεύματος, ἐκεῖνα πάντως λογιεῖται καὶ διατάξει, ἅπερ ἂν καὶ αὐτὸς, οὗ καὶ ἔστι νοῦς.

[08225] Διὰ τοῦτο μηδὲν ἐξ αὐτοῦ λαλήσει τὸ Πνεῦμα·

[08226] διϊσχυρίσατο, μονονουχὶ λέγων·

[08227] Ἐγώ εἰμι πάλιν ὁ λαλῶν, ὥσπερ ἂν εἰ καὶ ὁ ἐν ἀνθρώπῳ νοῦς λέγοι περὶ τοῦ προκύπτοντος ἐξ αὐτοῦ λόγου.

[08228] Οὐ λαλήσει ἀφ' ἑαυτοῦ οὐδέν·

[08229] ἀλλ' ὅσα ἂν ἀκούσῃ λαλήσει.

[08230] Καὶ οὐ δή που τὸν κοινὸν τουτονὶ καὶ προφορικὸν τοῦ ἀνθρώπου λόγον, ἀτελῆ τις ἐρεῖ, διὰ τὸ ἐν νῷ μορφοῦσθαι πρότερον, καὶ τὰ ἐξ αὐτοῦ λαβόντα προέρχεσθαι.

[08231] Φυσικὴ γὰρ ἕνωσις ὀξέως τὰ ἐντεῦθεν ἐν ἐκείνῳ τίθησι.

[08232] Τοιαύτην τινὰ διάνοιαν δέχεσθαι χρὴ καὶ περὶ τοῦ ἁγίου Πνεύματος.

[08233] Νοῦς γὰρ ὑπάρχων Χριστοῦ, πάντα τὰ ἐν αὐτῷ διαλέγεται τοῖς μαθηταῖς, οὐκ ἐν ἰδίᾳ τινὶ θελήσει, οὐδὲ μὴν ἐν ἀλλοτρίᾳ βουλήσει τοῦ ἐν ᾧ καὶ ἐξ οὗ ἐστιν ὁμιλοῦν, ἀλλ' ὡς ἐκ τῆς οὐσίας αὐτοῦ φυσικῶς προϊὸν, καὶ ὅλην αὐτοῦ τὴν βούλησιν ἔχον ὥσπερ καὶ τὴν ἐνέργειαν.

[08234] Ὅτι ἐκ τῆς οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον.

[08235] Τὴν ἀνθρώπου ποίησιν καὶ τὴν εἰς τὸ εἶναι πάροδον ἐξηγούμενος ὁ μακάριος Μωσῆς, εἰληφέναι τὸν Θεὸν χοῦν ἀπὸ τῆς γῆς διισχυρίζεται, καὶ πλάσαι μὲν τῇ παντουργῷ δυνάμει τὸ ὁρώμενον δὴ τοῦτο τοῦ σώματος σχῆμα, ἐμφυσῆσαι δὲ εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς·

[08236] ὡς γενέσθαι τὸν ἄνθρωπον εἰς ψυχὴν ζῶσαν.

[08237] Τὸ δοθὲν τοιγαροῦν ἐμφύσημα θεῖον τῷ πεπλασμένῳ, οὐκ αὐτὴν εἶναί φαμεν τὴν ψυχὴν (ἢ γὰρ ἂν ἄτρεπτος ἦν, ὡς ἐκ τοιαύτης προελθοῦσα φύσεως), ἀλλὰ τὴν τοῦ ἁγίου Πνεύματος μετουσίαν ἐντεθεῖσαν ἐξ ἀρχῆς τῇ ἀνθρωπείᾳ ψυχῇ.

[08238] Πᾶσα γὰρ ἡ τελειότης τοῖς πεποιημένοις διὰ τοῦ Πνεύματος, ὅθεν καὶ κατ' εἰκόνα Θεοῦ τὸ τεχνηθὲν ἐποιήθη ζῶον, ὡς διὰ τῆς μετουσίας τοῦ Πνεύματος, [75.585] πρὸς αὐτὸν μεμορφωμένον.

[08239] Ἀλλ' ὅπερ ὁ μακάριος Μωσῆς ἐμπεφυσῆσθαι παρὰ Θεοῦ τῷ ἀνθρώπῳ διϊσχυρίσατο, τοῦτο Χριστὸς ἀνανεῶν ἐν ἡμῖν μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, ἐνεφύσησε τοῖς ἑαυτοῦ μαθηταῖς λέγων·

[08240] Λάβετε Πνεῦμα ἅγιον, ἵνα πάλιν ἀναμορφωθέντες εἰς τὴν ἐξ ἀρχῆς εἰκόνα, σύμμορφοι φαινώμεθα τῷ πεποιηκότι διὰ τῆς τοῦ Πνεύματος μετοχῆς.

[08241] Ὅτε τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν γενόμενον, συμμόρφους ἀποδεικνύει Θεοῦ, πρόεισι δὲ καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ, πρόδηλον ὅτι τῆς θείας ἐστὶν οὐσίας, οὐσιωδῶς ἐν αὐτῇ καὶ ἐξ αὐτῆς προϊόν.

[08242] Ὥσπερ οὖν ἀμέλει καὶ τὸ ἐξ ἀνθρωπείου στόματος ἐκτρέχον ἐμφύσημα, εἰ καὶ μικρὸν καὶ οὐκ ἄξιον τοῦ λόγου τὸ ὑπόδειγμα·

[08243] πάντα γὰρ ὑπερέχει Θεός.

[08244] ΑΛΛΟ.

[08245] Ὅρους ἐπωφελεστάτους ταῖς Ἐκκλησίαις ὁ Παῦλος τιθεὶς, καὶ ὅπως ἡμᾶς ἐν αὐταῖς εἶναι χρὴ διατάσσων, καὶ τῷ ἐπὶ πάντων φαίνεσθαι Θεῷ·

[08246] Ἀνὴρ μὲν, φησὶ, οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων.

[08247] Εἶτα τὴν γυναῖκα δόξαν ἀνδρὸς εἶναι διϊσχυρίσατο.

[08248] Καὶ κατὰ ποῖον λόγον, ἀναγκαῖον ἐξετάζειν ἀμφότερα.

[08249] Προκείσθω δὴ οὖν ἐν πρώτοις τὸ περὶ ἀνδρὸς εἰρημένον, καὶ ζητῶμεν ὅπως εἰκὼν ὑπάρχει καὶ δόξα Θεοῦ.

[08250] Ἀλλ' οἶμαι πρόδηλον εἶναι πᾶσι οὕτω προαγορεύεσθαι τὸν ἄνδρα, διὰ τὸ μετεσχηκέναι θείου Πνεύματος, καὶ δι' αὐτοῦ τῆς θείας γενέσθαι φύσεως κοινωνὸν, ὡς ἐντεῦθεν καὶ τῆς παρὰ Θεοῦ πληρωθῆναι δόξης.

[08251] Ὡς ἔχων τοιγαροῦν ἐν ἑαυτῷ τὸ Πνεῦμα τὸ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ, καὶ διὰ τῆς πρὸς αὐτὸ κοινωνίας μεμορφωμένος εἰς ὁμοιότητα τοῦ πεποιηκότος, εἰκὼν ἐκλήθη καὶ δόξα Θεοῦ.

[08252] Μάθοιμεν δ' ἂν οὐδὲν ἧττον, διὰ τοῦ καὶ τὴν γυναῖκα κεκλῆσθαι τοιῶσδε, τοῦ λεγομένου τὴν δύναμιν.

[08253] Δόξαν αὐτὴν εἶναι τοῦ ἀνδρὸς ὁ Παῦλός φησι, διὰ τὸ ἐκ τῆς οὐσίας αὐτοῦ γενέσθαι ταύτην.

[08254] Ἔλαβε γὰρ, φησὶν, ὁ Θεὸς μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ τὴν γυναῖκα εἰργάσατο.

[08255] Ὥσπερ οὖν ἡ γυνὴ δόξα κέκληται τοῦ ἀνδρὸς διὰ τὸ μέρος εἰληφέναι τῶν αὐτοῦ μελῶν εἰς τὴν οἰκείαν κατασκευήν·

[08256] οὕτω καὶ ὁ ἀνὴρ δόξα κέκληται Θεοῦ, διὰ τὸ γενέσθαι μετέχων τῆς οὐσίας αὐτοῦ, διὰ τοῦ ἐνοικήσαντος ἐν αὐτῷ Πνεύματος ἁγίου.

[08257] Τούτων τοιγαροῦν ἐχόντων τῇδε, ἀνάγκη πᾶσα τὸ Πνεῦμα λέγειν μὴ εἶναι γενητὸν ἢ κτιστὸν, ἀλλ' ἐκ τῆς οὐσίας τοῦ Θεοῦ, Θεὸν δηλαδὴ μετὰ Πατρὸς καὶ Υἱοῦ κατὰ τὴν ταυτότητα τῆς φύσεως προσκυνούμενον.

[08258] ΑΛΛΟ.

[08259] Προσέρχεταί τις ἐν τοῖς Εὐαγγελίοις, καί φησι πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν·

[08260] Διδάσκαλε ἀγαθέ.

[08261] Πρὸς τοῦτον Χριστὸς ἀπεκρίνατο·

[08262] Τί με λέγεις ἀγαθόν;

[08263] Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός.

[08264] Χριστοῦ τοίνυν ἕνα τὸν ὄντως καὶ οὐσιωδῶς ἀγαθὸν εἶναι φάσκοντος, ὁ Ψαλμῳδός πού φησι·

[08265] Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

[08266] Εἰ τοίνυν ἑνὸς ὄντος ἀγαθοῦ, τὸ Πνεῦμά ἐστι ἀγαθὸν, πρόδηλον ὅτι τῆς θείας ἐστὶ φύσεως, ἐφ' ἧς ἐπαληθεύεται τὸ κυρίως καὶ μοναδικῶς ἀγαθόν.

[08267] [75.588] ΑΛΛΟ.

[08268] Ἐπιστέλλει τισὶν ὁ Παῦλος τοιῶσδε·

[08269] Γνωρίζω δὲ ὑμῖν, ὅτι οὐδεὶς ἐν Πνεύματι Θεοῦ λαλῶν, λέγει ἀνάθεμα Ἰησοῦ·

[08270] καὶ οὐδεὶς δύναται εἰπεῖν·

[08271] Κύριος Ἰησοῦς, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ.

[08272] Πρόδηλον οὖν ὅτι ὁ μετέχων τοῦ ἁγίου Πνεύματος, οἶδεν ὄντα Κύριον Ἰησοῦν·

[08273] ὁ δὲ μὴ μετέχων ἀγνοεῖ.

[08274] Πῶς οὖν ὁ τοῦ Πνεύματος μετασχὼν, οἶδεν ὅτι Κύριος Ἰησοῦς;

[08275] Ὥσπερ οἱ μέλιτος γευσάμενοι, διὰ τῆς ἐξ αὐτοῦ ποιότητος ἴσασιν ὅτι γλυκὺ τὸ μέλι, οὕτω καὶ ὁ τοῦ Πνεύματος μέτοχος.

[08276] Οὐκοῦν ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα, ποιότης τις, ἵν' οὕτως εἴπωμεν, ὑπάρχων τοῦ κυριεύοντος ἁπάντων Θεοῦ.

[08277] Εἰ δὲ τοῦτο, Θεὸς ἄρα, καὶ οὐ γενητὸν ἢ κτιστὸν, ὥσπερ τοῖς ἑτεροδόξοις δοκεῖ.

[08278] ΑΛΛΟ.

[08279] Τὰς τῶν θείων χαρισμάτων διανομὰς ὁ μακάριος Παῦλος τῇ τοῦ ἁγίου Πνεύματος ἀναθεὶς ἐνεργείᾳ, γράφει πάλιν·

[08280] Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ ἑνὶ Πνεύματι, ἄλλῳ

δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἄλλῳ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν.

[08281] Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.

[08282] Ἀλλ' εἰδὼς ὅτι τὸ Πνεῦμα Θεός ἐστιν, ἐν τῇ αὐτῇ Ἐπιστολῇ πάλιν φησί·

[08283] Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, ἔπειτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν.

[08284] Τί τοίνυν ἀμφιβάλλουσιν, εἰ Θεὸς τὸ Πνεῦμα ὑπάρχει κατ' οὐσίαν, οἱ πρὸς μόνον τὸ δυσφημεῖν ἑτοιμότατοι, Παύλου σαφέστατα διειπόντος μὲν, ὡς τὸ Πνεῦμά ἐστι τὸ διαιροῦν μὲν καθὼς ἂν αὐτὸ βούληται τὰ τῶν θείων χαρισμάτων εἴδη;

[08285] εἶτα πάλιν φάσκοντος, Θεὸν εἶναι τὸν ἐν ταῖς Ἐκκλησίαις τὰ τοιαῦτα χορηγοῦντα τοῖς ἀξίοις;

[08286] Πῶς δὲ οὐκ ἄτοπον τοὺς ὀρθῶς ἐθέλοντας φρονεῖν, μὴ ταῖς τοῦ Παύλου φωναῖς, ἀλλὰ ταῖς ἄλλων προσέχειν ἀβουλίαις;

[08287] Θεὸς οὖν τὸ Πνεῦμα, κἂν οἱ ἀμαθεῖς μὴ βούλωνται.

[08288] ΑΛΛΟ.

[08289] Τοὺς ἐπὶ ταῖς γυναιξὶν ὁρίζων νόμους ὁ Παῦλός φησι·

[08290] Γυνὴ δέδεται ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς.

[08291] Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ.

[08292] Μακαριωτέρα δέ ἐστιν, ἂν οὕτως μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην.

[08293] Δοκῶ γὰρ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν.

[08294] Τί οὖν τὸ ἐντεῦθεν ἡμῖν συναγόμενον;

[08295] Εἰ μόνῳ πρέπει τὸ νομοθετεῖν Θεῷ, νομοθετεῖ δὲ Παῦλος, ὡς ἔχων Πνεῦμα Θεοῦ, Θεὸς ἄρα Πνεῦμα τὸ ἐν αὐτῷ, τὸ καὶ νόμους αὐτὸν ἀναπεῖθον ὁρίζειν.

[08296] ΑΛΛΟ.

[08297] Ἐπιστέλλει πάλιν ὁ Παῦλός τισιν·

[08298] Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν;

[08299] Ἀλλ' ἔστι δῆλον ὅτι τὰ [75.589] πνευματικὰ τὰ θεῖα πάντως εἶναί φησιν, ὥσπερ οὖν καὶ σαρκικὰ τὰ τῆς σαρκός.

[08300] Εἰ τοίνυν τὰ θεῖα, τουτέστι, τὰ περὶ Θεοῦ μυστήρια, καλῶς δὴ μάλα ποιῶν ἀποκέκληκε πνευματικά.

[08301] ΑΛΛΟ.

[08302] Ἐν τοῖς Εὐαγγελίοις ὁ Σωτήρ πού φησι περὶ ἑαυτοῦ·

[08303] Ἐγώ εἰμι ἡ ἀλήθεια.

[08304] Ὁ δὲ μακάριος Ἰωάννης ἔκ τε τῆς τοῦ Πατρὸς οὐσίας καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα δεικνύων, ἐν μὲν τοῖς Εὐαγγελίοις φησί·

[08305] Τὸ Πνεῦμα τῆς ἀληθείας παρὰ τοῦ Πατρὸς ἐκπορεύεται.

[08306] Ἐν δὲ τῇ Ἐπιστολῇ·

[08307] Τὸ Πνεῦμά ἐστιν ἡ ἀλήθεια.

[08308] Πῶς οὖν τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, καὶ Πνεῦμα τῆς ἀληθείας ὑπάρχον, τοσαύτην τε πρὸς τὸν Υἱὸν ἔχον τὴν ἐμφέρειαν διὰ τὴν τῆς οὐσίας ταυτότητα, ὡς ἀλήθειαν καλεῖσθαι καὶ αὐτὸ, πῶς γενητὸν ἂν εἴη καὶ πεποιημένον;

[08309] Ἀλλὰ τοῦτο ἄτοπον.

[08310] Οὐκοῦν τὸ Πνεῦμα Θεὸς, εἴπερ ὄντως ἀλήθεια, καὶ ἐκ Πατρὸς πορεύεται.

[08311] ΑΛΛΟ.

[08312] Ὁ μακάριος Ἰωάννης περὶ τοῦ Θεοῦ Λόγου διαλαμβάνων, αὐτὸν εἶναί φησι τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.

[08313] Ὁ δὲ σοφώτατος Παῦλος ἐλλάμπειν τὸ Πνεῦμα τὸ ἅγιον ταῖς καρδίαις ἡμῶν διϊσχυρίσατο πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ ἐν προσώπῳ Χριστοῦ.

[08314] Ὅτε τοίνυν ὁ Λόγος μέν ἐστι τὸ φῶς τὸ ἀληθινὸν, ἐλλάμπει δὲ τὸ Πνεῦμα τὸ ἅγιον, ἀνάγκη πᾶσα τῆς οὐσίας τοῦ Λόγου καὶ τὸ Πνεῦμα συνομολογεῖν, δι' οὗ φωτίζει πάντα ἄνθρωπον, ὥσπερ τινὰ τῆς οἰκείας φύσεως ἀκτῖνα, προτείνων τὴν τοῦ Πνεύματος ἔλλαμψιν.

[08315] Ἀντίθεσις ὡς ἐκ τῶν δι' ἐναντίας.

[08316] Εἰ τὰς τῶν ἁγίων, φασὶ, ψυχὰς καταχρίεσθαί φατε παρὰ Θεοῦ τῷ ἁγίῳ Πνεύματι, ἐν τάξει μύρου τὸ Πνεῦμα κείσεται.

[08317] Καὶ πῶς ἂν εἴη τῆς αὐτῆς οὐσίας τῷ χρίοντι τὸ μύρον, μηδὲ τῆς καθ' ἡμᾶς συνηθείας τὸ τοιοῦτον ἐπιδεχόμενον;

[08318] Πρὸς τοῦτο λύσις.

[08319] Ὦ πάσῃ μεθύοντες ἀνοίᾳ, καὶ τῆς ἁπασῶν αἰσχίστης ἀβουλίας ἀνάπλεοι·

[08320] οὐ γὰρ βραχὺ διανήψαντες, καὶ τὰς περὶ σωμάτων ἀφέντες ἐννοίας, ἀνελεύσεσθε πρὸς τὰ μεγάλα τῆς θεολογίας ὑψώματα, καὶ θεοπρεπῶς τὰ περὶ τῆς θείας φύσεως λαλούμενα διαλήψεσθε, κἂν ἀνθρωπίνοις προσφέρηται ῥήμασι, καὶ τῆς καθ' ἡμᾶς συνηθείας οὐκ ἀναβαίνει τὸ σχῆμα, διὰ τὸ μόλις οὕτω δύνασθαι νοεῖν τοὺς ἀκροωμένους.

[08321] Ἵνα δέ τι ταῖς ὑμῶν ἀμαθίαις εἴπωμεν συγγενὲς, εἰ ἐν τάξει μύρου τὸ Πνεῦμα κείσεται, καθ' ὑμᾶς, καὶ ἐπειδὴ τὸ χρίσμα τοῦ χρίοντος εἶναι δεῖ πάντως ἑτεροούσιον, ἀνάγκη λέγειν καὶ τὸ Πνεῦμα τοῦ Πατρὸς ἑτεροούσιον.

[08322] Ἐπειδὴ δὲ τὸ μύρον ἐκ πολλῶν συντέθειται, παρὰ τῶν εἰς τοῦτο σοφῶν, ἀνάγκη καὶ τὸ Πνεῦμα τὸ ἅγιον διὰ πολλῶν καὶ ποικίλων ἡμῖν συγκεῖσθαι μερῶν.

[08323] Καὶ πάλιν, ἐπειδὴ τὸ μύρον ἄλογον, ἔστω καὶ τὸ Πνεῦμα τὸ [75.592] ἅγιον.

[08324] Ἡ μὲν οὖν ἐπὶ τούτῳ δυσφημία δραμεῖται πάντως εἰς τὰς ἐκείνων κεφαλάς.

[08325] Ἡμεῖς δὲ αὐτοῖς ἀντεπάγομεν·

[08326] Εἰ ἑτεροούσιον τὸ Πνεῦμα τὸ ἅγιον τοῦ ἐν αὐτῷ χρίοντος τοὺς ἁγίους Θεοῦ, πῶς τοῦ Πνεύματος οἰκοῦντος ἐν ἡμῖν, Χριστὸς οἰκῶν ἀποδείκνυται, ὁ τῷ Πατρὶ κατ' οὐσίαν οὐχ ἕτερος ὤν·

[08327] Ὅπερ εἰδὼς καὶ ὁ Παῦλος ἐπιστέλλει·

[08328] Ἵνα δῷ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν.

[08329] Ὅτε τοίνυν διὰ τοῦ Πνεύματος εἰς τὸν ἔσω ἄνθρωπον ὁ Χριστὸς κατοικεῖ, πρόδηλον δήπουθεν ὡς οὐκ ἀλλότριόν ἐστι τῆς οὐσίας αὐτοῦ τὸ δι' οὗ τοῖς ἁγίοις ἐνοικεῖν φαίνεται.

[08330] ΑΛΛΟ.

[08331] Ἄφυκτον ἐπάγει τὴν τιμωρίαν τοῖς εἰς τὸν ἁπάντων βλασφημοῦσι Θεὸν καὶ ὁ διὰ Μωσέως νόμος.

[08332] Καὶ γοῦν τὸν τῆς Αἰγυπτίας υἱὸν κατὰ τὴν ἔρημον λιθόλευστον παρὰ πάσης τῆς συναγωγῆς προστάττει γενέσθαι Θεὸς, μνημονεύσαντα τοῦ ὀνόματος, καθὰ γέγραπται, καὶ εἰπεῖν τι τῶν ἀπηγορευμένων τολμήσαντα.

[08333] Οὐδὲν δὲ ἧττον καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, τὴν αὐτὴν ἀποσώζων τιμὴν τῇ θείᾳ φύσει, ἀφεθήσεσθαι μὲν διϊσχυρίζεται τῷ λέγοντι λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου·

[08334] τῷ δὲ εἰς τὸ Πνεῦμα τὸ ἅγιον δυσφημήσαντι οὐκ ἀφεθήσεσθαι, οὔτε ἐν τῷ νῦν αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι.

[08335] Ἀλλ' εἴπερ ἦν ποίημα τὸ Πνεῦμα τὸ ἅγιον, καὶ μὴ τῆς θείας οὐσίας ὑπῆρχε Πατρὶ καὶ Υἱῷ συνθεολογούμενον, πῶς ἡ εἰς αὐτὸ δυσφημία τοσαύτην ἔχει τὴν κόλασιν, ὅση κατὰ τῶν εἰς Θεὸν δυσφημούντων ὁρίζεται;

[08336] Ἀλλ' ἔστι δῆλον ὅτι Θεὸς ἐκ Θεοῦ καὶ ἐν Θεῷ τὸ Πνεῦμα, τὸ ὡς Θεὸς τιμώμενον παρὰ ταῖς θείαις Γραφαῖς, καὶ οὕτως ὑπάρχον τῇ φύσει.

[08337] ΑΛΛΟ.

[08338] Εἰ, καθάπερ φησὶν ὁ Σωτὴρ, ὁ γεννώμενος ἐκ τοῦ Πνεύματος Πνεῦμά ἐστιν·

[08339] ὁ δὲ τοιοῦτος, οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος ἀνδρὸς ἢ γυναικὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθη·

[08340] Θεὸς ἄρα τὸ Πνεῦμά ἐστι κατὰ φύσιν τὸ τοὺς ἁγίους ἀναγεννῶν εἰς ἑνότητα τὴν πρὸς Θεὸν, διὰ τοῦ κατοικεῖν ἐν αὐτοῖς, καὶ τῆς οἰκείας φύσεως ἐργάζεσθαι κοινωνούς.

[08341] ΑΛΛΟ Εἰ θεοποιεῖ τὸ Πνεῦμα τοὺς ἐν οἷς ἂν γένοιτο, καὶ μετόχους θείας ἐργάζεται φύσεως, Θεὸς ἄρα ἐστὶ, καὶ ἐκ τῆς θείας οὐσίας φυσικῶς δι' Υἱοῦ τῇ κτίσει χορηγούμενον, καὶ ἀναμορφοῦν αὐτὴν ὡς πρὸς ἑαυτό.

[08342] Ὥσπερ γὰρ φωτὸς ἔργον οἰκεῖον τὸ φωτίζειν ἐστὶ, καὶ οὐκ ἄν τι δύναιτο φωτίζειν ὅλως, εἰ μὴ ὑπάρχοι φῶς·

[08343] οὕτω καὶ θείου Πνεύματος ἔργον, τὸ θεοὺς ἐργάζεσθαι τοὺς δεξαμένους αὐτό.

[08344] Καὶ οὐδ' ἂν φύσεως θείας ἐδείκνυε κοινωνοὺς τοὺς ἔχοντας αὐτὸ, εἰ μὴ τῆς θείας οὐσίας ὑπῆρχεν αὐτό.

[08345] [75.593] Ὅτι οὐκ ἐκ μετοχῆς τῆς τοῦ Θεοῦ καὶ Πατρὸς ἅγιόν ἐστι τὸ Πνεῦμα, ἀλλὰ φύσει καὶ οὐσιωδῶς ἐξ αὐτοῦ.

[08346] Ἀντίθεσις ὡς ἐκ τῶν δι' ἐναντίας.

[08347] Ἁγιαστικὸν εἶναι, φασὶ, τὸ Πνεῦμα, καὶ αὐτοὶ συνομολογήσομεν, οὐκ αὐτὸ καθ' ἑαυτὸ φύσει τοιοῦτον ὑπάρχον, ἀλλ' ὥσπερ τι σκεῦος ἐκ σιδήρου τυχὸν ἢ καὶ ἑτέρας τινὸς ὕλης, τῆς ἐκ πυρὸς μετίσχον θερμότητος τὰ πυρὸς ἐργάζεται·

[08348] οὕτω καὶ αὐτὸ τῆς παρὰ τοῦ Θεοῦ πληρούμενον ἁγιότητος μεταδίδωσι τῇ κτίσει τοῦ ἁγιασμοῦ.

[08349] Καὶ ἐπὶ τούτοις μάρτυς ἡμῖν ἀψευδὴς αὐτὸς ὁ Σωτὴρ γενήσεται λέγων περὶ αὐτοῦ·

[08350] Ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται.

[08351] Πρὸς τοῦτο λύσις.

[08352] Πανταχόθεν αὐτοῖς ἡ πρότασις ἀτοπωτάτη πάλιν ἀποδειχθήσεται, καὶ δυσφημίαν μᾶλλον ἤπερ ἀληθείας εὕρεσιν ἔχουσα.

[08353] Οὐ γὰρ νοεῖν, ὡς ἔοικε, τὰς θείας Γραφὰς, παρατρέπειν δὲ μᾶλλον ἐπείγονται πρὸς τὸ ἑκάστῳ δοκοῦν.

[08354] Ἰδοὺ γὰρ πάλιν καὶ τὴν τοῦ Σωτῆρος φωνὴν εἰς ὀχύρωσιν τῆς οἰκείας ψευδολογίας ἁρπάζουσιν, οὐ τὴν διάνοιαν τοῦ ῥητοῦ σαφῶς ἐκκαλύπτοντες τοῖς ἀκροωμένοις, οὔτε μὴν τὰ ἐφεξῆς τῷ λόγῳ συνείροντες·

[08355] παρατομὰς δὲ τῶν στίχων δυστρόπως ἐργαζόμενοι, καὶ τὸ δοκοῦν εἶναι χρήσιμον πρὸς τὸν ἀτόπως αὐτοῖς προτεθέντα σκοπὸν, αὐτὸ δὴ καὶ μόνον πανούργως ἁρπάζοντες.

[08356] Οὐ γὰρ, Ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἁγιάσει ὑμᾶς, φησὶν ὁ Σωτήρ·

[08357] εἰ καὶ ὅτι μάλιστα καὶ εἰ κατὰ τοῦτον εἴρητο τὸν τρόπον, οὐδεμίαν τοῖς ὀρθῶς ἀκροωμένοις ἐνεποίησεν ἂν τὴν ζημίαν·

[08358] πλὴν, Ἐκ τοῦ ἐμοῦ λήψεται, φησὶ, καὶ ἀναγγελεῖ ὑμῖν.

[08359] Οὐ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει.

[08360] Ἐπειδὴ γὰρ ἔμελλε τὴν μετὰ σαρκὸς ἀποπληρώσας οἰκονομίαν ἀναβαίνειν πρὸς τὸν Πατέρα, πέμψειν δὲ ὑπέσχετο τὸν Παράκλητον τοῖς ἑαυτοῦ μαθηταῖς, ἵνα μή τις ὑπολάβῃ τὰ μὴ κατὰ γνώμην αὐτοῦ διατάξειν ποτὲ τὸ Πνεῦμα τὸ ἅγιον, δεικνύς τε σαφῶς ὅτι Πνεῦμα αὐτοῦ ὑπάρχον τὰ ἐξ αὐτοῦ πάλιν διακονήσει ῥήματα·

[08361] Οὐ λαλήσει, φησὶν, ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ λαλήσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται.

[08362] Ὅμοιον γὰρ ὡς εἰ καὶ τὸ μέλι περὶ τῆς ἐνούσης αὐτῷ φυσικῆς ποιότητος λέγοι, Οὐκ ἐνθήσει τι ἀφ' ἑαυτῆς τοῖς ἀπογευομένοις, ἀλλ' ἐκ τοῦ ἐμοῦ λήψεται, φυσικῶς διαβαινούσης τῆς ἐκ τῶν οὐσιῶν, ἵν' οὕτως εἴπω, ποιότητος ἐπὶ τὰ ἐξ αὐτῶν ἀμερίστως προερχόμενα, οἷον, καθάπερ ἤδη προείπομεν, ἐκ μέλιτος ἡ γλυκύτης, ἐκ πυρὸς ἡ θερμότης, ἐξ ὕδατος ἡ ψῦξις.

[08363] Οὐκ οὖν μετοικικῶς ἅγιον τὸ Πνεῦμα, κατὰ τὸν ἐκείνων λόγον·

[08364] φυσικῶς δὲ μᾶλλον καὶ οὐσιωδῶς.

[08365] ΑΛΛΟ.

[08366] Τὸ ἐκ μετοχῆς ἅγιον, δοχεῖον ὥσπερ ὑπάρχον τοῦ προσγεγονότος ἁγιασμοῦ, αὐτὸ καθ' ἑαυτὸ πρότερον ἐν ἰδίᾳ φύσει κείσεται, ὥσπερ οὖν καὶ ὁ ἄνθρωπος καὶ ὁ ἄγγελος τυχὸν, ἢ καί τις ἑτέρα φύσις λογική.

[08367] Λεγέτωσαν τοίνυν ἡμῖν οἱ ἐκ μετοχῆς τῆς τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τολμῶντες λέγειν ἅγιον εἶναι [75.596] καὶ οὐ φυσικῶς·

[08368] Τί ποτ' ἄρα αὐτὸ καθ' ἑαυτὸ καὶ ἰδιαζόντως ἐστίν;

[08369] Ἀλλ' οὐδὲν ἕτερον ἢ ἅγιον ἠκούσαμεν παρὰ ταῖς θείαις Γραφαῖς.

[08370] Οὐκ ἄρα ἐκ μετοχῆς, οὐδὲ ἐκ συνθέσεως ἅγιον, ἀλλ' οὐσία καὶ φύσις ἁγιαστικὴ, καὶ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς θεότητος, ἵν' οὕτως εἴπω, ποιότης, ὥσπερ οὖν καὶ ὁ γλυκασμὸς τοῦ μέλιτος, ἢ καὶ ἐξ ἄνθους εὐωδία.

[08371] ΑΛΛΟ.

[08372] Τὸ ἐκ μετοχῆς προσγενόμενόν τισιν, ὡς δοτὸν ἔσται καὶ ἀφαιρετόν.

[08373] Μόνα γὰρ τὰ οὐσιωδῶς προσόντα τοῖς ἔχουσιν, ἀχωρίστως συμπεφυκότα φαίνεται.

[08374] Εἰ τοίνυν ἐν προσθήκης τάξει καὶ συμβεβηκότος κεῖσθαί φασιν ἐν τῷ Πνεύματι τὸν ἁγιασμὸν, ὁμολογήσουσι πάντως ὅτι καὶ ἀποσυμβῆναι δυνήσεται.

[08375] Ὥρα δὴ οὖν καὶ ἁγιότητος δίχα τὸ Πνεῦμα λέγειν εἶναι δύνασθαι, κατὰ τὸ ἐκείνων ἐπιχείρημα.

[08376] Ἀλλὰ τοῦτο δυσσεβές.

[08377] Οὐκ ἄρα ἐκ μετοχῆς ἅγιον τὸ Πνεῦμα, ἀλλ' ὡς ἐκ Θεοῦ φυσικῶς.

[08378] ΑΛΛΟ.

[08379] Πνεῦμα ἅγιον ἡ θεία Γραφὴ τὸ ἐκ Θεοῦ Πνεῦμα διηνεκῶς ἀποκαλοῦσα φαίνεται, οὐχ ἕν τι τῶν συμβεβηκότων αὐτῷ δηλοῦσα, κατὰ τὴν ἐκείνων ἀβουλίαν, ἀλλ' ὅπερ ἐστὶ κατὰ φύσιν τοῦτο σημαίνουσα, ὥσπερ οὖν εἴ τις καὶ ἄνθρωπον ὁριζόμενος τὸ τί ἐστι κατ' οὐσίαν σημαίνων, λέγοι, ὅτι ζῶον λογικὸν, θνητόν.

[08380] Εἶτα πῶς οὐ σφόδρα ἐστὶν ἀτοπώτατον, τὸν μὲν ἄνθρωπον διὰ τὸ οὕτως ὁρίζεσθαι, εἶναι πάντως ὃ καὶ εἶναι πέφυκε, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἕτερόν τι παρ' ὅπερ ἐστὶ φαντάζεσθαί τινας, τοῦθ' ὅπερ ἐστὶ κατ' οὐσίαν τῆς προσκειμένης αὐτῷ σημαινούσης ἐπωνυμίας;

[08381] ἅγιον γὰρ ὀνομάζεται.

[08382] Οὐκοῦν εἴπερ ἐστὶ κατὰ φύσιν ἅγιον, οὐκ ἔξωθεν ἔχει τὸ εἶναι τοιοῦτο, μᾶλλον δὲ αὐτὸ, τῆς θείας ὑπάρχον οὐσίας ἐνέργεια φυσική τε καὶ ζῶσα καὶ ἐνυπόστατος, προστίθησιν ἀεὶ τῇ κτίσει τὸ τέλειον δι' ἁγιασμοῦ καὶ τῆς πρὸς ἑαυτὸ μετοχῆς.

[08383] ΑΛΛΟ.

[08384] Τὰ ἐφ' ἑκάστῳ τῶν ὄντων κείμενα ὀνόματα, ἢ τῶν οὐσιῶν εἰσι παραστατικὰ, ὅρον ἔχοντα τοῦ ὑποκειμένου τέλειον, ἢ λειτουργίαν τινὰ καὶ ἐπιτηδεύματος εἶδος σημαίνει, ὡς ἐν τῷ ἄνθρωπος καὶ προφήτης.

[08385] Ἂν μὲν γὰρ ἄνθρωπος εἴπω, παρέστησα τοῦ κατηγορημένου, ἢ ὑποκειμένου τὴν οὐσίαν.

[08386] Προφήτην δὲ λέγων, διακονίαν ἤτοι ἐπιτήδευμα δοθὲν ἀνθρώπῳ δηλῶ.

[08387] Οὐκοῦν εἴπερ ἅγιον ἐκ μετοχῆς τὸ Πνεῦμα τὸ ἅγιον, λειτουργίας μᾶλλον ἤπερ οὐσίας ἔσται σημαντικὸν τοὔνομα αὐτῷ, καὶ οὐ τί ἐστι κατὰ φύσιν ἐκ τούτου μανθάνομεν, ἀλλ' ὅ τι τέτακται ποιεῖν.

[08388] Οὐκοῦν ἕτερόν τι κατ' οὐσίαν ἐστὶ, καὶ ἑτέραν ἔχει τινὰ ἰδίαν ἐνέργειαν παρὰ τὴν ἁγιαστικὴν, ἣν ἔξωθεν, ὡς αὐτοὶ δυσφημοῦντές φασι, προστιθεμένην αὐτῷ καὶ ἐπισυμβᾶσαν ἔχει παρὰ Θεοῦ.

[08389] Ἀτελὲς οὖν ἄρα τὸ Πνεῦμα τὸ ἅγιον, τὸ δεηθὲν πληρώσεως δι' ἁγιασμοῦ.

[08390] Εἶτα πῶς τὸ οὕτως ἔχον, ὡς ἐκεῖνοί φασι, τὸ ἐν τελειότητι γίνεσθαι τοῖς μετόχοις αὐτοῦ γινο [75.597] μένοις παρέχει;

[08391] Τὸ ἀτελὲς ὅσον εἰς τὴν οἰκείαν φύσιν, πῶς ἁγιάζει μὲν Ἀρχὰς, Θρόνους, Κυριότητας, Δυνάμεις, Ἐξουσίας, Ἀγγέλους, ἀνθρώπους;

[08392] Πῶςδὲ ἄρα φασὶν ἁγιασμοῦ πληροῦσθαι τὸ Πνεῦμα παρὰ τοῦ Πατρὸς, ἁγιαστικῆς δηλονότι δυνάμεώς τε καὶ ἐνεργείας ἐρχομένης ἐπ' αὐτό;

[08393] Τοῦτο γὰρ, ὡς εἰκὸς, δυσφημοῦντες ἐροῦσι.

[08394] Τίς οὖν ἡ χρεία περιόδου μακρᾶς καὶ πολυπλόκων νοημάτων;

[08395] Αὐτὴν γὰρ ἐκείνην τὴν ἐκ Πατρὸς φυσικῶς προϊοῦσαν δύναμιν ἁγιαστικὴν τὴν τοῖς ἀτελέσι τὸ τέλειον παρεχομένην, φαμὲν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον.

[08396] Καὶ περιττὸν, ὡς φαίνεται, τὸ διὰ μέσου τινὸς ἁγιάζεσθαι τὴν κτίσιν, οὐκ ἀπαξιούσης τῆς τοῦ Θεοῦ φιλανθρωπίας καὶ μέχρι τῶν ἐλαχίστων διϊκνεῖσθαι, καὶ ἁγιάζειν αὐτὰ διὰ τοῦ ἁγίου Πνεύματος, ἐπείπερ αὐτοῦ τὰ πάντα ποιήματα.

[08397] ΑΛΛΟ.

[08398] Ὁ νόμος διὰ Μωσέως ἐδόθη, φησὶν ἡ θεία Γραφὴ, ἡ χάρις δὲ καὶ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

[08399] Οὐκοῦν εἴπερ πολύ τι φαίνεται, τὸ μεταξὺ τῆς τε Μωσέως διακονίας, καὶ τοῦ μεσιτεύσαντος Θεοῦ τε καὶ ἀνθρώπου Ἰησοῦ Χριστοῦ, ἀνάγκη τὸν μὲν διὰ Μωσέως νόμον ἀτελῆ συνομολογεῖν·

[08400] οὐδὲν γὰρ ἐτελείωσε, φησὶν ὁ Παῦλος·

[08401] τὴν δὲ διὰ τοῦ Σωτῆρος ἡμῶν χάριν ἀληθῆ καὶ τελείαν εἶναι πιστεύομεν.

[08402] Τίς οὖν ἄρα ἡ χάρις, ἢ πάντως ἡ τοῦ ἁγίου Πνεύματος χύσις ἡ ἐν ταῖς καρδίαις ἡμῶν γινομένη, κατὰ τὴν τοῦ Παύλου φωνήν;

[08403] Πῶς οὖν ἀληθινὴ φανεῖται λοιπὸν ἡ ἐν ἡμῖν χάρις, εἴπερ διηκονήθη διὰ κτίσματος εἰς ἡμᾶς ὁ ἁγιασμὸς, ὥσπερ οὖν καὶ ὁ νόμος δι' ἀγγέλων;

[08404] Εἰ γὰρ οὐκ αὐτουργεῖ τὸ Πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν, οὐδὲ τοῦτό ἐστι κατὰ φύσιν ὅπερ ἀκούομεν, μετοχικῶς δὲ καὶ μεταληπτικῶς ἁγιασμοῦ πληρούμενον, παρὰ τῆς θείας οὐσίας, εἰς ἡμᾶς ἐκπέμπει τὴν δοθεῖσαν αὐτῷ χάριν, πρόδηλον ὅτι διὰ κτίσματος ἡμῖν ἡ τοῦ ἁγίου Πνεύματος διηκονήθη χάρις.

[08405] Ἀλλὰ τοῦτο μὲν οὐκ ἀληθές.

[08406] Διὰ Μωσέως μὲν γὰρ ὁ νόμος, ἤτοι δι' ἀγγέλων·

[08407] διὰ δὲ τοῦ Σωτῆρος ἡμῶν ἡ χάρις καὶ ἡ ἀλήθεια.

[08408] Αὐτουργὸν ἄρα τὸ Πνεῦμα ἐν ἡμῖν, ἀληθῶς ἁγιάζον καὶ ἑνοῦν ἡμᾶς ἑαυτῷ διὰ τῆς πρὸς αὐτὸ συναφείας, θείας τε φύσεως ἀποτελοῦν κοινωνούς.

[08409] Ὅτι Θεὸς κατὰ φύσιν ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὐ κτίσμα οὐδὲ ποίημα.

[08410] Ἐκ τῆς πρὸς Ῥωμαίους Ἐπιστολῆς.

[08411] Ἐπιστέλλει Ῥωμαίοις ὁ Παῦλος περὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ·

[08412] Τοῦ ὁρισθέντος, φησὶν, Υἱοῦ Θεοῦ ἐν δυνάμει κατὰ τὸ Πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

[08413] Εἰ τοίνυν διὰ τὸ ἐκ νεκρῶν ἀναστῆναι, καὶ τῇ ζωοποιῷ δυνάμει τοῦ ἁγίου Πνεύματος λῦσαι τὰ δεσμὰ τοῦ θανάτου, ὁ Χριστὸς εἰς Υἱὸν ἀληθινὸν ὁρίζεται τοῦ Θεοῦ, καὶ τοῦτο ὑπάρχων νοεῖται, οὐκ ἂν εἴη κτίσμα ἢ ποίημα τὸ δι' οὗ τῆς θείας δυνάμεως ἡ ἐπίδειξις γίνεται, τουτέστι τὸ Πνεῦμα, ἵνα μὴ διὰ [75.600] κτίσματος φαίνηται Χριστὸς τρόπον τινὰ βοηθούμενος, οἰκείᾳ δὲ μᾶλλον ἀποκεχρημένος ἰσχύϊ τῇ διὰ Πνεύματος.

[08414] ΑΛΛΟ.

[08415] Ὁ Παῦλος πάλιν·

[08416] Ἐπιποθῶ γὰρ, φησὶν, ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν εἰς τὸ στηριχθῆναι ὑμᾶς.

[08417] Εἰ στηρίζει τὸ Πνεῦμα διὰ τῶν οἰκείων χαρισμάτων τοὺς ἐν οἷς ἂν γένοιτο, δῆλον ἂν εἴη τοῖς ὀρθῶς ἐθέλουσι νοεῖν, ὡς οὔτ' ἐν ποιήμασιν, οὔτε μὲν ἐν δούλοις τετάξεται.

[08418] Γέγραπται·

[08419] Ὑποστηρίξει δὲ τοὺς δικαίους ὁ Κύριος.

[08420] Τὸ δὲ ἐν κυριότητος τόπῳ φυσικῆς τεθειμένον, καὶ διὰ τοῦ στηρίζειν δύνασθαι, φέρει πάντως καὶ τὸ κυρίῳ πρέπον ἀξίωμα.

[08421] Δοῦλον δὲ τὸ ποιηθὲν ὅσον εἰς γένεσιν.

[08422] Οὐκ ἄρα ποίημά ἐστι τὸ Πνεῦμα·

[08423] κύριον γὰρ ἀποδέδεικται καὶ οὐ δοῦλον.

[08424] ΑΛΛΟ.

[08425] Ὅσην ἡμῖν τὴν φιλανθρωπίαν ὁ πάντων ἐποιήσατο Δεσπότης, διδάσκων ὁ Παῦλος, φησὶν, ὅτι Ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν, διὰ Πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν.

[08426] Εἰ τοίνυν ὁ Θεὸς ἀγάπη ἐστὶ, κατὰ τὴν Ἰωάννου φωνὴν, καὶ οὐχ ἕτερον μέν τι αὐτὸς, ἕτερον δέ τι τὸ ἐν αὐτῷ, ἁπλοῦς γὰρ καὶ ἀσύνθετος, ἐκκέχυται δὲ ἐν ταῖς καρδίαις ἡμῶν διὰ τοῦ ἐνοικοῦντος ἐν ἡμῖν ἁγίου Πνεύματος·

[08427] Θεὸς ἄρα τὸ Πνεῦμά ἐστιν, ὡς ἐν τάξει Θεοῦ, κατοικοῦν ἐν ἡμῖν, καὶ, ἵν' οὕτως εἴπω, τῆς ἀνωτάτω πασῶν ἐξέρπον οὐσίας ἐν ἰδίᾳ τε ὑπάρξει καὶ ἐκ Πατρὸς νοούμενον, δι' Υἱοῦ τῇ κτίσει χορηγούμενον.

[08428] ΑΛΛΟ, δηλοῦν ὅτι ὁ νόμος παρὰ τοῦ Πνεύματος ἐτέθη ὡς παρὰ Θεοῦ.

[08429] Οἶδα μὲν, φησὶν, ὅτι ὁ νόμος πνευματικός ἐστι.

[08430] Εἶτα βραχὺ προελθὼν ἐπιλέγει·

[08431] Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον.

[08432] Καὶ πάλιν·

[08433] Ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.

[08434] Ἰδοὺ τὸν νόμον ὀνομάσας πνευματικὸν, τουτέστι τὸν διὰ Πνεύματος, εὐθὺς αὐτὸν καὶ Θεοῦ νόμον ἀποκαλεῖ.

[08435] Γυμνότερον δὲ διὰ τῶν ἐφεξῆς ὅτι Θεὸς εἴη τὸ Πνεῦμα, δεικνύει βοῶν·

[08436] Ὁ νόμος τοῦ Πνεύματος τῆς ζωῆς, ἵνα μὴ μόνον νομοθετοῦν εὑρίσκηται τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἤδη καὶ Πνεῦμα ὑπάρχον ζωῆς.

[08437] Καὶ τίς ἡ ζωὴ, ἢ πάντως ὁ λέγων Χριστός·

[08438] Ἐγώ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή;

[08439] Νομοθετοῦντος τοιγαροῦν τοῦ Χριστοῦ, ὡς ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ φυσικῶς ὑπάρχον τὸ Πνεῦμα αὐτὸ νομοθετεῖ.

[08440] ΑΛΛΟ.

[08441] Τοῦ σαρκικοῦ κινήματος ὁ Παῦλος κατηγορῶν, καὶ δεικνὺς ὅσην ἔχει πρὸς τὴν τοῦ Πνεύματος βούλησιν τὴν ἀνάστασιν, Ἡ σὰρξ, φησὶ, κατὰ τοῦ Πνεύματος, τὸ δὲ Πνεῦμα κατὰ τῆς σαρκός.

[08442] Ταῦτα [75.601] γὰρ ἀλλήλοις ἀντίκειται.

[08443] Εἶτα βραχὺ προελθὼν ἐπιλέγει·

[08444] Ἆρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας·

[08445] νόμον μὲν ἁμαρτίας τὰ ἐν τῇ σαρκὶ πρὸς τὰς ἐκτόπους ἡδονὰς κινήματα λέγων·

[08446] Θεοῦ δὲ νόμον, τὴν τοῦ Πνεύματος βούλησιν ἀποκαλῶν.

[08447] Πρόδηλον οὖν ὅτι Θεὸς τὸ ἅγιον Πνεῦμα, τὸ καὶ νόμους ὁρίζον ἐν ἡμῖν τὸ οἰκεῖον θέλημα.

[08448] Πρέπει δὲ οὐχ ἑτέρῳ νομοθετεῖν, ἀλλὰ μόνῳ Θεῷ.

[08449] ΑΛΛΟ.

[08450] Τῇ γὰρ ματαιότητι, φησὶν, ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι.

[08451] Οὐκοῦν εἴπερ εἶναί φασι κτιστόν τε καὶ ποιητὸν τὸ Πνεῦμα τὸ ἅγιον, ἀνάγκη συνομολογεῖν ὑποτετάχθαι καὶ αὐτὸ τῇ ματαιότητι, καὶ συστενάζειν μὲν καὶ συνωδίνειν, εἶναί τε νῦν ὥσπερ ἐν δουλίᾳ, ἐλευθερωθήσεσθαί τε μόλις εἰς τὴν ἀπολύτρωσιν τῆς δόξης τῶν τέκνων Θεοῦ.

[08452] Εἶτα ποῖ ποτε ἡμῖν ὁ Παῦλος οἰχήσεται λέγων·

[08453] Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν·

[08454] Ἀββᾶ, ὁ Πατήρ.

[08455] Ἀλλὰ τῆς μὲν δουλείας ἀπαλλάττει τοὺς ἐν οἷς ἂν γένοιτο, ἀναμορφοῖ δὲ μᾶλλον εἰς τὴν ἐλευθερίαν καὶ υἱότητα, μετόχους ἀποδεικνύων τῆς οἰκείας φύσεως.

[08456] Οὐκ ἄρα δοῦλόν ἐστιν, εἰ δὲ τοῦτο, οὐ κτίσμα.

[08457] Τὸ δὲ καὶ τὸ εἶναι κτίσμα καὶ τὸ ἓν δούλων τετάχθαι διαφυγὸν, τῆς θείας ἂν εἴη λοιπὸν οὐσίας δηλαδή.

[08458] ΑΛΛΟ.

[08459] Συστενάζειν ὁ Παῦλος τὴν κτίσιν εἰπὼν, ἐπιφέρει·

[08460] Οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτοὶ οἱ τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες ἡμεῖς.

[08461] Καὶ τί τὸ ἐν τούτοις ζητούμενον;

[08462] Ἡ ἀπαρχὴ, τινός ἐστιν ἀπαρχὴ, καὶ ὁμοειδὴς ἐκείνῳ πάντως, οὗ καὶ ἔστιν ἀπαρχή·

[08463] οἷον οἴνου μὲν οἶνος, σίτου δὲ ὁμοίως σῖτος.

[08464] Εἰ τοίνυν ὡς ἐν τῷ αἰῶνι τῷ μέλλοντι τελειοτάτην ἔχειν μέλλουσι τῆς θεότητος τὴν μετουσίαν, ἐν ἀπαρχῆς ἡμῖν τάξει τὸ Πνεῦμα τὸ ἅγιον ἐχορηγήθη, ἀνάγκη δὴ πᾶσα τῆς θείας φύσεως εἶναι λέγειν αὐτὸ, ἧς καὶ ἔστιν ἀπαρχή.

[08465] Εἰ δὲ τοῦτο, οὐ κτίσμα, οὐδὲ ποίημά ἐστι, Θεὸς δὲ μᾶλλον ὡς ἐκ Θεοῦ καὶ ἐν Θεῷ φυσικῶς.

[08466] ΑΛΛΟ.

[08467] Ῥωμαίοις ἐπιστέλλει πάλιν ὁ Παῦλος·

[08468] Λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ὥρισε μέτρον πίστεως.

[08469] Εἶτα πάλιν τῇ τοῦ Πνεύματος ἐξουσίᾳ τὴν τῶν θείων χαρισμάτων διανομὴν ἀναθείς·

[08470] Ὧ μὲν γὰρ ὁ Θεὸς, φησὶ, δίδωσι Πνεῦμα σοφίας·

[08471] εἶτα τούτῳ προσθεὶς δωρεῶν εἴδη πολλὰ, ἑτέρῳ δὲ πίστιν, ἐπιλέγει·

[08472] Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.

[08473] Οὐκοῦν εἰ πρὸς τοῖς ἄλλοις ἀγαθοῖς καὶ πίστεως φαίνεται τὸ Πνεῦμα παρεκτικὸν, καὶ τὸ ἀρ [75.604] κοῦν ἑκάστῳ μέτρον ὁρίζον ὡς Θεὸς, πῶς οὐ λίαν ἀσεβὲς ἐπαριθμεῖν αὐτὸν τοῖς κτίσμασι, καὶ μὴ μᾶλλον ἐκ Θεοῦ πεφηνέναι λέγειν;

[08474] ΑΛΛΟ.

[08475] Ἐπὶ τοῖς δι' αὐτοῦ γενομένοις παρὰ τοῦ Σωτῆρος κατορθώμασιν ἐπ' ὠφελείᾳ τῶν ἐθνῶν, καυχᾶται λέγων ὁ Παῦλος·

[08476] Ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν Θεόν.

[08477] Οὐ γὰρ τολμήσω τι λαλεῖν, ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ εἰς ὑπακοὴν ἐθνῶν, λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύματος ἁγίου.

[08478] Οὐκοῦν εἰ σημεῖα καὶ τέρατα διὰ τοῦ Παύλου Χριστὸς ἐργάζεται ἐν δυνάμει Πνεύματος ἁγίου, ἐνέργειά τις φυσικὴ καὶ ζῶσα, καὶ, ἵν' οὕτως εἴπωμεν, ποιότης τῆς θεότητος τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιόν ἐστιν.

[08479] Εἰ δὲ τοῦτο, πῶς ἔσται ποίημα τὸ ἐν Θεῷ καὶ ἐκ Θεοῦ φυσικῶς;

[08480] Πῶς δὲ ἐν ποιήματι πᾶσα ἡ δύναμις τοῦ Υἱοῦ;

[08481] ὅπερ ἐστὶ καὶ μόνον εἰπεῖν ἀσεβέστατον.

[08482] Ἐκ τῆς πρὸς Κορινθίους α'.

[08483] Οὐ τῆς ἐκ λόγων δεινότητος τὸ σωτήριον δεῖσθαι κήρυγμα διδάσκων ὁ Παῦλος, ἐπιστέλλει Κορινθίοις·

[08484] Κἀγὼ ἐν ἀσθενείᾳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς, καὶ ὁ λόγος μου, καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως, ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ.

[08485] Ἰδοὺ τὴν τοῦ Πνεύματος ἀπόδειξιν, τουτέστι τὰ διὰ τοῦ Πνεύματος ἐνεργήματα, δύναμιν εἶναί φησι τοῦ Θεοῦ.

[08486] Ἐξ αὐτοῦ γὰρ καὶ ἐν αὐτῷ φυσικῶς τὸ Πνεῦμα αὐτοῦ τὸ πάντα ἐνεργοῦν.

[08487] Πῶς οὖν κτίσμα ἢ ποίημα, τὸ ἐν ᾧ Θεὸς ὅπερ ἐστὶ κατὰ φύσιν γνωρίζεται, καθόσον ἡμῖν ἐφικτὸν, ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγματι;

[08488] ΑΛΛΟ.

[08489] Οὐδένα τῶν ἀσχήμονα μετιόντων βίον, κληρονόμον ἔσεσθαι τῆς τῶν οὐρανῶν βασιλείας εἰπὼν, πόρνους τε ἀπαριθμήσας καὶ πλεονέκτας καὶ ἅρπαγας, ἐπάγει παραχρῆμα·

[08490] Καὶ ταῦτά τινες ἦτε, ἀλλ' ἀπελούσασθε, ἀλλὰ ἡγιάσθητε, ἀλλὰ ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν.

[08491] Οὐκοῦν εἰ μόνῳ Θεῷ τὸ ἐξεῖναι συγχωρεῖν ἁμαρτίας δώσομεν, ἀφίησι δὲ καὶ δικαιοῖ τὸ Πνεῦμα, ἁγίους ἀποδεικνύον τοὺς ἐν οἷς ἂν γένοιτο, Θεὸς ἄρα τὸ τὴν θείαν ἐνέργειαν ἔχων ἐν ἑαυτῷ φυσικῶς.

[08492] ΑΛΛΟ.

[08493] Ἢ οὐκ οἴδατε, φησὶν, ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν, ὁ δὲ κολλώμενος τῷ Κυρίῳ ἓν Πνεῦμά ἐστιν;

[08494] Ὥσπερ οὖν ὁ τῇ πόρνῃ κολλώμενος, ἓν ὡς πρὸς αὐτὴν γίνεται, οὕτως ὁ τοῦ ἁγίου Πνεύματος μέτοχος γεγονὼς, ἓν ὡς πρὸς τὸν Κύριον γίνεται.

[08495] Θεὸς οὖν ἄρα τὸ Πνεῦμα τὸ ἅγιον, δι' οὗ τῷ Θεῷ κολλώμεθα, καὶ ἓν ὡς πρὸς αὐτὸν ἀποτελούμεθα, τῆς τε θείας αὐτοῦ φύσεως γινόμεθα κοινωνοὶ, διὰ τῆς [75.605] πρὸς τὸ Πνεῦμα συναφείας τε καὶ ἑνότητος.

[08496] Εἰ δὲ τὸ Πνεῦμα Θεὸς, πῶς ἔσται καὶ ποίημα;

[08497] ΑΛΛΟ.

[08498] Ἢ οὐκ οἴδατε, φησὶν, ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ;

[08499] Ὅτε τοίνυν ἐν ἡμῖν τοῦ ἁγίου Πνεύματος οἰκοῦντος, οἶκος Θεοῦ καὶ ναὸς χρηματίζομεν, πῶς οὐκ ἔσται τῆς θείας φύσεως, ἀλλ' ἐν τοῖς γενητοῖς ἀριθμηθήσεται, ὅτε κἀκεῖνο πρόδηλόν ἐστιν, ὡς οὐδὲν τῶν γενητῶν ἢ πεποιημένων ὡς Θεὸς ἐν ναῷ λέγεται κατοικεῖν;

[08500] Μόνης δὲ τῆς θείας φύσεως καὶ τοῦτό ἐστι μετὰ τῶν ἄλλων ἐξαίρετον.

[08501] ΑΛΛΟ.

[08502] Ὁ γὰρ λαλῶν, φησὶ, γλώσσῃ, οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ τῷ Θεῷ.

[08503] Οὐδεὶς γὰρ ἀκούει, Πνεύματι δὲ λαλεῖ μυστήρια.

[08504] Θεὸς οὖν ἄρα, καὶ ἐκ Θεοῦ τὸ Πνεῦμα, εἴπερ ὁ αὐτῷ λαλῶν, Θεῷ διαλέγεται.

[08505] Ἐκ τῆς πρὸς Κορινθίους β'.

[08506] Τὸν περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν λόγον εἰσφέρων ὁ Παῦλος, φησί·

[08507] Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει, στενάζομεν βαρούμενοι, ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι, ἵνα τὸ θνητὸν καταποθῇ ὑπὸ τῆς ζωῆς.

[08508] Ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο Θεὸς, ὁ καὶ δοὺς ἡμῖν τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος.

[08509] Ἀῤῥαβῶνα ζωῆς τὸ Πνεῦμα διδόσθαι φησὶν, ὡς τοῦτο κατὰ φύσιν ὑπάρχον·

[08510] τὸ γὰρ Πνεῦμα ζωοποιεῖ.

[08511] Ἀλλ' εὑρίσκομεν ὅτι τὸ εἶναι κατὰ φύσιν ζωὴ, μόνῳ πρόσεστι τῷ Θεῷ καὶ Πατρὶ, καὶ τῷ ἐξ αὐτοῦ προελθόντι Λόγῳ.

[08512] Ὥσπερ γὰρ, φησὶν, ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ δέδωκεν ἔχειν ζωὴν ἐν ἑαυτῷ.

[08513] Καὶ πάλιν·

[08514] Ὥσπερ γὰρ ὁ Πατὴρ οὓς θέλει ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ.

[08515] Οὐκοῦν εἰ ζωοποιοῦντος τοῦ Πατρὸς, ζωοποιοῦντος δὲ ὁμοίως καὶ τοῦ Υἱοῦ, ζωοποιεῖ καὶ τὸ Πνεῦμα, πῶς ἔσται κτίσμα ἢ ποίημα, τὸ Πατρὶ καὶ Υἱῷ προσεοικὸς, καὶ τῆς οὐσίας ἔχον τὴν ταυτότητα;

[08516] ΑΛΛΟ, εἰς τὸ αὐτὸ συλλογιστικῶς.

[08517] Εἰ ποίημα καὶ κτίσμα τὸ Πνεῦμα ὑπάρχον, κατὰ τοὺς ἀνοήτους αἱρετικοὺς, ζωοποιεῖν δύναται τοὺς ἐν οἷς ἂν γένοιτο, οὐδὲν ἐν Θεῷ τὸ ἐξαίρετον ζωοποιοῦντι καὶ αὐτῷ, ἐνέργειαν δὲ πάντως τὴν αὐτὴν εἶναι δώσομεν ποιητοῦ καὶ ποιήματος.

[08518] Εἶτα πῶς ἐκ διαφόρου καὶ παρηλλαγμένης οὐσιώδους ποιότητος, ἴση καὶ ἀπαράλλακτος ἂν δοθήσεται δύναμις;

[08519] Τὰ γὰρ μίαν ἔχοντα τὴν ἐνέργειαν, ἕνα καὶ τὸν τοῦ πῶς ἐστι φορέσει λόγον.

[08520] Ὥρα τοίνυν ἢ τὸ Θεὸν εἰς τὸν τῶν ποιημάτων καταφέρειν ὅρον, ἢ τῷ ποιήματι τὸν τῇ Θεότητι πρέποντα λόγον ἀπονέμειν, εἴπερ, κατ' ἐκείνους, ποίημα καὶ κτίσμα τὸ Πνεῦμα ὑπάρχον, ἴσην τῷ Θεῷ τὴν ἐνέργειαν ἔχει.

[08521] Καὶ συγκέχυται λοιπὸν τὰ πάντη κατὰ φύσιν ἄμικτα.

[08522] Ἀλλὰ τοῦτο ἄτοπον, καὶ οὐδὲν [75.608] τῶν οὐσιωδῶς προσόντων τῷ Θεῷ, πρόσεστι ποιήματι, ὥσπερ καὶ αὐτῷ.

[08523] Ζωοποιεῖ δὲ τὸ Πνεῦμα, ζωοποιοῦντος τοῦ Θεοῦ καὶ Πατρός.

[08524] Καὶ πῶς ἔσται ποίημα τὸ ἔχον ἐν ἑαυτῷ φυσικῶς τῆς θείας οὐσίας τὸ ἴδιον καὶ ἐξαίρετον;

[08525] Οὐκοῦν ἐκ Θεοῦ καὶ Θεὸς τὸ Πνεῦμα·

[08526] καὶ οὐ κτίσμα, κατά τινα τῶν ἀνοήτων, οἷς ἀεὶ γλυκὺς ὁ πρὸς τὴν ἀλήθειαν πόλεμος.

[08527] ΑΛΛΟ.

[08528] Ὥστε εἴ τις ἐν Χριστῷ καινὴ κτίσις, τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινὰ, τὰ δὲ πάντα ἐκ Θεοῦ.

[08529] Οὐκοῦν ἐπειδήπερ ἀνακαινίζοντος ἡμᾶς τοῦ Χριστοῦ, καὶ εἰς νέαν μετατιθέντος ζωὴν, τὸ Πνεῦμα ἀνακαινίζον λέγεται, κατὰ τὸ ἐν Ψαλμοῖς ᾀδόμενον·

[08530] Ἐξαποστελεῖς τὸ Πνεῦμά σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς, ἀνάγκη τὸ Πνεῦμα τῆς οὐσίας ὁμολογεῖν τοῦ Υἱοῦ.

[08531] Ὡς γὰρ ἐξ αὐτοῦ κατὰ φύσιν ὑπάρχον καὶ ἐπὶ τὴν κτίσιν παρ' αὐτοῦ πεμπόμενον τὸν ἀνακαινισμὸν ἐργάζεται, συμπλήρωμα τῆς ἁγίας ὑπάρχον Τριάδος.

[08532] Εἰ δὲ τοῦτο, Θεὸς ἄρα καὶ ἐκ Θεοῦ τὸ Πνεῦμα, καὶ οὐ ποίημα.

[08533] ΑΛΛΟ.

[08534] Ἥδιστα οὖν μᾶλλον καυχήσομαι, φησὶν, ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ.

[08535] Εἰ δὲ τὸ Πνεῦμά ἐστι τὸ ἐπισκηνοῦν καὶ κατοικοῦν ἐν ἡμῖν, καὶ δι' αὐτοῦ Χριστὸς, δύναμις ἄρα αὐτοῦ τὸ Πνεῦμα τὸ ἅγιον.

[08536] Εἰ δὲ τοῦτο, πῶς ἔσται ποίημα τὸ φύσει προσὸν τῷ Υἱῷ;

[08537] Ὥρα γὰρ λέγειν σύνθετον εἶναι τὸν οὐδεμίαν ἔχοντα διπλόην Θεὸν Λόγον, ἔκ τε γενητῆς καὶ ἐκ τῆς οἰκείας συγκείμενον φύσεως.

[08538] Εἰ δὲ τοῦτο ἄτοπον, οὐ κτιστὸν τὸ Πνεῦμα ἢ ποιητὸν, ἀλλ' ἐκ τῆς ἀπερινοήτου καὶ θείας οὐσίας, ὡς δύναμις αὐτῆς καὶ ἐνέργεια φυσική.

[08539] ΑΛΛΟ.

[08540] Ἑαυτοὺς πειράζετε, εἰ ἐστὲ ἐν τῇ πίστει, ἑαυτοὺς δοκιμάζετε.

[08541] Ἢ οὐκ ἐπιγινώσκετε ἑαυτοὺς, ὅτι Χριστὸς Ἰησοῦς ἐν ὑμῖν ἐστιν, εἰ μή τι ἀδόκιμοί ἐστε;

[08542] Ἐλπίζω δὲ ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι.

[08543] Οὐκοῦν ἐπειδήπερ ἐν τοῖς δοκίμοις κατοικοῦντος τοῦ Πνεύματος, Χριστός ἐστιν ὁ κατοικῶν, ἀνάγκη λέγειν αὐτὸ τῆς θείας ὑπάρχειν οὐσίας, ἧς καὶ ἐργάζεται κοινωνοὺς τοὺς μετασχόντας αὐτοῦ.

[08544] Οὐ γὰρ δή που φήσειεν ἄν τις, εἴ γε νοῦν ἔχοι, διὰ κτίσματος τὴν τοῦ Θεοῦ μετοχὴν ἐν ἡμῖν ἀποτελεῖσθαι, εἴπερ ἔκφυλα παντελῶς καὶ ἀλλήλοις ἀνόμοια, καὶ πολὺ τὸ διεῖργον μεταξὺ γενητῆς τε καὶ ἀγενήτου οὐσίας.

[08545] ΑΛΛΟ.

[08546] Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, μετὰ πάντων ὑμῶν.

[08547] Ἀμήν.

[08548] Ἰδοὺ πάλιν ἐνθάδε συμπληρωτικὸν τῆς ἁγίας Τριάδος τὸ Πνεῦμα φαίνεται.

[08549] Πῶς οὖν εἷς, πῶς δὲ ἁπλοῦς ὁ Θεὸς, εἴπερ τὸ ἐν αὐτῷ Πνεῦμα κτιστὸν ὑπάρχον ἢ ποιητὸν, ἕτερόν τι παρ' [75.609] αὐτὸν εὑρίσκεται;

[08550] Ἀλλ' εἷς ὄντως ἐστὶν ὁ Θεὸς, ἁπλοῦς καὶ ἀσύνθετος, καὶ πάσης ἑτεροειδοῦς φύσεως ἀμιγής.

[08551] Ἐξ αὐτοῦ δηλονότι καὶ ἐν αὐτῷ τὸ Πνεῦμα φυσικῶς καρπὸς ὑπάρχον αὐτοῦ, καὶ οὐκ ἔξωθεν εἰς ὑπόστασιν ἐνεχθὲν, οὐδὲ ἐπίκτητον ἔχον τοῦθ' ὅπερ ἐστὶ, κατὰ τὴν τῶν ἑτεροδόξων ἀβουλίαν.

[08552] Ἐκ τῆς πρὸς Γαλάτας.

[08553] Τεκνία, φησὶ, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.

[08554] Εἰ διὰ μόνου τοῦ Πνεύματος μορφοῦται Χριστὸς ἐν ἡμῖν, καὶ τοὺς ἰδίους ὥσπερ ἐντίθησι χαρακτῆρας, ἀναζωγραφῶν εἰς τὸ τῆς θεότητος κάλλος τὴν ἀνθρώπου φύσιν, Θεὸς ἄρα τὸ Πνεῦμα Χριστοῦ, τὸ ὡς αὐτὸς ἐν ἡμῖν μορφούμενον, ἴδιον δὲ πάντων τῆς οὐσίας αὐτοῦ, καὶ οὐκ ἔξωθεν ὑποστατόν.

[08555] ΑΛΛΟ.

[08556] Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε.

[08557] Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ Πνεύματος, τὸ δὲ Πνεῦμα κατὰ τῆς σαρκός·

[08558] ταῦτα γὰρ ἀλλήλοις ἀντίκειται, ἵνα μὴ ἐὰν θέλητε, ταῦτα ποιῆτε.

[08559] Εἰ δὲ Πνεύματι ἄγεσθε, οὐκ ἔτι ἐστὲ ὑπὸ νόμον.

[08560] Εἰ διὰ τῶν θελημάτων τοῦ Πνεύματος εἰς εὐλάβειαν καὶ ὀρθότητα βίου παιδαγωγούμενοι πρὸς ἐλευθερίαν καλούμεθα, τὴν ἐν νόμῳ δουλίαν ἐκβαίνοντες, Θεὸς ἄρα τὸ Πνεῦμά ἐστι τὸ ἐλευθεροῦν δυνάμενον, καὶ δεσποτικὸν ἔχει τὸ ἀξίωμα.

[08561] Ὅτι γὰρ μόνῳ τῷ Θεῷ τὸ ἐλευθεροῦν ἐφεῖται, πρόδηλον μὲν ἐκ τοῦ μηδένα δύνασθαι ἀφαιρεῖν ἁμαρτίας πλὴν αὐτοῦ.

[08562] Οὐδὲν ἧττον καὶ αὐτὸς ἡμᾶς ὁ Σωτὴρ πιστώσεται λέγων·

[08563] Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ Υἱὸς ὑμᾶς ἐλευθερώσῃ, δοῦλοί ἐστε.

[08564] Ποιήματι μὲν γὰρ τὸ δύνασθαι τοῦτο ποιεῖν οὐ πρόσεστι, μόνῳ δὲ ὡς Υἱῷ καὶ κληρονόμῳ, τῷ ἐκ Θεοῦ καὶ Πατρὸς προελθόντι Λόγῳ.

[08565] Εἰ τοίνυν μόνου πρὸς ἐλευθερίαν καλοῦντος ἡμᾶς τοῦ Υἱοῦ, φαίνεται τὸ Πνεῦμα τοῦτο ποιοῦν, πῶς οὐκ ἔσται τῆς οὐσίας αὐτοῦ τὸ ὡς αὐτὸς πάντα πράττον, μετ' ἐξουσίας καὶ δυνάμεως θεοπρεποῦς;

[08566] Εἰ δὲ τοῦτο, οὐ κτίσμα ἐστὶν, οὐδὲ ποίημα τὸ Πνεῦμα Χριστοῦ.

[08567] Πολλὴν γὰρ ὁ λόγος ἔχει τὴν ἀσέβειαν.

[08568] Ἐκ τῆς πρὸς Ἐφεσίους.

[08569] Περὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὸν λόγον ποιούμενος, Ἐν ᾧ καὶ ὑμεῖς, ἀκούσαντες, φησὶ, τὸν λόγον τῆς ἀληθείας, τὸ Εὐαγγέλιον τοῦ Σωτῆρος ἡμῶν, ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε τῷ Πνεύματι τῆς ἐπαγγελίας ἁγίῳ, ὅς ἐστιν ἀῤῥαβὼν τῆς κληρονομίας ἡμῶν.

[08570] Εἰ τῷ ἁγίῳ Πνεύματι σφραγιζόμενοι πρὸς Θεὸν ἀναμορφούμεθα·

[08571] πῶς ἔσται γενητὸν τὸ δι' οὗ τῆς θείας οὐσίας ἡμῖν ἡ εἰκὼν ἐγχαράττεται, καὶ τῆς ἀγενήτου φύσεως ἐναπομένει τὰ σήμαντρα;

[08572] Οὐ γὰρ δήπου τὸ Πνεῦμα ἐν ἡμῖν σκιαγράφου δίκην τὴν θείαν οὐσίαν ζωγραφεῖ, ἕτερον αὐτὸ παρ' ἐκείνην ὑπάρχον·

[08573] οὐδὲ τοῦτον ἡμᾶς τὸν τρόπον εἰς ὁμοίωσιν ἄγει Θεοῦ, ἀλλ' αὐτὸ Θεός τε ὑπάρχον καὶ ἐκ Θεοῦ προελθὸν, ὥσπερ ἔν τινι κηρῷ [75.612] ταῖς τῶν δεχομένων αὐτὸ καρδίαις ἀοράτως δίκην σφραγῖδος ἐνθλίβεται, διὰ τῆς πρὸς ἑαυτὸ κοινωνίας τε καὶ ὁμοιώσεως, εἰς τὸ ἀρχέτυπον κάλλος τὴν φύσιν ἀναζωγραφοῦν, καὶ κατ' εἰκόνα Θεοῦ δεικνύον αὖθις τὸν ἄνθρωπον.

[08574] Πῶς οὖν ἔσται ποίημα, τὸ δι' οὗ πρὸς Θεὸν ἡ φύσις ἀνασχηματίζεται, ὡς Θεοῦ γενομένη μέτοχος;

[08575] ΑΛΛΟ.

[08576] Περὶ δὲ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας διαλεγόμενος, Καὶ ἐλθὼν, φησὶν, εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν, καὶ εἰρήνην τοῖς ἐγγύς·

[08577] ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ Πνεύματι πρὸς τὸν Πατέρα.

[08578] Εἰ τὸ Πνεῦμα λαβόντες Χριστοῦ προσαγόμεθα δι' αὐτοῦ τῷ Θεῷ καὶ Πατρὶ, ὡς τῆς θείας αὐτοῦ φύσεως ἀναδεδειγμένοι κοινωνοὶ, πῶς ἂν εἴη ποίημα, τὸ δι' οὗ τῷ Θεῷ ὡς γένος ἤδη συναπτόμεθα;

[08579] ΑΛΛΟ.

[08580] Ἄρα οὖν, φησὶ, οὐκ ἔτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Χριστοῦ.

[08581] Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ, ἐν ᾧ πᾶσα ἡ οἰκοδομὴ συναρμολογουμένη, αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ, ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς ναὸν ἅγιον, εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν Πνεύματι.

[08582] Εἰ ναὸς ἅγιος χρηματίζομεν διὰ τοῦ ἁγίου Πνεύματος, κατοικοῦντος ἐν ἡμῖν τοῦ Θεοῦ, πῶς οὐ πάσης ἀσεβείας ἐπέκεινα βαδιοῦνταί τινες τοῖς πεποιημένοις τὸ Πνεῦμα συντάττοντες, καὶ οὐχὶ μᾶλλον ἐκ τῆς θείας φύσεως ὁμολογοῦντες ὑπάρχειν, τὸ ἐξ αὐτῆς οὐσιωδῶς προερχόμενον, καὶ ἐν Θεοῦ τάξει κατοικοῦν ἐν ἡμῖν;

[08583] ΑΛΛΟ.

[08584] Ἐμοὶ, φησὶ, τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ, καὶ φωτίσαι τίς ἡ οἰκονομία τοῦ μυστηρίου, τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι.

[08585] Εἶτα πάλιν ἐν τοῖς ὀλίγον ὀπίσω φησί·

[08586] Καθὼς προέγραψα ὑμῖν ἐν ὀλίγῳ πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ, ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν Πνεύματι.

[08587] Εἴπερ οὖν ἐστιν ἀληθὴς ὁ προφήτης βοῶν·

[08588] Τίς ἔγνω νοῦν Κυρίου;

[08589] πρόδηλον ὅτι τῶν πεποιημένων οὐδὲν τὴν θείαν οἶδε βουλήν·

[08590] ἐπὶ μὲν οὖν ἀνθρώπων ὅταν λέγηται, τοῦτο παῖς τις, οἶμαι, συνθήσεται.

[08591] Ἀλλ' ἴδωμεν, εἴ τῳ δοκεῖ, καὶ τὰς ἐν τοῖς οὐρανοῖς ἁγίας δυνάμεις, εἰ μὴ τῆς τοιαύτης λείπονται τιμῆς.

[08592] Δέχου μοι τοίνυν τὸν ἐν τῷ Ζαχαρίᾳ προσευχόμενον ἄγγελον καὶ λέγοντα·

[08593] Κύριε παντοκράτορ, ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλὴμ, καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες τοῦτο ἑβδομηκοστὸν ἔτος;

[08594] Πῶς οὖν εἴπερ ᾔδει, προσήει μανθάνειν ἀξιῶν;

[08595] Ἀλλ' ἔστι δῆλον ὡς ἀγνοεῖ.

[08596] Οὐκοῦν εἰ τῶν ἄλλων οὐδενὸς τὴν θείαν εἰ [75.613] δότος βουλὴν, τὸ Πνεῦμα ταύτην ἐρευνᾷ καὶ περιεργάζεται, καὶ οἶδε τὰ βάθη τοῦ Θεοῦ, καὶ τὰ κεκρυμμένα ἐν αὐτῷ τοῖς ἁγίοις ἀποκαλύπτει καὶ καθίστησι φανερά·

[08597] πῶς ἂν εὐλόγως ἀποτέμνοιτο τῆς πρὸς Θεὸν ὁμοουσιότητος;

[08598] Πῶς δὲ οὐχὶ πάντως ἐξ αὐτοῦ τὸ ἐν αὐτῷ φυσικῶς ὑπάρχον ὡς Πνεῦμα αὐτοῦ, καὶ εἰδὸς πάντα τὰ ἐν αὐτῷ;

[08599] Εἰ δὲ τοῦτο, οὐ κτίσμα, οὐδὲ ποίημά ἐστιν.

[08600] Ἐκ τῆς Ἰακώβου Ἐπιστολῆς.

[08601] Μὴ πλανᾶσθε, φησὶ, ἀδελφοί μου ἀγαπητοί.

[08602] Πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι καταβαῖνον ἐκ τοῦ Πατρὸς τῶν φωτῶν.

[08603] Εἰ ἐκ τοῦ Πατρὸς τῶν φωτῶν ἡ ποικίλη τῶν θείων χαρισμάτων καταπέμπεται δόσις, φησὶ δὲ ὁ Παῦλος ταῦτα πάντα ἐνεργεῖν τὸ Πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται, πῶς οὐ Θεὸς ἐκ Θεοῦ καὶ ἐν τῷ Θεῷ Πνεῦμα, τὸ πάντα ἐνεργοῦν τὰ τῷ Θεῷ πρέποντα, καὶ τοῦτο ἐξουσιαστικῶς;

[08604] Οὐκοῦν οὐ κτίσμα, καθάπερ ἐκεῖνοι ληροῦντές φασι.

[08605] Ἐκ τῆς Πέτρου Ἐπιστολῆς.

[08606] Σωφρονήσατε οὖν, φησὶ, καὶ νήψατε εἰς προσευχὰς, πρὸ πάντων τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες, ὅτι ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν·

[08607] φιλόξενοι εἰς ἀλλήλους ἄνευ γογγυσμοῦ.

[08608] Ἕκαστος καθὼς ἔλαβε χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ.

[08609] Ὅρα δή μοι πάλιν, ὅτι τοῦ ἁγίου Πνεύματος ἐξουσιαστικῶς, καὶ καθὼς ἂν βούληται τὰ θεῖα χαρίσματα διανέμοντός τε καὶ ἑκάστῳ τῶν ἁγίων ἐπιμερίζοντος,

ὁ θαυμάσιος Πέτρος ἐκ Θεοῦ τῆς τοιαύτης χάριτος τὴν ποικιλίαν τε καὶ δόσιν εἶναι διϊσχυρίζεται, οὐκ ἀλλότριον τῆς θείας φύσεως τὸ Πνεῦμα εἰδώς.

[08610] Θεὸν οὖν τὸ Πνεῦμα καλοῦντος τοῦ Πέτρου, πῶς οὐ δυσσεβὴς ὁμοῦ καὶ παράφρων ὁ τοῖς ποιήμασιν ἐναρίθμιον τοῦτο τιθεὶς, καὶ τοῖς τῶν ἁγίων ἀποστόλων κηρύγμασιν ἀντιφθέγγεσθαι ῥιψοκινδύνως κατατολμῶν;

[08611] Ἐκ τῆς Ἰωάννου Ἐπιστολῆς.

[08612] Ταῦτα, φησὶ, ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς.

[08613] Καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε παρ' αὐτοῦ, μενεῖ τε ἐν ὑμῖν, καὶ οὐ χρείαν ἔχετε, ἵνα τις διδάσκῃ ὑμᾶς, ἀλλ' ὡς τὸ αὐτοῦ χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων, καὶ ἀληθές ἐστι, καὶ οὐκ ἔστι ψεῦδος.

[08614] Καὶ καθὼς ἐδίδαξεν ὑμᾶς, μένετε ἐν αὐτῷ.

[08615] Φαίνεταί τις ἐν προφήταις τοιοῦτος λόγος·

[08616] Καὶ ἔσονται πάντων διδακτοὶ Θεοῦ.

[08617] Ὅτε τοίνυν οἱ πιστεύσαντες εἰς Χριστὸν, καὶ τῷ ἁγίῳ κατακεχρισμένοι Πνεύματι πάντα δι' αὐτοῦ μανθάνοντες, τῆς μὲν ἐξ ἀνθρώπων διδαχῆς οὐκ ἐν χρείᾳ καθιστᾶσι, διδακτοὶ δὲ μᾶλλον εὑρίσκονται Θεοῦ, κατὰ τὸν ἐν τοῖς προφήταις λόγον, Θεὸς ἄρα τὸ Πνεῦμα σαφῶς.

[08618] Τὸ δὲ οὕτως ἔχον φύσει, πῶς ἂν εἴη ποίημα;

[08619] ΑΛΛΟ.

[08620] Καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ, ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ, καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐν ἡμῖν μένει, ἐκ τοῦ Πνεύματος οὗ ἔδωκεν ἡμῖν.

[08621] Εἰ [75.616] τοῦ Πνεύματος τοῦ ἁγίου ἐν ἡμῖν οἰκοῦντος, Θεός ἐστιν ὁ κατοικῶν, πῶς οὐ Θεὸς καὶ ἐκ Θεοῦ τὸ Πνεῦμα, ὅπερ εἴ τις ἔχοι, Θεὸν ἐνοικοῦντα φορεῖ;

[08622] Ὅς καὶ διὰ τοῦ προφήτου φησὶν, ὅτι Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεός.

[08623] Καὶ εἰ Θεὸς καὶ ἐκ Θεοῦ τὸ Πνεῦμα, τίς αὐτὸ ῥιψοκινδύνως ὅτι γενητὸν εἴη λέγων τὴν αἰώνιον ἐκβήσεται κόλασιν;

[08624] ΑΛΛΟ.

[08625] Τίς ἐστιν, φησὶ, ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ;

[08626] Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος καὶ Πνεύματος, Ἰησοῦς Χριστὸς, οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλὰ καὶ ἐν τῷ Πνεύματι καὶ ἐν τῷ αἵματι·

[08627] καὶ τὸ Πνεῦμά ἐστι τὸ μαρτυροῦν, ὅτι τὸ Πνεῦμά ἐστιν ἡ ἀλήθεια.

[08628] Ὅτι οἱ τρεῖς εἰσιν οἱ μαρτυροῦντες, τὸ Πνεῦμα, καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα, καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν.

[08629] Εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρία τοῦ Θεοῦ μείζων ἐστί.

[08630] Θέα δὴ πάλιν ὅτι τῆς ἀληθείας ὁ κῆρυξ Θεόν τε καὶ ἐκ Θεοῦ φυσικῶς τὸ Πνεῦμα καλεῖ.

[08631] Εἰρηκὼς γὰρ ὅτι τὸ Πνεῦμά ἐστι τὸ μαρτυροῦν, προελθὼν βραχὺ ἐπιφέρει·

[08632] Ἡ μαρτυρία τοῦ Θεοῦ μείζων ἐστί.

[08633] Πῶς οὖν ἔσται ποίημα τὸ τῷ Πατρὶ τῶν ὅλων συνθεολογούμενον, καὶ τῆς ἁγίας Τριάδος συμπληρωτικόν;

[08634] Ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου.

[08635] Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν·

[08636] Μνηστευθείσης τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου.

[08637] Εἰ μόνῃ τὸ δύνασθαι κτίζειν τῇ θείᾳ πρόσεστι φύσει, καὶ τοῦτο αὐτῇ μετὰ τῶν ἄλλων θεοπρεπῶν ἀξιωμάτων τὸ ἐξαίρετον·

[08638] κτίζει δὲ τὸ Πνεῦμα τὸ θεῖον ἐν τῇ Παρθένῳ ναὸν, τίς αὐτὸ πεποιῆσθαι λέγων, οὐχὶ δυσσεβής τε ὁμοῦ καὶ παράφρων εὑρεθήσεται;

[08639] τῆς γὰρ ἀνωτάτω πάντων οὐσίας κατηγορεῖ, καθέλκων ὥσπερ αὐτὴν βιαζόμενος εἰς τὸν τῶν ποιημάτων ὅρον, εἰς τὸ εἶναι πρόσφατον καὶ οὐκ ἐν ἀρχῇ.

[08640] Ἐν ἡμῖν δὲ πρόσφατος οὐκ ἔσται Θεὸς, κατὰ τὸ ἐν Ψαλμοῖς γεγραμμένον.

[08641] Οὐκ ἄρα γέγονεν ἢ πεποίηται, μᾶλλον δὲ ἦν ἐν ἀρχῇ ἡ θεία καὶ ἀκήρατος φύσις.

[08642] Εἰ δὲ τοῦτο, πῶς ἂν γεγενῆσθαι νοοῖτο τὸ ἐν Θεῷ καὶ Πατρὶ θεῖόν τε καὶ ἅγιον Πνεῦμα;

[08643] ΑΛΛΟ.

[08644] Εἰ ἐγὼ, φησὶ, ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι;

[08645] Διὰ τοῦτο αὐτοὶ κριταὶ ὑμῶν ἔσονται.

[08646] Εἰ δὲ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

[08647] Εἰ διὰ τῆς ἐνεργείας τοῦ Πνεύματος Θεὸς ἐξελαύνων τὰ δαιμόνια δοξάζεται, κτιστὸν δέ ἐστι καὶ γενητὸν, κατά τινας τῶν ἀπαιδεύτων τὸ Πνεῦμα τὸ ἅγιον, ἐν ποιήματι ἄρα ἐστὶ τὸ δύνασθαι τῷ Θεῷ.

[08648] Καὶ πῶς οὐ μείζων ἐστὶν αὐτοῦ τὸ ἐν ᾧ δοξάζεται;

[08649] Ἀλλὰ τοῦτο δυσσεβὲς νοῆσαί τε καὶ ὅλως εἰπεῖν.

[08650] Οὐκ ἄρα [75.617] γενητὸν Πνεῦμα τὸ ἐν ᾧ Θεὸς δι' Υἱοῦ τὰ πάντα ἐργάζεται, καὶ διὰ τοῦτο δοξάζεται.

[08651] Ἐκ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου.

[08652] Ὅσοι δὲ, φησὶν, ἔλαβον αὐτὸν ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν.

[08653] Εἰ τὸ Πνεῦμά ἐστι τὸ διὰ τῆς πίστεως τῆς εἰς Χριστὸν ἀναγεννῶν ἡμᾶς εἰς σωτηρίαν, ὡς αὐτοῦ δὴ τούτου χάριν γεννητοὺς ἡμᾶς χρηματίζειν Θεοῦ, πῶς οὐκ ἂν εἴη τὸ Πνεῦμα Θεός;

[08654] Ὅτι δὲ γεννητοὶ Πνεύματος ἡμεῖς οἱ πιστεύσαντες, μαρτυρήσει λέγων ὁ Σωτὴρ πρὸς Νικόδημον·

[08655] Τὸ Πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει.

[08656] Οὕτως πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος.

[08657] ΑΛΛΟ.

[08658] Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ.

[08659] Εἰ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ὥσπερ τις καρπὸς ἢ ποιότης ἐστὶ τῆς οὐσίας αὐτοῦ, ἀγένητος δὲ καὶ ἄκτιστος ὁ Πατὴρ, πῶς ἂν εἴη γενητὸν τὸ ἐξ αὐτοῦ προχεόμενον Πνεῦμα;

[08660] Πῶς δὲ ναοὶ Θεοῦ χρηματίζομεν ἡμεῖς τὸ Πνεῦμα λαβόντες, εἴπερ οὐκ ἔστι Θεὸς, κατὰ τήν τινων ἀβουλίαν;

[08661] ΛΟΓΟΣ ΛΕʹ.

[08662] Μαρτυρίαι ἀπὸ τῆς θείας Γραφῆς, δι' ὧν ἔστιν ἰδεῖν, ὅτι γενητὸς ἐκ Πατρός ἐστιν ὁ Υἱὸς, καὶ οὐχὶ πεποιημένος.

[08663] Ἡ Σοφία φησί·

[08664] Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ πρὸ τὰς ἀβύσσους ποιῆσαι, πρὸ τοῦ ἐλθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.

[08665] Ὁ Ψαλμῳδός.

[08666] Κύριος εἶπε πρός με·

[08667] Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε.

[08668] Ὁ αὐτός·

[08669] Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν τῇ λαμπρότητι τῶν ἁγίων, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐξεγέννησά σε.

[08670] Ὅτι ἀΐδιος καὶ πρὸ τῶν αἰώνων ὁ Θεὸς Υἱὸς, ἄῤῥητον ἔχων ἐκ Πατρὸς τὴν γέννησιν.

[08671] Ἰωάννης εὐαγγελιστής.

[08672] Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος.

[08673] Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν.

[08674] Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ, ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν.

[08675] Ἐκ τῆς Ἰωάννου Ἐπιστολῆς.

[08676] Ὃ ἦν ἀπαρχῆςὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ Λόγου τῆς ζωῆς.

[08677] Καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ [75.620] ἑωράκαμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν Πατέρα, καὶ ἐφανερώθη ἡμῖν.

[08678] Ὁ Σωτὴρ ἐν Εὐαγγελίῳ.

[08679] Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου·

[08680] καὶ οὐδεὶς ἐπιγινώσκει τίς ἐστι ὁ Υἱὸς, εἰ μὴ ὁ Πατήρ·

[08681] οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει τίς ἐστιν, εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἂν ὁ Υἱὸς ἀποκαλύψῃ.

[08682] Ἰωάννης εὐαγγελιστής.

[08683] Θεὸν οὐδεὶς ἑώρακε πώποτε·

[08684] ὁ μονογενὴς Υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο.

[08685] Ἦν γὰρ ὁ Λόγος ἐν κόλπῳ, τουτέστιν, ἐν τῇ φύσει τοῦ Πατρός.

[08686] Ἡσαΐας.

[08687] Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτος οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

[08688] Ἐν τῇ ταπεινώσει, ἡ κρίσις αὐτοῦ ἤρθη.

[08689] Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;

[08690] Ἀῤῥήτως γὰρ ἐκ Πατρὸς ἐξέλαμψεν ὁ Υἱός.

[08691] Μιχαίας.

[08692] Καὶ σὺ, Βηθλεὲμ, οἶκος τοῦ Ἐφρατᾶ, ὀλίγος εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα, ἐξ οὗ μοι ἐξελεύσεται ἡγούμενος τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραὴλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος.

[08693] Ἐξῆλθε γὰρ ὥσπερ καὶ ἐξήλατο τῆς τοῦ Πατρὸς οὐσίας ὁ Υἱὸς, οὐ κατά τινα μερισμὸν ἢ ἀποκοπὴν, ἀλλ' ὡς ἐκ φωτὸς ἀπαύγασμα.

[08694] Πλὴν ἀπαρχῆς, καὶ ἵν' οὕτως εἴπωμεν, ἔξω τῶν ἡμερῶν τοῦ αἰῶνος.

[08695] Οὐκοῦν ἐκ Πατρὸς, καὶ ἀΐδιος.

[08696] Παῦλος.

[08697] Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως·

[08698] ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε ὁρατὰ, εἴτε ἀόρατα, εἴτε Θρόνοι, εἴτε Ἀρχαὶ, εἴτε Ἐξουσίαι, εἴτε Κυριότητες, τὰ πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι πρὸ πάντων.

[08699] Ἐν δὲ τοῖς πᾶσιν, αἰῶνές εἰσι καὶ χρόνοι καὶ καιροί·

[08700] ἀΐδιος οὖν ὁ καὶ πρὸ τούτων Υἱός.

[08701] Ὁ αὐτός.

[08702] Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκεν κληρονόμον πάντων, δι' οὗ καὶ ἐποίησε τοὺς αἰῶνας.

[08703] Εἰ δὲ καὶ αὐτοὶ γεγόνασιν οἱ αἰῶνες δι' Υἱοῦ, πῶς οὐκ ἀΐδιος ὁ πρὸ αἰώνων ἐστί;

[08704] Ὁ Ψαλμῳδός.

[08705] Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ.

[08706] Πρὸ τοῦ ὄρη ἑδρασθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα σὺ εἶ.

[08707] Ἰδοὺ τὸ εἶναι πρὸ πάσης κτίσεως δίδωσι τῷ Υἱῷ.

[08708] Πάντως δὲ δή που καὶ τοὺς αἰῶνας ἐν τῇ κτίσει θήσομεν.

[08709] Εἶτα πῶς οὐκ ἀΐδιος ὁ πρὸ πάντων Υἱός;

[08710] Ὁ Σωτήρ.

[08711] Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

[08712] Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς·

[08713] τὸ ἔργον τελειώσας ὃ δέδωκάς μοι ἵνα ποιήσω αὐτό.

[08714] Καὶ νῦν δόξασόν με, σὺ Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ σοί.

[08715] Εἰ δὲ ἦν ἐν Πατρὶ, καὶ πρὸ τῆς τοῦ κόσμου συστάσεως ὁ Υἱὸς, πῶς ὁ πρὸ πάντων οὐκ ἀΐδιος;

[08716] [75.621] Ὅτι Λόγος ἐστὶν ὁ τοῦ Θεοῦ Υἱός.

[08717] Ἱερεμίας.

[08718] Οὕτως λέγει Κύριος·

[08719] Εἰ προφῆται εἰσὶ, καὶ ἔστι Λόγος Κυρίου ἐν αὐτοῖς, ἀπαντησάτωσάν μοι.

[08720] Οὐ γὰρ ἦν ἐν τοῖς ψευδοπροφήταις ὁ τοῦ Θεοῦ Λόγος, τουτέστιν ὁ Υἱός.

[08721] Ὁ αὐτός.

[08722] Ἠσχύνθησαν σοφοί·

[08723] ἐπτοήθησαν καὶ ἑάλωσαν.

[08724] Σοφία τίς ἐστιν ἐν αὐτοῖς, ὅτι τὸν Λόγον Κύριον ἀπεδοκίμασαν;

[08725] Ἀπεδοκίμασαν γὰρ τὸν Υἱὸν τοῦ Θεοῦ, λέγοντες οἱ δοκησίσοφοι Γραμματεῖς τε καὶ Φαρισαῖοι·

[08726] Εἰ ἦν οὗτος παρὰ Θεοῦ ὁ ἄνθρωπος, οὐκ ἂν ἔλυε τὸ Σάββατον.

[08727] Διὸ δὴ δικαίως κατησχύνθησαν.

[08728] Ἠσαΐου.

[08729] Καὶ αὐτὸς σοφὸς ἤγεν ἐπ' αὐτοὺς κακὰ, καὶ ὁ Λόγος αὐτοῦ οὐ μὴ ἠθετήθη.

[08730] Σοφὸς γὰρ ὄντως ὁ τοῦ Θεοῦ Λόγου Πατὴρ τοῖς τὸν Υἱὸν ἀθετήσασιν ἐπισωρεύει κακά.

[08731] Ὁ Ψαλμῳδός.

[08732] Ἐξηρεύξατο ἡ καρδία μου Λόγον ἀγαθόν.

[08733] Εἰς τὸν αἰῶνα, Κύριε, ὁ Λόγος σου διαμένει ἐν τῷ οὐρανῷ.

[08734] Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν, καλῶς ψάλλετε αὐτῷ ἐν ἀλαλαγμῷ.

[08735] Ὅτι εὐθὺς ὁ Λόγος τοῦ Κυρίου, καὶ πάντα ἔργα αὐτοῦ ἐν πίστει.

[08736] Ἐξαπέστειλε τὸν Λόγον αὐτοῦ καὶ ἰάσατο αὐτοὺς, καὶ ἐῤῥύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.

[08737] Τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ.

[08738] Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν.

[08739] Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ·

[08740] καὶ εἰς τὸν Λόγον σου ἐπήλπισα.

[08741] Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, καὶ εἰς τὸν Λόγον σου ἐπήλπισα.

[08742] Ἡ δικαιοσύνη σου, δικαιοσύνη εἰς τὸν αἰῶνα.

[08743] Καὶ ὁ Λόγος σου ἀλήθεια.

[08744] Ὁ Παῦλος.

[08745] Ζῶν γὰρ ὁ Λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον.

[08746] Ὅτι πᾶν κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον·

[08747] ἁγιάζεται γὰρ διὰ Λόγου Θεοῦ καὶ ἐντεύξεως.

[08748] Ἰωάννης ὁ εὐαγγελιστής.

[08749] Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος.

[08750] Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν.

[08751] Ὁ Σωτήρ.

[08752] Πάτερ, ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου, καὶ ὁ Λόγος δὲ ὁ σὸς, ἀλήθειά ἐστιν.

[08753] Ὁ Παῦλος πρός τινας.

[08754] Καὶ τανῦν παρατίθεμαι ὑμᾶς τῷ Θεῷ, καὶ τῷ Λόγῳ τῆς χάριτος αὐτοῦ.

[08755] Ἰάκωβος.

[08756] Βουληθεὶς ἀπεκύησεν ἡμᾶς Λόγῳ ἀληθείας, εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχὴν τῶν αὐτοῦ κτισμάτων.

[08757] Πέτρος.

[08758] Ἀλλήλους ἀγαπήσατε ἐκτενῶς, ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλὰ διὰ Λόγου ζῶντος Θεοῦ καὶ μένοντος.

[08759] Ἰωάννης.

[08760] Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ Λόγου τῆς ζωῆς.

[08761] Ὁ αὐτός.

[08762] Ἐὰν εἴπωμεν ὅτι οὐχ ἡμαρτήκαμεν, [75.624] ψεύστην ποιοῦμεν αὐτὸν, καὶ οὐκ ἔστιν ἐν ἡμῖν ὁ Λόγος αὐτοῦ.

[08763] Ὁ αὐτός.

[08764] Ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ Λόγος ἐν ὑμῖν μένει, καὶ νενικήκατε τὸν πονηρόν.

[08765] Ὅτι φῶς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ.

[08766] Ἡσαΐας.

[08767] Φωτίζου, φωτίζου, Ἱερουσαλήμ·

[08768] ἥκει γάρ σου τὸ φῶς.

[08769] Ὁ αὐτός.

[08770] Χώρα Ζαβουλὼν, ἡ γῆ Νεφθαλεὶμ, πρὸς ὁδὸν θαλάσσης, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν κατοικοῦντες, καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, τὰ μέρη τῆς Ἰουδαίας.

[08771] ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, ἴδετε φῶς μέγα.

[08772] Ὁ αὐτός.

[08773] Καὶ νῦν, οἶκος τοῦ Ἰακὼβ, δεῦτε πορευθῶμεν τῷ φωτὶ Κυρίου.

[08774] Ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ τὸν οἶκον τοῦ Ἰσραήλ.

[08775] Ὁ αὐτός.

[08776] Ἰδοὺ δέδωκά σε εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν.

[08777] Ὁ Ψαλμῳδός.

[08778] Φῶς ἀνέτειλε τῷ δικαίῳ.

[08779] Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου.

[08780] Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμὸν, Κύριε, ἐν τῷ φωτί σου προσώπου σου πορεύσονται.

[08781] Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτοὺς, ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου.

[08782] Δανιήλ.

[08783] Ὅτι ἡ σοφία καὶ ἡ σύνεσις αὐτοῦ ἐστι·

[08784] καὶ αὐτὸς ἀλλοιοῖ καιροὺς καὶ χρόνους, καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ, διδοὺς σοφίαν τοῖς σοφοῖς, καὶ φρόνησιν τοῖς εἰδόσι σύνεσιν.

[08785] Αὐτὸς ἀποκαλύπτει βαθέα καὶ ἀπόκρυφα, γινώσκων τὰ ἐν τῷ σκότει, καὶ τὸ φῶς μετ' αὐτοῦ ἐστιν.

[08786] Ὁ Παῦλος περὶ τοῦ Θεοῦ καὶ Πατρὸς λέγων·

[08787] Ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον.

[08788] Ὁ αὐτός.

[08789] Ὡς τέκνα φωτὸς περιπατεῖτε·

[08790] ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθοσύνῃ καὶ ἀληθείᾳ.

[08791] Ὁ αὐτός.

[08792] Εὐχαριστοῦμεν, φησὶ, τῷ Πατρὶ, τῷ ἱκανώσαντι ἡμᾶς ἐν τῷ κλήρῳ ἐν τῷ φωτί.

[08793] Ὁ Πέτρος.

[08794] Ὅπως, φησὶ, τὰς ἀρετὰς ἐπαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος, εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς.

[08795] Ὁ αὐτός.

[08796] Ἕως οὗ, φησὶν, ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν.

[08797] Ἰωάννης ἐν Ἐπιστολῇ.

[08798] Ἐὰν ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτὶ, κοινωνίαν ἔχομεν μετ' ἀλλήλων.

[08799] Ὁ γὰρ ἐν τῷ φωτὶ περιπατῶν ἐν Χριστῷ πολιτεύεται.

[08800] Ὁ αὐτός.

[08801] Ὅτι ἡ σκοτεία παράγεται, καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει, τουτέστιν, ὁ Χριστός.

[08802] Ὁ αὐτός.

[08803] Ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ φωτὶ μένει·

[08804] καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ ἔστιν.

[08805] Οὐ γὰρ ἔξω τῆς ἐν Χριστῷ πολιτείας κείσεται ὁ τὴν αὐτῷ φίλην ἀγάπην ἐν αὐτῷ κεκτημένος.

[08806] [75.625] Ὁ Σωτήρ.

[08807] Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ, ἐν τῇ σκοτείᾳ μὴ μείνῃ.

[08808] Ὁμοίως.

[08809] Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτείᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς.

[08810] Ὁμοίως.

[08811] Αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς.

[08812] Ἦν γὰρ αὐτῶν πονηρὰ τὰ ἔργα.

[08813] Ὁμοίως.

[08814] Πᾶς γὰρ ὁ τὰ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ.

[08815] Ἰωάννης εὐαγγελιστής.

[08816] Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης.

[08817] Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός.

[08818] Ἦν τὸ φῶς τὸ ἀληθινόν.

[08819] Ὁ αὐτός.

[08820] Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων, καὶ τὸ φῶς ἐν τῇ σκοτείᾳ φαίνει, καὶ ἡ σκοτεία αὐτὸ οὐ κατέλαβεν.

[08821] Ὁ Σωτὴρ πρὸς Ἰουδαίους.

[08822] Ἕως τὸ φῶς ἔχετε,πιστεύσατε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε.

[08823] Ὁ αὐτὸς πρὸς αὐτούς.

[08824] Ἔτι μικρὸν χρόνον τὸ φῶς ἐν ὑμῖν ἐστιν.

[08825] Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ ἡ σκοτεία ὑμᾶς καταλάβῃ.

[08826] Ὅτι ἀλήθειά ἐστιν ὁ τοῦ Θεοῦ Υἱός.

[08827] Ὁ Παῦλος.

[08828] Καὶ τῇ φανερώσει τῆς ἀληθείας συνιστάνοντες ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων.

[08829] Ὁ αὐτός.

[08830] Ἐτρέχετε καλῶς, τίς ὑμᾶς ἐνέκοψε τῇ ἀληθείᾳ μὴ πείθεσθαι;

[08831] Ὁ Πέτρος.

[08832] Τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας.

[08833] Ὁ Παῦλος.

[08834] Ἐν ᾧ καὶ ὑμεῖς ἀκούσαντες τὸν Λόγον τῆς ἀληθείας, τὸ Εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν, ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ.

[08835] Ὁ αὐτός.

[08836] Ὁ Θεὸς γὰρ, φησὶ, θέλει πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

[08837] Εἵλετο γὰρ, φησὶν, ἡμᾶς ὁ Θεὸς ἀπαρχὴν εἰς σωτηρίαν ἐν ἁγιασμῷ Πνεύματος, καὶ πίστει ἀληθείας.

[08838] Ὁ αὐτός.

[08839] Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν, μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκ ἔτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία.

[08840] Ὁ Σωτήρ.

[08841] Πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς.

[08842] Ὁμοίως.

[08843] Κἀγὼ, φησὶ, παρακαλέσω τὸν Πατέρα, ἵνα μείνῃ μεθ' ὑμῶν τὸ Πνεῦμα τῆς ἀληθείας, ὃν ὁ κόσμος οὐ δύναται λαβεῖν.

[08844] Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς ἐν τῇ ἀληθείᾳ πάσῃ.

[08845] Καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ.

[08846] Καὶ ἔλεγεν, φησὶν, ὁ Ἰησοῦς·

[08847] Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή.

[08848] Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, τοῖς Ἰουδαίοις δηλαδή·

[08849] Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου [75.628] ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν.

[08850] Ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι ἀλήθεια οὐκ ἔστιν ἐν αὐτῷ.

[08851] Ἔσδρας.

[08852] Καὶ εἶπε, φησὶ, Ζοροβάβελ·

[08853] Ἡ ἀλήθεια μεγάλη καὶ ἰσχυροτέρα παρὰ πάντα.

[08854] Πᾶσα ἡ γῆ τὴν ἀλήθειαν καλεῖ.

[08855] Καὶ ὁ οὐρανὸς αὐτὴν καλεῖ, καὶ προσκυνεῖ, καὶ πάντα τὰ ἔργα αὐτὴν σείεται καὶ τρέμει.

[08856] Ὁ αὐτός.

[08857] Καὶ ἡ ἀλήθεια μένει καὶ ἰσχύει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

[08858] Καὶ οὐκ ἔστι παρ' αὐτῇ λαμβάνειν πρόσωπα.

[08859] Ἐν Ψαλμοῖς.

[08860] Ἀρχὴ τῶν λόγων σου ἀλήθεια.

[08861] Ὁ γὰρ πρῶτος καὶ ἔμφυτος καὶ οὐσιώδης ἐν Θεῷ καὶ Πατρὶ Λόγος, ἡ ἀλήθειά ἐστιν, ὁ Υἱὸς δηλαδή.

[08862] Δυνατὸς εἶ, Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου.

[08863] Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, καὶ τὰ ἑξῆς, ἕως τοῦ, Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.

[08864] Περὶ τοῦ δικαίου λέγων·

[08865] Καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι, ὅτι τὸ ἔλεός μου καὶ ἀλήθειά μου μετ' αὐτοῦ.

[08866] Ὁδὸν ἀληθείας ᾑρετισάμην.

[08867] Ἀγαπᾷ γὰρ σοφὸς ἐν Θεῷ τὴν εὐαγγελικὴν πολιτείαν, ὡς πολὺ τῆς νομικῆς βελτίονα.

[08868] Ἡ δικαιοσύνη σου, δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ Λόγος σου, Κύριε, ἀλήθεια.

[08869] Ὁ Σωτήρ.

[08870] Πάτερ, ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου.

[08871] Ὁ Λόγος ὁ σὸς ἀλήθειά ἐστιν.

[08872] Ἰωάννης ἐν Ἐπιστολῇ.

[08873] Ὁ λέγων·

[08874] Ἔγνωκα αυτὸν, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστὶ, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν.

[08875] Ὁμοίως.

[08876] Οὐκ ἔγραψα ὑμῖν ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν, ἀλλ' ὅτι οἴδατε αὐτὴν, καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ ἔστιν.

[08877] Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν.

[08878] Ὁ Παῦλος περὶ τῶν ἀπειθούντων τῷ Χριστῷ·

[08879] Ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτοὺς, διὰ τοῦτο πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης, τουτέστι, τὸν Ἀντίχριστον ὃν αὐτὸς ἐσήμαινε λέγων ὁ Σωτήρ·

[08880] Ἐγὼ ἦλθον ἐπὶ τῷ ὀνόματι τοῦ Πατρὸς, καὶ οὐκ ἐδέξασθέ με·

[08881] ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε.

[08882] Ὅτι εἰκών ἐστι καὶ ὁμοίωσις τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς καὶ πρόσωπον αὐτοῦ.

[08883] Ἐν τῷ Ψαλτηρίῳ.

[08884] Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμὸν, Κύριε, ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ὅλην τὴν ἡμέραν ἀγαλλιάσονται.

[08885] Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς·

[08886] ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου.

[08887] [75.629] Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.

[08888] Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου.

[08889] Ἐν τῇ πρὸς Ἑβραίους.

[08890] Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ ἐποίησε τοὺς αἰῶνας, ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ.

[08891] Ἐν τῇ πρὸς Κολοσσαεῖς.

[08892] Εὐχαριστοῦμεν τῷ Θεῷ καὶ Πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτὶ, ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τῆς ἀγάπης τοῦ Υἱοῦ αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως.

[08893] Ἐν τῇ πρὸς Φιλιππησίους.

[08894] Ἕκαστοι τοῦτο φρονεῖτε ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ·

[08895] ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ.

[08896] Ἰωάννης ὁ εὐαγγελιστής.

[08897] Καὶ ἀποκριθεὶς Φίλιππος εἶπε τῷ Ἰησοῦ·

[08898] Δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν.

[08899] Λέγει αὐτῷ ὁ Ἰησοῦς·

[08900] Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε;

[08901] Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.

[08902] Ὁ Σολομῶν.

[08903] Ἀπαύγασμα γάρ ἐστι φωτὸς ἀϊδίου, καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ Θεοῦ ἐνεργείας, καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ.

[08904] Ἐν τῇ Γενέσει.

[08905] Καὶ εὐλόγησε τὸν Ἰακὼβ ὁ πάλαι μετ' αὐτοῦ ἐκεῖ, καὶ ἐκάλεσεν ὁ Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου [εἶδος Θεοῦ].

[08906] Εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή.

[08907] Ἀνέτειλε δὲ αὐτῷ ὁ ἥλιος, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ Θεοῦ.

[08908] Ἐν τῷ αὐτῷ, ὅτι δικαιοσύνη ἐστὶν ὁ τοῦ Θεοῦ Υἱός.

[08909] Ἐν τῇ Γενέσει.

[08910] Καὶ εἶπεν ὁ Θεός·

[08911] Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν.

[08912] Ὁ Παῦλος.

[08913] Καὶ οὐ θαυμαστόν·

[08914] αὐτὸς γὰρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός.

[08915] Οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης.

[08916] Ὁ αὐτός.

[08917] Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐν Χριστῷ Ἰησοῦ,ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, καὶ δικαιοσύνη, καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις.

[08918] Ὁ αὐτός.

[08919] Μαρτυρῶ γὰρ αὐτοῖς, ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν.

[08920] Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν.

[08921] Ὁ αὐτός.

[08922] Ἐλευθερωθέντες οὖν ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ.

[08923] Ὁ Ἀπόστολος.

[08924] Δικαιοσύνη Θεοῦ πεφανέρωται μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν, δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ.

[08925] Ἐν ταῖς Πράξεσιν.

[08926] Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις, πάντας πανταχοῦ μετανοεῖν, ὅτι ἔστησεν [75.632] ἡμέραν ἐν ᾗ κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ.

[08927] Ἐν τῷ Εὐαγγελίῳ.

[08928] Ἦλθεν Ἰωάννης πρὸς ὑμᾶςἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ.

[08929] Οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν αὐτῷ.

[08930] Ἐν τῷ κατὰ Ματθαῖον.

[08931] Ζητεῖτε πρῶτον τὴν δικαιοσύνην αὐτοῦ καὶ τὴν βασιλείαν, καὶ ταῦτα.

[08932] πάντα προστεθήσεται ὑμῖν.

[08933] Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

[08934] Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

[08935] Ἐν τῷ Μαλαχίᾳ.

[08936] Καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομα αὐτοῦ ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ.

[08937] Ἐν τῷ Ἀμῶς.

[08938] Κύριος ὁ ποιῶν εἰς ὕψος κρῖμα, καὶ δικαιοσύνην εἰς γῆν ἔθηκεν.

[08939] Ὁ ποιῶν πάντα καὶ μετασκευάζων, Κύριος ὄνομα αὐτῷ.

[08940] Ἐν τῷ Δανιήλ.

[08941] Καὶ εἶπε Γαβριὴλ πρὸς Δανιήλ·

[08942] Ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν, τοῦ συντελεσθῆναι ἁμαρτίαν, καὶ τοῦ σφραγίσαι ἁμαρτίας, καὶ ἀπαλεῖψαι ἀνομίας, καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας, καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον, καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην, καὶ τοῦ χρίσαι Ἅγιον ἁγίων.

[08943] Καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγων τοῦ ἀποκριθῆναι.

[08944] Ἐν τῷ Ἠσαΐᾳ.

[08945] Καὶ κληθήσονται γενεαὶ δικαιοσύνης, φύτευμα Κυρίου εἰς δόξαν.

[08946] Ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου, καὶ ἐξελεύσεται ὡς φῶς τὸ σωτήριόν μου, καὶ εἰς τὸν βραχίονά μου ἔθνη ἐλπιοῦσιν.

[08947] Ἐν τῷ Ψαλτηρίῳ.

[08948] Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

[08949] Δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ λόγος σου, Κύριε, ἀλήθεια.

[08950] Ἐν τῷ μεμαθηκέναι τὰ κρίματα τῆς δικαιοσύνης σου, τὰ δικαιώματά σου φυλάξω.

[08951] Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ.

[08952] Ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει.

[08953] Ἕως οὗ δικαιοσύνη ἐπιστρέψει εἰς κρίσιν, καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

[08954] Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν.

[08955] Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψεν.

[08956] Ἐπὶ σοὶ, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.

[08957] Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με.

[08958] Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ Θεὸς κριτής ἐστιν.

[08959] Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ, ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω.

[08960] Κύριε, σὺ ἔγνως τὴν δικαιοσύνην μου.

[08961] [75.633] Γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

[08962] Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος.

[08963] Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ, καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ.

[08964] Ὅτι δόξα τοῦ Πατρὸς καλεῖται καὶ ἔστιν ὁ Υἱός.

[08965] Ἐν τῷ Ψαλτηρίῳ.

[08966] Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου, χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.

[08967] Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ.

[08968] Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.

[08969] Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου.

[08970] Ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.

[08971] Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.

[08972] Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

[08973] Ἡσαΐου.

[08974] Ὃν τρόπον ἐάν τις καλαμᾶται ἐλαίαν, οὕτως καλαμήσονται αὐτοὺς, καὶ ἐὰν παύσηται ὁ τρυγητὸς, οὗτοι βοῇ φωνήσουσιν, οἱ δὲ καταλειφθέντες ἐπὶ γῆς, εὐφρανθήσονται ἅμα τῇ δόξῃ Κυρίου.

[08975] Ἐν τῷ Ψαλτηρίῳ.

[08976] Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομά σου, Κύριε, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου.

[08977] Ἐν τῷ Ἰεζεχιήλ.

[08978] Καὶ ἀνέλαβέ με Πνεῦμα τοῦ Κυρίου, καὶ ἤκουσα κατόπισθέ μου φωνῆς σεισμοῦ μεγάλου λεγούσης·

[08979] Εὐλογημένη ἡ δόξα Κυρίου ἐκ τοῦ τόπου αὐτῆς.

[08980] Ἐν τῷ Ἡσαΐᾳ.

[08981] Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμάμου πρὸς σὲ, ὁ Θεὸς, διότι φῶς τὰ προστάγματά σου, ἐπὶ τῆς γῆς·

[08982] δικαιοσύνην μάθετε ποιεῖν, οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

[08983] Πέπαυται γὰρ ὁ ἀσεβὴς, οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς·

[08984] ἀλήθειαν οὐ μὴ ποιήσῃ·

[08985] ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου.

[08986] Φωτίζου, φωτίζου, Ἱερουσαλήμ·

[08987] ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν.

[08988] Ἰδοὺ σκότος καὶ γνόφος καλύψει γῆν, ἐπὶ δὲ σὲ φανήσεται Κύριος, καὶ ἡ δόξα αὐτοῦ, ἐπὶ σὲ ὀφθήσεται.

[08989] Καὶ πορεύσονται βασιλεῖς τῷ φωτί σου καὶ ἔθνη τῇ λαμπρότητί σου.

[08990] Τοῦ αὐτοῦ.

[08991] Εὐφράνθητι, ἔρημος ἡ διψῶσα, ἀγαλλιάσθω ἔρημος καὶ ἀνθείτω ὡς κρίνον.

[08992] Καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου, καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου, καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν Κυρίου, καὶ τὸ ὕψος τοῦ Θεοῦ.

[08993] Ἐν τῷ Ἐζεχιήλ.

[08994] Καὶ τὰ Χερουβὶμ εἱστήκει ἐκ δεξιῶν τοῦ οἴκου, ἐν τῷ εἰσπορεύεσθαι τὸν ἄνδρα τὸν ἐνδεδυμένον τὴν στολὴν, καὶ ἡ νεφέλη ἐπλήρωσε τὴν αὐλὴν τὴν ἐσωτέραν.

[08995] Καὶ ἀπῆρεν ἡ δόξα Κυρίου ἀπὸ [75.636] τοῦ Χερουβεὶμ εἰς τὸ αἴθριον τοῦ οἴκου, καὶ ἐνέπλησε τὸν οἶκον ἡ νεφέλη, καὶ ἡ αὐλὴ ἐπλήσθη τοῦ φέγγους τῆς δόξης Κυρίου.

[08996] Ἐν τῷ Εὐαγγελίῳ.

[08997] Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες;

[08998] Πέτρος.

[08999] Πρεσβυτέρους οὖν τοὺς ἐν ὑμῖν παρακαλῶ ὁ συμπρεσβύτερος καὶ μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης ἀποκαλύπτεσθαι δόξης κοινωνός.

[09000] Ἐν τῷ Ἰακώβῳ.

[09001] Ἀδελφοὶ, μὴ ἐν προσωποληψίαιςἔχετε τὴν πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς δόξης.

[09002] Ἐν τῷ Πέτρῳ.

[09003] Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Κυρίου Ἰησοῦ Χριστοῦ, μακάριοι, ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ Θεοῦ Πνεῦμα ἐφ' ὑμᾶς ἀναπέπαυται.

[09004] Ὡς τὰ πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημένου διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος ὑμᾶς ἰδίᾳ δόξῃ καὶ ἀρετῇ.

[09005] Ἐν τῷ Ἀποστόλῳ.

[09006] Ὁ δὲ Θεός μου πληρώσαιπᾶσαν χρείαν ὑμῶν κατὰ τὸν πλοῦτον αὐτοῦ ἐν δόξῃ ἐν Χριστῷ Ἰησοῦ.

[09007] Ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης δῷ ὑμῖν Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει, πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν.

[09008] Ἐν πάσῃ δυνάμει δυναμούμενοι κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ.

[09009] Κατὰ τὸ Εὐαγγέλιον τῆς δόξης τοῦ μακαρίου Θεοῦ.

[09010] Ὅτι δεξιὰ καὶ βραχίων ἐστὶ τοῦ Πατρὸς ὁ Υἱός.

[09011] Ἐν τῷ Ἡσαΐᾳ.

[09012] Ἐπέβλεψα, καὶ οὐκ ἦν βοηθὸς,προσενόησα καὶ οὐδεὶς ἀντελάβετο, καὶ ἐῤῥύσατο αὐτοὺς ὁ βραχίων μου, καὶ ὁ θυμός μου ἐπέστη, καὶ κατεπάτησα αὐτοὺς ἐν τῇ ὀργῇ μου.

[09013] Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;

[09014] Ἀνηγγείλαμεν ἐνώπιον αὐτοῦ.

[09015] Ἀκούσατέ μου, ἀκούσατέ μου, λαός μου, καὶ οἱ βασιλεῖς πρός με ἐνωτίσασθε, ὅτι νόμος παρ' ἐμοῦ ἐξελεύσεται, καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν ἐγγίζει.

[09016] Ταχὺ ἡ δικαιοσύνη μου, καὶ ἐξελεύσεται ὡς φῶς τὸ σωτήριόν μου, καὶ εἰς τὸν βραχίονά μου ἔθνη ἐλπιοῦσιν·

[09017] ἐμὲ νῆσοι ὑπομένουσι, καὶ εἰς τὸν βραχίονά μου ἐλπιοῦσιν.

[09018] Ἐν τῇ Ἐξόδῳ.

[09019] Τότε ἔσπευσαν ἡγεμόνες Ἐδὼμ,καὶ ἄρχοντας Μωαβιτῶν ἔλαβεν αὐτοὺς τρόμος, ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χαναάν.

[09020] Ἐπιπέσοι ἐπ' αὐτοὺς φόβος καὶ τρόμος, μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν, ἕως ἂν παρέλθῃ ὁ λαός σου, Κύριε.

[09021] Ἐν τῷ Ἡσαΐᾳ.

[09022] Ἵνα ἴδωσι καὶ ἐπιγνῶσι, καὶἐννοηθῶσι, καὶ ἐπιστῶνται ἅμα, ὅτι χεὶρ Κυρίου ἐποίησε ταῦτα, καὶ ὁ ἅγιος τοῦ Ἰσραὴλ κατέδειξεν αὐτό.

[09023] [75.637] Ἐν τῷ Ἰεζεχιήλ.

[09024] Καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου, καὶ ἔθηκέ με ἐν μέσῳ τοῦ πεδίου.

[09025] Ἐν τῇ Ἐξόδῳ.

[09026] Καὶ εἶδεν Ἰσραὴλ τοὺς Αἰγυπτίους τεθνηκότας παρὰ τὸ χεῖλος τῆς θαλάσσης, καὶ εἶδεν Ἰσραὴλ τὴν χεῖρα τὴν μεγάλην, ἃ ἐποίησε Κύριος τοῖς Αἰγυπτίοις.

[09027] Καὶ ἐφοβήθη ὁ λαὸς τὸν Κύριον, καὶ ἐπίστευσαν τῷ Θεῷ καὶ Μωσῇ τῷ θεράποντι αὐτοῦ.

[09028] Ἐν τῷ Ψαλτηρίῳ.

[09029] Καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου, καὶ ἔδωκάς μοι ὑπασπισμὸν σωτηρίας μου, καὶ ἡ δεξιά σου ἀντελάβετό μου.

[09030] Ἐν τῇ Ἐξόδῳ.

[09031] Ἡ δεξιά σου, Κύριε, δεδόξασταιἐν ἰσχύϊ, ἡ δεξιά σου χεὶρ, Κύριε, ἔθραυσεν ἐχθρούς.

[09032] Ἐν τῷ Ψαλτηρίῳ.

[09033] Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου, ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.

[09034] Καὶ εἶπα·

[09035] Νῦν ἠρξάμην·

[09036] αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.

[09037] Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς·

[09038] ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου.

[09039] Ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον δὴ καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην, καὶ κατάρτισαι αὐτὴν ἣν ἐφύτευσεν ἡ δεξιά σου.

[09040] Κατὰ τὸ ὄνομά σου, ὁ Θεὸς, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς.

[09041] Δικαιοσύνης πλήρης ἡ δεξιά σου.

[09042] Ἐν τῇ Ἐξόδῳ.

[09043] Καὶ εἶπε Κύριος πρὸς Μωσῆν·

[09044] Εἴσελθε πρὸς Φαραὼ, καὶ ἐρεῖς αὐτῷ·

[09045] Τάδε λέγει ὁ Θεὸς τῶν Ἑβραίων·

[09046] Ἐξαπόστειλον τὸν λαόν μου.

[09047] Καὶ εἰ ἔτι ἐγκρατεῖς αὐτοῦ, ἰδοὺ χεὶρ Κυρίου ἔσται ἐν τοῖς κτήνεσί σου τοῖς ἐν τοῖς πεδίοις.

[09048] Ἐν Ψαλτηρίῳ.

[09049] Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ Κύριος.

[09050] Ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.

[09051] Δεξιὰ Κυρίου ἐποίησεν δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με.

[09052] Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, καὶ κλαύσωμεν ἐνώπιον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ.

[09053] Ἐν τῷ Ἀριθμῷ.

[09054] Ἑξακόσιαι χιλιάδες πεζῶν ὁλαὸς, ἐν οἷς εἰμι ἐν αὐτοῖς.

[09055] Καὶ σὺ εἶπας, Κύριε·

[09056] Κρέα δώσω αὐτοῖς, καὶ φάγονται μῆνα ἡμερῶν.

[09057] Μὴ πρόβατα καὶ βόες σφαγίσονται αὐτοῖς καὶ ἀρκέσει αὐτοῖς;

[09058] Καὶ εἶπε Κύριος πρὸς Μωσῆν·

[09059] Μὴ ἡ χεὶρ Κυρίου οὐκ ἐξαρκεῖ;

[09060] Ἤδη γνώσῃ εἰ ἐπικαταλήψεταί σε ὁ λόγος μου.

[09061] Ὅτι δύναμίς ἐστι τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱός.

[09062] Ἐν τῷ Ἀποστόλῳ.

[09063] Κατὰ τὴν ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ, ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη.

[09064] Καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου, οὐκ ἐν πειθοῖς σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως.

[09065] [75.640] Αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν.

[09066] Ἐν τῷ Εὐαγγελίῳ.

[09067] Καὶ δύναμις Θεοῦ ἦν ἐν τῷ ἰᾶσθαι αὐτούς.

[09068] Ἐν τῷ Ψαλτηρίῳ.

[09069] Καὶ γὰρ εὐλογίαν δώσει ὁ νομοθετῶν, πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν·

[09070] ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών.

[09071] Ἐν τῷ Εὐαγγελίῳ.

[09072] Ὑμεῖς δὲ καθίσεσθε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους.

[09073] Πλανᾶσθε μὴ εἰδότες τὰς Γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ.

[09074] Ἐν τῷ Ψαλτηρίῳ.

[09075] Ἔντειλαι, ὁ Θεὸς, τῇ δυνάμει σου.

[09076] Ὁ Θεὸς, ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

[09077] Σὺ εἶ ὁ Θεὸς ποιῶν θαυμάσια μόνος.

[09078] Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου.

[09079] Ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ.

[09080] Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.

[09081] Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.

[09082] Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου, ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

[09083] Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεὺς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.

[09084] Ἐν τῷ Ἱερεμίᾳ.

[09085] Κύριος ὁ ποιήσας τὴν γῆν ἐν τῇ ἰσχύϊ αὐτοῦ, ἀνορθώσας τὴν οἰκουμένην ἐν τῇ σοφίᾳ αὐτοῦ.

[09086] Ἐν τῷ Δευτερονομίῳ.

[09087] Οὐ φοβηθήσεσθε θεοὺς ἑτέρους, καὶ οὐ προσκυνήσετε αὐτοῖς, καὶ οὐ θυσιάσετε αὐτοῖς, καὶ οὐ λατρεύσετε αὐτοῖς ἔτι, ἀλλ' ἢ Κυρίῳ ὃς ἀνήγαγεν ὑμᾶς ἐκ γῆς Αἰγύπτου, ἐν τῇ ἰσχύϊ αὐτοῦ τῇ μεγάλῃ, καὶ ἐν βραχίονι ὑψηλῷ.

[09088] Ὅτι Θεὸς καλεῖται καὶ ἔστιν ὁ Υἱός.

[09089] Ἐν τῇ Γενέσει.

[09090] Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν.

[09091] Ἐν τῷ Ἀποστόλῳ.

[09092] Τοῦτο καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

[09093] Πρὸς δὲ τὸν Υἱόν·

[09094] Ὁ θρόνος ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου.

[09095] Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν.

[09096] Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

[09097] Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει·

[09098] Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.

[09099] Ἐν τῷ Εὐαγγελίῳ.

[09100] Καὶ εἶπε τῷ Θωμᾷ ὁ Ἰησοῦς·

[09101] Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός.

[09102] Καὶ ἀπεκρίθη Θωμᾶς, καὶ εἶπεν αὐτῷ·

[09103] Ὁ Κύριός μου καὶ ὁ Θεός μου.

[09104] [75.641] Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος.

[09105] Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν.

[09106] Ἡσαΐας.

[09107] Οὕτως λέγει Κύριος Σαβαώθ·

[09108] Ἐκοπίασεν Αἴγυπτος καὶ ἐμπορία Αἰθιόπων, καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ σοὶ ἔσονται δοῦλοι.

[09109] Καὶ ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις, καὶ διαβήσονται πρὸς σὲ, καὶ προσκυνήσουσί σοι, καὶ ἐν σοὶ προσεύξονται.

[09110] Ὅτι Θεός ἐστιν ἐν σοὶ, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ.

[09111] Σὺ γὰρ εἶ ὁ Θεὸς, καὶ οὐκ ᾔδειμεν, Θεὸς τοῦ Ἰσραὴλ Σωτήρ.

[09112] Ἐν τῷ αὐτῷ.

[09113] Τάδε λέγει Κύριος Σαβαώθ·

[09114] Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών·

[09115] Ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου, ὁ εὐαγγελιζόμενος Ἰερουσαλὴμ, ὑψώσατε, μὴ φοβεῖσθε.

[09116] Εἶπον ταῖς πόλεσιν Ἰούδα·

[09117] Ἰδοὺ ὁ Θεὸς ὑμῶν, ἰδοὺ Κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων μετὰ κυρείας.

[09118] Ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ τὸ ἔργον ἐναντίον αὐτοῦ.

[09119] Ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ, καὶ τῷ βραχίονι αὐτοῦ συνάξει ἄρνας, καὶ ἐν γαστρὶ ἐχούσας παρακαλέσει.

[09120] Ἐν τῷ αὐτῷ.

[09121] Ἰσχύσατε, χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα.

[09122] Παρακαλέσατε, οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ, ὑψώσατε, μὴ φοβεῖσθε·

[09123] ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς.

[09124] Καὶ ἐροῦσιν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ·

[09125] Ἰδοὺ ὁ Θεὸς ἡμῶν, ἐφ' ᾧ ἠλπίζομεν, καὶ ἠγαλλιώμεθα ἐπὶ τῷ σωτηρίῳ ἡμῶν, ὅτι ἀνάπαυσιν δώσει ὁ Θεὸς ἐπὶ τὸ ὄρος τοῦτο.

[09126] Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται Υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.

[09127] Βούτυρον καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὸν ἐκλέξεται τὸ ἀγαθὸν, διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ.

[09128] Ἐν τῷ Ψαλτηρίῳ.

[09129] Θεὸς ἐκδικήσεων Κύριος, Θεὸς ἐκδικήσεων ἐπαῤῥησιάσατο·

[09130] ὑψώθητι, ὁ κρίνων τὴν γῆν, ἀπόδος ἀνταπόδωσιν τοῖς ὑπερηφάνοις.

[09131] Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν.

[09132] Πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν·

[09133] ὀφθήσεται ὁ Θεὸς τῶν Θεῶν ἐν Σιών.

[09134] Κύριε ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου.

[09135] Ἄλλο.

[09136] Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.

[09137] Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

[09138] Ἐν τῇ Γενέσει.

[09139] Ἐπηρώτησε δὲ αὐτὸν Ἰακὼβ καὶεἶπεν·

[09140] Ἀνάγγειλόν μοι τὸ ὄνομά σου.

[09141] Καὶ εἶπεν·

[09142] Ἵνα τί ἐρωτᾷς τὸ ὄνομά μου, καὶ αὐτό ἐστι θαυμαστόν;

[09143] Εὐλόγησε δὲ αὐτὸν ἐκεῖ, καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦτό που ἐκείνου Εἶδος Θεοῦ·

[09144] εἶδον γὰρ Θεοῦ πρόσωπον καὶ ἐσώθη μου ἡ ψυχή.

[09145] Ἀνέτειλεν δὲ ὁ ἥλιος ἡνίκα παρῆλθεν τὸ εἶδος τοῦ Θεοῦ.

[09146] Ὁ ἐκχέων αἷμα ἀνθρώπου, ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται, ὅτι ἐν εἰκόνι Θεοῦ ἐποίησα τὸν ἄνθρωπον.

[09147] [75.644] Ὅτι Κύριός ἐστιν ὁ τοῦ Θεοῦ Υἱός.

[09148] Ἐν τῷ Μαλαχίᾳ.

[09149] Διότι ἔσονται σποδὸς ὑποκάτω τῶν ποδῶν ὑμῶν ἐν τῇ ἡμέρᾳ ᾗ ἐγὼ ποιῶ, λέγει Κύριος παντοκράτωρ.

[09150] Ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμῖν Ἡλίαν τὸν Θεσβίτην πρινὴ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ.

[09151] Ὅς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν, καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ, μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην.

[09152] Ἐν τῷ Ζαχαρίᾳ.

[09153] Τέρπου καὶ εὐφραίνου, θύγατερ Σιὼν, διότι ἰδοὺ ἐγὼ ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει Κύριος.

[09154] Καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαὸν, καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου, καὶ ἐπιγνώσῃ ὅτι Κύριος παντοκράτωρ ἐξαπέστειλέ με πρὸς σέ.

[09155] Σοφωνίας.

[09156] Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐρεῖ Κύριος πρὸς τὴν Ἱερουσαλήμ·

[09157] Θάρσει, Σιὼν, μὴ παρείσθωσαν αἱ χεῖρές σου, Κύριος ὁ Θεός σου ἐν σοὶ δυνατὸς σῶσαί σε.

[09158] Ἐπάξει ἐπὶ σὲ εὐφροσύνην, καὶ καινιεῖ σε τῇ ἀγαπήσει αὐτοῦ.

[09159] Ἐν τῷ Μιχαίᾳ.

[09160] Ἀκούσατε λόγον, καὶ προσχέτω ἡ γῆ, καὶ πάντες οἱ ἐν αὐτῇ, καὶ ἔσται Κύριος ὁ Θεὸς ἐν ὑμῖν εἰς μαρτύριον.

[09161] Κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ.

[09162] Διότι ἰδοὺ Κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ ἐπιβήσεται ἐπὶ τὸ ὕψος τῆς γῆς.

[09163] Ἐν τῷ Ἡσαΐᾳ.

[09164] Ὁ ὀλιγοστὸς ἔσται εἰς χιλιάδας,καὶ ὁ ἐλάχιστος εἰς ἔθνος μέγα.

[09165] Ἐγὼ Κύριος κατὰ καιρὸν συνάξω αὐτούς.

[09166] Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με·

[09167] εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυτὸν Κυρίῳ δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως τῷ Θεῷ ἡμῶν.

[09168] Φωτίζου, φωτίζου, Ἱερουσαλήμ·

[09169] ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν.

[09170] Ὅτι ἰδοὺ σκότος καλύψει τὴν γῆν, καὶ γνόφος ἐπὶ ἔθνη.

[09171] Ἐπὶ δὲ σὲ φανήσεται Κύριος, καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται.

[09172] Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ·

[09173] Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν.

[09174] Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς πεδία.

[09175] Καὶ ὀφθήσεται ἡ δόξα Κυρίου, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ, ὅτι Κύριος ἐλάλησεν.

[09176] Εὐφράνθητι, ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον.

[09177] Καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται, καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου, καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν Κυρίου, καὶ τὸ ὕψος τοῦ Θεοῦ.

[09178] Ἐν τῷ Ψαλτηρίῳ.

[09179] Ὦ Κύριε, σῶσον δὴ, ὦ Κύριε, εὐόδωσον δή.

[09180] Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

[09181] Τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ πρὸ προσώπου Κυρίου, ὅτι ἔρχεται κρῖναι τὴν γῆν.

[09182] [75.645] Εἴπατε τοῖς ἔθνεσιν ὅτι Κύριος ἐβασίλευσεν.

[09183] Καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην ἥτις οὐ σαλευθήσεται.

[09184] Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ.

[09185] Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου.

[09186] Κύριος κραταιὸς καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ, καὶ τὰ ἑξῆς.

[09187] Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου, καὶ ἐλεημοσύνην παρὰ Θεοῦ Σωτῆρος αὐτοῦ.

[09188] Ἐν τῇ Γενέσει.

[09189] Καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγὼρ, καὶ Κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμοῤῥα θεῖον καὶ πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ κατέστρεψεν τὰς πόλεις αὐτῶν.

[09190] Ὅτι βασιλεύς ἐστιν ὁ τοῦ Θεοῦ Υἱός.

[09191] Ἐν τῷ Ἀποστόλῳ.

[09192] Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ Χριστοῦ Ἰησοῦ, τοῦ μέλλοντος κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ τὴν ἐπιφάνειαν αὐτοῦ, καὶ τὴν βασιλείαν αὐτοῦ.

[09193] Πιστὸς ὁ λόγος·

[09194] εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν·

[09195] εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν.

[09196] Πρὸς δὲ τὸν Υἱόν·

[09197] Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου.

